9. Quamobrem Nicephorus Romanorum dux, ubi et moenia oppidi firma prorsus, omninoque accessu et captu difficilia (haudquaquam enim extemporali impetu conscendi poterat murus, cum in altitudinem sublatus plurimam, tum duabus praecinctus fossis in altitudinem consimilem depressis), et barbarorum desperationem vidit, atque propugnationem extra modum acrem: statuit, non amplius cum devotis morti dementibusque hominibus ex inferiore loco manum conferre, remque tentare summae difficultatis, et Romanum exercitum inutiliter telis superne deiectis atque internecioni obiicere: fami potius tradendum esse oppidum, donec testudines caeterasque ad oppugnandum excogitatas machinas idonee comparasset. Itaque dilata dimicatione tuba militum agmina revocavit, et in castra reduxit. Quibus vallo ac fossa quantum opus erat munitis exercebat milites, et quotidianis studiis ut peritissimae belli gerendi legiones evaderent effecit. Ipse interea machinas ab operariis delectis fabricari, excursiones velitationesque pro facultate fieri iussit, atque ibi cum omnibus copiis pro oppido hiemem peregit.

# ΛΕΟΝΤΟΣ ΔΙΑΚΟΝΟΥ

## ΙΣΤΟΡΙΑΣ Β.

# LEONIS DIACONI HISTORIAE

## LIBER II.

### ARGUMENTUM.

*Bellum Ciliciense (Cap. 1). Leo Phocas, Hunnis in Europa victis, in Ciliciam contra Saracenos mittitur (2). Eius oratio ad exercitum (3. 4). Chambdanis clades et fuga. Leonis Phocae triumphus (5). Nicephorus Phocas Candiam iterum oppugnatam (6) admotis machinis expugnat (7). Creta subacta, novum oppidum Temenos conditur. Nicephori triumphus (8). Eiusdem expeditio in Asiam. Sexaginta Saracenorum castella capta (9). Romani Imperatoris mors. Basilius et Constantinus, filii eius infantes, cum matre Theophano imperium suscipiunt (10). Nicephorus victor ex Asia redux, evitatis Iosephi cubicularii insidiis (11), Polyeucto patriarcha auctore, praetor Asiae a senatu renunciatur (12).*

α'. Ὁ μὲν δὴ τῶν Ῥωμαίων στρατηγὸς Νικηφόρος ἐς τὴν τῶν A. M. 6469
Κρητῶν νῆσον, ᾗπέρ μοι εἴρηται, ἤδη τὴν Ῥωμαϊκὴν περαιω- Ind. 4 A. C. 961
σάμενος δύναμιν, καὶ τῶν ἰθαγενῶν βαρβάρων ἐν τῇ συστάδην I. Rom. 2
μάχῃ τοὺς μὲν παρανάλωμα μαχαίρας ἀπεργασάμενος, τοὺς δὲ Par. 10
περιλειφθέντας ἀπονητί τε καὶ ἀκαρῆ τῷ ἄστει συγκλείσας, αὐτόθι τε διεχείμαζε, καὶ τὸν στρατὸν ὁσημέραι τῷ πολεμεῖν ἐξεπαίδευεν. ἐν τούτῳ δὲ Χαμβδᾶν, ὁ τῶν τῆς Κιλικίας προσοίκων Ἀγαρηνῶν ἀρχηγὸς, ἀνὴρ ἀγχίνους τε καὶ δραστήριος, ἐμ-

1. In hunc modum Romanae militiae magister Nicephorus, copiis in Cretam insulam, ut supra dictum est, traiectis, partim incolentium barbarorum collatis signis deleverat: parte quae superfuerat celeriter parvo negotio in oppidum compulsa, eodem in loco hibernabat, militesque quotidie ad bellum exercebat. Dum haec geruntur, Chambdan, Saracenorum Ciliciae finitimorum princeps, homo acutus et strenuus, rei militaris a puero

A. M. 6469 Ind. 4 πειρίᾳ τε πολέμων ἐκ νεότητος ἁπάντων τῶν ὁμοεθνῶν ἀδηρίτως ὑπερτερῶν, ἐπεὶ τὰς Ῥωμαϊκὰς ᾔσθετο δυνάμεις ἔκπλουν καὶ
C ἄπαρσιν ποιουμένας κατὰ τῶν Κρητῶν, ἔγνω πρὸς αὑτοῦ τὸν καιρὸν εἶναι, ἀδεῶς τε τῆς ἀνατολῆς καταδραμεῖν, ὁπόσον ἡ Ῥωμαϊκὴ διέπει ἀρχή, καὶ τοῦτο λῄσασθαι ἀναιμωτί, καὶ πλοῦτον συναγεῖραι πλεῖστον, καὶ κλέος ἀείμνηστον ἀπενέγκασθαι. καὶ δῆτα τὸ ἀκμαῖον καὶ νεανικὸν τῶν Ἀράβων καὶ Ἀγαρηνῶν συναλίσας, κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐχώρει, πᾶν τὸ παραπῖπτον κατεμπιπρῶν καὶ λείαν τιθέμενος. ὁ δὲ αὐτοκράτωρ Ῥωμανός, τὴν ἔφοδον τού-
D του αἰσθόμενος καὶ τὴν ὕπαιθρον καὶ βιαίαν καταδρομήν, Λέον-
Fol. 276 v. τα τὸν Φωκᾶν, ὁμαίμονα τοῦ Νικηφόρου τελοῦντα, καὶ τῶν τῆς Εὐρώπης στρατιωτικῶν καταλόγων κατάρχοντα (Δομέστικον δύσεως Ῥωμαῖοι τὴν τοιαύτην ἀρχὴν ὀνομάζουσι), τῷ Χαμβδᾶν ἀντίξουν ἐκπέμπει· ἄνδρα γενναῖον καὶ νεανικόν, φρενήρη τε διαφερόντως, καὶ τὸ ξυνοῖσον ἐν περιστάσεσιν ἐπιφράσασθαι πάντων, ὧν ἴσμεν, ἐπιβολώτατον· ᾧ θεία τις, οἶμαι, κατὰ τὰς μάχας συνεμάχει ῥοπή, ἅπαν τὸ ἀντίπαλον καταστρεφομένη καὶ τιθεῖσα ὑπόσπονδον.

P. 11 β'. Πολλῶν γὰρ αὐτῷ συῤῥαγέντων πολέμων παρὰ τὸν τῆς στρατηγίας καιρόν, οὐδέποτε τοῦ ἀντικαθισταμένου ἀπῆλθε μειονεκτῶν, ἀλλ' ἀεὶ τὸ πλέον τῆς νίκης ἀποφερόμενος. τῷ τοι καὶ Σκυθικῆς στρατιᾶς τὸν Ἴστρον περαιωθείσης τὸ κατ' ἐκεῖνο καιροῦ (Οὔννους τὸ ἔθνος κατονομάζουσιν), ἐπεὶ μὴ οἷός τε ἦν ὁ

8. Ἀράβων] Ἀγάβων cod.

tractatae usu inter populares suos omnes citra controversiam praestans, ubi intellexit Romanas copias maritimam contra Cretenses expeditionem suscepisse, tempus idoneum existimavit ad impune invadendum quicquid in Oriente Romanorum potestate teneretur, idque incruento milite vastandum: inde se et opes plane magnas et gloriam perpetuam reportaturum. Ita florentem ac firmum Arabum et Saracenorum, quem coëgerat, exercitum in fines Romanos ducit: obvia quaeque incendit et diripit. Cognita eius incursione atque impetu, aperta vi facto, Romanus Imperator Leonem Phocam Nicephori fratrem, qui copiis Europae praeerat (Domesticum Occidentis Romani hoc officium appellant), adversus Chambdanum misit. Erat Leo vir strenuus, animo forti, prudentia singulari, ad optima pro temporibus consilia invenienda unus omnium, quos quidem novimus, felicissimus; quem divinum aliquod, opinor, in bellis adiuvabat numen, adversarios illi omnes subiiciens, obnoxiosque reddens.

2. Etenim, cum in curriculo imperiorum bella gessisset plurima, nunquam tamen inferior discessit ab hoste, sed victoriae palmam semper consecutus est. Velut cum tunc exercitus Scythicus Istrum traiecisset (Hunnos gentem nominant), neque Leo dux aperto Marte decernere cum illo

στρατηγὸς Λέων ἐξ ἀντιπάλου ταύτῃ συμπλέκεσθαι, ὑπεράρι- A. C. 961
θμον ἐπαγαλλομένης τὸ πλῆθος τῆς φάλαγγος, σπανίζουσαν αὐ- I. Rom. 2
τὸς καὶ οὐκ ἀξιόμαχον ἴλην στρατιωτῶν ἐπαγόμενος, ἔγνω μὴ ἐς
προῦπτον κίνδυνον φέρων ἐνσεῖσαι αὐτόν τε καὶ τοὺς συνεπομέ-
νους, λαθραίως δὲ μᾶλλον τοῖς Σκύθαις ἐπιπεσεῖν, καί τι γεν- B
ναῖον δρᾶσαι καὶ ἀνδρικόν, καὶ δόξαν εὐκλεᾶ σφετερίσασθαι.
ἄρτι γοῦν διὰ τῶν δρυμῶν κρύβδην παραδραμών, καὶ τὴν ἔπαυ-
λιν τῶν Οὔννων ἐξ ἀπόπτου περιαθρήσας, καὶ τὸ πλῆθος ἐς τὸ
ἀκριβὲς κατασκοπήσας, ἀωρὶ τῶν νυκτῶν τριχῇ διαιρήσας τὴν
φάλαγγα, ἐπῄει τοῖς Σκύθαις, καὶ τοσοῦτον φόνον αἰφνίδιον εἰσ-
πεσὼν ἐν μικρᾷ καιροῦ ῥοπῇ ἀπειργάσατο, ὡς εὐαριθμήτους ἐκ
τοῦ ἀμυθήτου πλήθους διαφυγεῖν. τοῦτον τὸν στρατηγὸν Λέον-
τα Ῥωμανὸς ὁ αὐτοκράτωρ εἰς τὴν Ἀσίαν διεβιβάσατο, εἴ πως
ἀλλά τάς τε τῶν βαρβάρων ἐπιδρομὰς ἀναστείλειε, καὶ τὰς ἀναί-
δην τολμωμένας ἀναχαιτίσοι ἐπαγωγάς. ὁ δὲ στρατηγός, ἐπεὶ C
τῆς Εὐρώπης ἀπάρας τὴν Ἀσίαν κατείληφε, καὶ τὸ αὔθαδες καὶ
ἀτέραμνον τοῦ Χαμβδᾶν ἠνωτίζετο, καὶ νεὼς καὶ κώμας πεπυρ-
πολημένας ἑώρα, καὶ φρουρίων κατασκαφάς, ἐρημίαν τε τῶν
κατοίκων καὶ βιαίαν ἀπαγωγήν, ἔγνω, μὴ ἐς προῦπτον κίνδυνον
ἐνιέναι τὴν στρατιάν, μηδὲ τῷ βαρβαρικῷ εἰς τοὐμφανὲς ἀντι-
παρατάττεσθαι πλήθει, πολλὰς μὲν ἐπανῃρημένῳ νίκας, ταῖς δὲ
παρ' ἐλπίδα γαυριῶντι τύχαις, μυριανθρώπους τε καὶ ἐς τὸ ἀκρι-
βὲς καθωπλισμένας ἐπιφερομένῳ τὰς φάλαγγας· καὶ μάλιστα εὐ- D

14. ἀλλαττάς τε cod.

posset, quod acies hostium innumerabili multitudine superbiret, ipse vero exiguam infirmamque militum manum contra duceret, statuit in perspicuum periculum se suosque minime praecipitatum ire, insidiisque potius Scythas adoriri, ut sic praeclaro aliquo ac forti facinore edito gloriam singularem adipisceretur. Ita cum per silvas clam accessisset, consideratis undique ex occulto Hunnorum castris, numeroque accurate perspecto, intempesta nocte exercitum trifariam partitus Scythas invasit, subitoque incursu tantam puncto temporis caedem fecit, ut ex multo maxima multitudine oppido pauci elaberentur. Hunc Leonem ducem Romanus Augustus in Asiam transmisit, si quo modo barbarorum perniciosas grassationes cohibere posset, et mala, quae impudenter inferre non verebantur, reprimere. Dux, cum ex Europa profectus in Asiam venisset, Chambdanique audaciam ac duritiem auditu acciperet, templa et oppida succensa videret, dirutа castella, desolatam incolis regionem, iis violenter in captivitatem abductis, operae pretium duxit, ne in apertum periculum quas ducebat copias proiiceret, neve aperto Marte cum tanta barbarorum multitudine aciem componeret, quae multas iam victorias retulisset, feliciqne, quam experta erat praeter exspectationem, fortuna superbiret: cum praesertim innumera paene multitudine hominum probe armatorum confertas turmas

A. M. 6469 ἀρίθμητόν τε τὴν στρατιὰν καὶ οὐκ ἀξιόχρεων αὐτὸς ἐπαγόμενος,
Ind. 4. κατεπτηχυῖάν τε τὰς τῶν Ἀγαρηνῶν εὐημερίας καὶ τὰ καθ' ἑκά-
Fol. 277 r. στην τρόπαια· κατειληφέναι δὲ μᾶλλον τὰ ἐπικαιρότατα καὶ
κρημνώδη τῶν χώρων καὶ προλοχίζειν κατὰ ταῦτα, καὶ τὰς διεξ-
όδους ὑποτηρεῖν· ὑπαντιάζειν τε τοῖς βαρβάροις ἐν τοῖς ἐπισφα-
λέσι καὶ ἀμφιταλάντοις τῶν ἀταρπιτῶν, καὶ καρτερῶς ἀγωνίζε-
σθαι, ὁπηνίκα καὶ διοδεύοιεν.

γ΄. Οὕτω δὴ γνωσιμαχήσαντι καὶ βουλευσαμένῳ τῷ στρα-
τηγῷ Λέοντι ἐπῆλθε, καὶ λόγοις ὑπαλεῖψαι τὴν στρατιὰν καὶ
P. 12 παραινέσεσιν ἐπιῤῥῶσαι, κατὰ τῶν βαρβάρων ἡνίκα δέοι χωρεῖν,
καὶ θαῤῥαλεωτέραν ἐργάσασθαι πρὸς τὸν πόλεμον. Διαναστὰς
οὖν ἐπὶ τοῦ πλήθους καὶ μικρὸν ἐπισχὼν, τοιαύτην εἰσηγεῖτο πα-
ραίνεσιν· „Ἅπαν μὲν τὸ καθ' ὑμᾶς στῖφος εἰδὼς ἄριστον, ὦ συ-
στρατιῶται, αὐτουργόν τε τὰ πολέμια, καὶ τακτικῆς ἐμπειρίας
ὑπόπλεον, ἐπὶ τὴν Ἀσίαν ὁ κοινὸς ἀμφοτέρων δεσπότης καὶ βα-
σιλεὺς, κάμνουσαν ἤδη καὶ ἐπὶ γόνυ κεκλιμένην ταῖς τοῦ Χαμ-
βδᾶν καταδρομαῖς τε καὶ προνομαῖς, ἐμοὶ τὴν τῆς ἡγεμονίας ἐγ-
χειρίσας ἀρχὴν, διεβίβασε. παραινῶ τοίνυν καὶ συμβουλεύω,
οὐχ ὅπως γενναίως ἀντιτάξοισθε τοῖς ἐχθροῖς (οἶμαι γὰρ μὴ δεῖ-
B σθαι λόγων ὑμᾶς ἐναγόντων ἐς εὐτολμίαν, οἷς ἐξ ἁπαλῶν ἀνδρία
μετὰ τόλμης ἐξήσκηται)· ἀλλ' ὡς ἂν ἄριστα βουλευσάμενοι κα-
ταγωνίσοισθε τὸν ἐχθρόν. πόλεμος γὰρ οὐ τοσοῦτον ἐξ ἀντιπά-
λου κατορθοῦσθαι ῥοπῆς εἴωθεν, ὅσον εὐβουλίας προνοίᾳ καὶ
τροπαίων ἐπαγωγῇ ῥᾳδιουργουμένῃ κατὰ καιρόν. τὴν μὲν οὖν

5. αὐταρπιτῶν cod. 8. γνωσομαχήσαντι cod.

inferret; ipse exiguam infirmamque manum ductaret, Saracenorum faustis adeo successibus pavidam, iisque tropaeis, quae quotidie erigebant: sed ut potius opportunissima praeruptaque loca occuparet, inque locatis insidiis hinc inde transeuntes hostes observaret, atque illis in lubricis ancipitibusque viarum angustiis occurrens, in transitu fortiter cum eis dimicaret.

3. Sic animo attento deliberanti Leoni duci in mentem venit, verbis quoque exacuere exercitum, eumque exhortationibus firmare, quando ex re foret adversus barbaros signa movere, et alacriorem ad bellum reddere. Ita in concionem ascendens, cum paulisper siluisset, cohortationem eiusmodi instituit: „Omnes legiones vestras, commilitones, communis noster Dominus et Imperator, quod firmas, nec virtute in bellis minus quam usu in re militari praeditas esse sciret, in Asiam Chambdani incursionibus populationibusque defessam iam atque ruentem, summa imperii mihi tradita, transmisit. Quamobrem hortor et suadeo, non ut fortiter rem geratis contra adversarios (neque enim cohortatione vos puto indigere, qui virtutem et audaciam a puero praestitistis), sed ut quam prudentissimo consilio hostem expugnetis. Nam non tantum violento impetu bellum solet provehi, quantum iudicii prudentia et victoriis per calliditatem opportune partis. Co-

παράταξιν τῶν ἐχθρῶν ἴστε σαφῶς, ὅση διὰ τῶν τῆδε πεδίων A. C. 961
ἐκκέχυται, ὡς πολλή τέ ἐστι καὶ ἀριθμὸν ὑπερβαίνουσα· τὴν δὲ I. Rom. 2
καθ' ὑμᾶς στρατιὰν γενναίαν μὲν καὶ νεανικὴν τῇ τε ῥώμῃ καὶ
τοῖς φρονήμασι καὶ αὐτὸς εἶναί φημι· πλήθει δὲ καὶ ταῖς φάλαγ-
ξιν οὐκ ἂν φαίη τις ἀξιόμαχον. δεῖ οὖν Ῥωμαίους ὄντας μεμη- C
χανῆσθαί τε καὶ βεβουλεῦσθαι δεόντως, ἐν τοῖς ἀπόροις ἐξευρί-
σκειν τὰ πρόσφορα, αἱρεῖσθαί τε πρὸ τῶν δεινῶν τὰ ξυμφέρον-
τα. μὴ οὖν ἀλογίστῳ φορᾷ καὶ παραβόλοις τολμήμασιν εἰς
προὖπτον αὐτομολήσωμεν ὄλεθρον. τόλμα γὰρ ἀχαλίνωτος ἐς
κίνδυνον εἴωθε συνωθεῖν, ἡ δὲ μετὰ λογισμοῦ μέλλησις διασώ-
ζειν οἶδε τοὺς κεχρημένους αὐτῇ."

δ'. „Παραινῶ τοιγαροῦν, ἄνδρες, μὴ διακινδυνεύειν πρὸς
τοὺς βαρβάρους ἐπὶ τόπων τῶν πεδεινῶν ἀκαθέκτοις ὁρμήμα-
σιν, ἀλλ' ἐπὶ τῶν ἐρυμνῶν ἐλλοχῶντας τουτωνὶ χωρίων τὴν ἐκεί-
νων ὑπομένειν ἄφιξιν καὶ διάβασιν· τηνικαῦτα δὲ τούτοις ἐῤῥω- D
μενέστερον ἐπιτίθεσθαι καὶ γενναίως ἀντικαθίστασθαι. ταύτῃ Fol. 277 v.
γὰρ οἶμαι (σὺν Θεῷ φάναι) κρατήσειν τε τῶν ἐχθρῶν, καὶ τὴν
λείαν ἅπασαν τῶν ὁμοφύλων πρὸς ἡμᾶς ἀνασώσασθαι. τῷ γὰρ
ἀπροσδοκήτῳ τῶν ἐπιδρομῶν δουλοῦσθαι εἴωθε τὰ πολέμια, καὶ
ταῖς αἰφνιδίοις ὑπεξελάσεσι τὰ ὑπέραυχα καὶ ἀλαζονικὰ πέφυκε
φρονήματα θραύεσθαι. τήν τε οὖν ἡλικιῶτιν ἀρετὴν διατηροῦν-
τες καὶ τὴν σύντροφον πρὸς τοὺς ἀγῶνας εὐγένειαν, τοῖς ἐναν-
τίοις ὑπαντιάζετε, ὅτε σημήνω ταῖς σάλπιγξι." τοιαύτην μὲν ὁ P. 13
στρατηγὸς τὴν παραίνεσιν ἐξηγήσατο· ὁ δὲ στρατὸς ἠλάλαξέ τε

pias hostium per hos campos effusas probe nostis tot esse ut numerum superent: exercitum nostrum intrepidum et alacrem virtute animoque esse vel ipse fateor: multitudine catervisque militum firmissimum ad pugnam nemo facile dixerit. Proinde debemus, quandoquidem Romani sumus, acumen consiliumque debitum adhibere, quemadmodum in loco difficili constituti convenientia inveniamus, utiliaque potius quam exitiosa consilia capiamus. Ne igitur inconsiderato impetu ausisque temerariis in apertam ruamus perniciem. Nam effrenata audacia in periculum solet coniicere, cunctatio cum iudicio coniuncta servare potest illos qui ea utuntur."

4. „Quare vos hortor, commilitones, ne locis campestribus in discrimen vos adversus barbaros intemperatis incursionibus offeratis, verum ut, in regionibus natura munitis illis insidiantes, eorum praestolemini adventum ac transitum: tunc autem ut fortiter eos adorti acriter rem geratis. Sic enim opinor (pace numinis dixerim), nos et superaturos hostes, et praedam omnem popularibus nostris ereptam recepturos. Habent enim hoc adversarii, ut improvisis percellantur incursibus, utque aggressionibus repentinis elati atque impotentes animi eorum frangantur. Ita iuvenilem virtutem servantes, et assuetam in praeliis generositatem, adversariis occurrite, ubi tubis signum dedero." Hac habita oratione a duce, exercitus

A. M. 6469 Ind. 4 καὶ ἐπεκρότησε, καὶ ὡς τὰ κράτιστα ὑποθεμένῳ ᾗ ἂν ἡγοῖτο ἕπεσθαι προθύμως ἦν. ἐνέδραις οὖν διειλήφει τὴν ὁδὸν, ἀποτόμους τὰς ἀκρωρείας προβαλλομένην, κρημνώδεις τε καὶ σηραγγώδεις ὡς τὰ πολλὰ, τὰς ὑπωρείας δὲ βαραθρώδεις τε καὶ ἀμφιλαφεῖς πρέμνων τε καὶ παντοδαπῶν ἰδέαις φυτῶν. ταύτῃ προλοχίσας ὁ στρατηγὸς καθῆστο, τὴν τῶν βαρβάρων προσμένων ἐπήλυσιν. ὁ δὲ Χαμβδᾶν, τῷ τε πλήθει τῶν ἐφεπομένων καὶ ταῖς φάλαγξι σοβαρευόμενος καὶ γαυρούμενος, τῇ τε τῶν λαφύ- B ρων πλησμονῇ καὶ τῇ τῶν αἰχμαλώτων ἀπαγωγῇ ἐπαιρόμενός τε καὶ βρενθυόμενος, πολλὰς κατὰ θάτερα τὰς ἐπεξελάσεις ἐποιεῖτο, ἐφ' ἵππου θηλείας καὶ μέγεθος καὶ δρόμον ὑπερφυοῦς ἐποχούμενος, καὶ τῆς στρατιᾶς πῃ μὲν οὐραγῶν, πῇ δὲ προοδεύων, καὶ τὸ δόρυ σείων, καὶ ταῖς αὔραις μεθιεὶς, εἶτ' αὖθις μεθέλκων πρὸς ἑαυτὸν κραδαινόμενον. ἐπεὶ δὲ τὴν ἱππήλατον ὁδὸν διελθὼν ταῖς δυσχωρίαις προσέβαλλε, καὶ τοῖς στενωτάτοις καὶ ἀνωμάλοις συνειληθέντες τῶν τόπων οἱ βάρβαροι τὴν φάλαγγα διελύσαντο, καὶ ὡς πῃ ἐνὸν ἦν ἑκάστῳ, κατὰ κρημνώδη διῄεσαν, τηνικαῦτα ταῖς σάλπιγξι τὸ ἐνυάλιον ὑποσημήνας ὁ στρατηγὸς C καὶ τῶν λόχων διαναστήσας τοὺς ἀμφ' αὐτὸν, ὑπηντίαζε τοῖς βαρβάροις.

ε'. Καὶ πάντες ἐπὶ τῶν ξιφῶν εἶχον τὰς δεξιὰς, καὶ ταῦτα σπασάμενοι ἐπιστροφάδην ἔκτεινον τὸ ἀντίπαλον κεκμηκὸς τῇ ὁδοιπορίᾳ, ἀκμῆτες αὐτοὶ τούτῳ πελάζοντες. καὶ κἂν καὶ αὐτὸς ὁ Χαμβδᾶν ἥλω μικροῦ πρὸς τῶν Ῥωμαίων δορυάλωτος· εἰ

2. προθύμως. Sic cod. 22. σπασάμενος cod. 23. ἀκμήταις cod.

clamore plausuque sublato paratus erat eum, ut optima suadentem, sequi quacunque duceret. Proinde insidiis iter cingit, quod cum cacumina praerupta, ardua et cavernosa sane protendebat, tum dorsa montium voraginosa, silvis et cuiusque modi stirpibus opacata. Ibi insidiis ante positis praetor consederat, barbarorum exspectans adventum. Chambdan, subsequentium multitudine catervisque fretus et insolens, neque minus elatus atque superbus ob praedae copiam quam ob abstractionem captivorum, frequenter utroque procurrebat, vectus equa tum magnitudine tum pernicitate singulari, modo claudens modo antecedens agmen, lanceam vibrans, ac nunc permittens auris, nunc rursus crispatam ad se recipiens. Ubi vero emensa equitabili via ad fauces appropinquaverat, angustisque et asperis locis conclusi barbari acie soluta ut quisque poterat per crepidines nitebantur, tum dux, signo tubis dato, excitatis circa sese insidiis, obviam se barbaris obtulit.

5. Ita cuncti, gladios destrictos in manus sumentes, hostes itinere defatigatos strenue ceciderunt, cum ipsi integri ad illos accessissent. Neque multum abfuit quin ipse Chambdan a Romanis caperetur: nisi, ut

μῇ, τὴν ἄλλως ἀγχίνους ὢν κἀν τοῖς ἀπόροις ὀξὺς ἐννοῆσαι τὰ [A. C. 961] δέοντα, τὸν ὃν ἐπεφέρετο ἄργυρον καὶ χρυσὸν χύδην ἐπὶ τῆς [I. Rom. 2] ἀταρπιτοῦ διασπείρειν προσέταξεν· ᾧ καὶ περισπάσας τὴν τῶν Ῥωμαίων ὁρμὴν, ἀσχοληθέντων τῇ τοῦ χρυσοῦ συλλογῇ, μετ᾽ ὀλίγων ὑπασπιστῶν μόγις τὸν τοιοῦτον διαπέφευγε κίνδυνον. λέ- [D] γεται δὲ τοσοῦτον αὐτουργηθῆναι φόνον τοῦ βαρβαρικοῦ πλήθους πρὸς τῶν Ῥωμαίων κατὰ τουτονὶ τὸν πόλεμον, ὡς πολλα- [Fol. 278 r.] χοῦ τῶν χώρων ἐκείνων σωρείας ἀνθρωπείων ὀστῶν ὁρᾶσθαι μέχρι καὶ νῦν. ἐπεὶ δὲ τοιούτοις τροπαίοις καὶ στρατηγήμασι τὴν πολυάνθρωπον πληθὺν τῶν βαρβάρων ὁ στρατηγὸς ἠγωνίσατο καὶ διέφθειρε, καὶ τὸ ὑψαύχενον τοῦ Χαμβδᾶν καὶ τετυφωμένον εἰς ἀγεννῆ καὶ ἄνανδρον δειλίαν καὶ φυγαδείαν κατέσπασε καὶ συνέκλεισε, τοὺς ἀμφ᾽ αὐτὸν συναγηοχὼς καὶ τὴν λείαν ἐπισυνάξας, ὅση τε ἦν βαρβαρικὴ, καὶ ὁπόση Ῥωμαϊκὴ ἐκ τῆς προνο- [P. 14] μῆς τοῖς βαρβάροις συνήθροιστο, ταύτης τὸ πλεῖστον τῇ στρατιᾷ διένειμε· καὶ τοὺς αἰχμαλώτους ἐφοδιάσας ἐπὶ τὰ σφῶν ἤδη ἀποτρέχειν ἐξέπεμπε· τοὺς δὲ τῷ πολέμῳ ληφθέντας πέδαις ἀσφαλισάμενος τῶν Ἀγαρηνῶν, ἐπαιώνιζεν ἐπινίκια, καὶ τῇ προνοίᾳ τὰς εὐχαριστηρίους ἐσπένδετο προσευχὰς, καὶ πρὸς τὴν αὐτοκράτορα δυναστείαν ἠπείγετο, θριαμβεύσων εἰς τὸ Βυζάντιον. ὁ δὲ στρατὸς ἐν κρότοις εἶχε τὸν στρατηγὸν, ἀγάμενοι τοῦτον ὡς τὸ εἰκὸς, καὶ ἄνδρα ἐπιφημίζοντες, οἷον μὴ φέρειν ἄλλον τὴν τότε γενεὰν, καὶ τῆς εὐτυχίας αὐτὸν ἐξεθείαζον, κατὰ ῥοῦν αὐ- [B] τῷ προχωροῦντα τὰ τῶν πολέμων ὁρῶντες ὡς μάλιστα. ὁ δὲ

10. ὁ στρατηγόνισατο cod. Lege κατηγωνίσατο. vid. 14. B.

erat alias acutus et promtus ad recta consilia in difficultatibus invenienda, argentum et aurum, quod secum portaverat, temere per viam spargi iussisset: qua re Romanorum in colligendo auro occupatorum distracto impetu, cum paucis protectoribus periculum effugit. Tanta autem dicitur hoc praelio barbarae multitudinis facta esse clades, ut per agros illos acervi ossium humanorum ad hunc usque diem conspiciantur. Dux, huiusmodi victoriis ac stratagematis ingenti barbarorum multitudine debellata ac deleta, postquam arrogantem iactationem Chambdani in ignobilem atque ignavam timiditatem fugamque convertisset compulissetque, suis unum in locum congregatis, convecta tum barbarica tum etiam Romana praeda, quam in populatione barbari collegerant, eius maiorem partem exercitui distribuit: captivos viatico donatos ad suam quemque domum reverti iussit: deinde Saracenis, quos hoc bello captivos fecerat, in vincula coniectis, conclamata victoria, gratulatione rei bene gestae providentiae facta, ad Imperatoris numen ire contendit, Constantinopoli triumphaturus. At milites ducem plausu efferebant, admirantes haud immerito, et virum praedicantes, qualem neminem alium tulisset ea aetas: neque minus a felicitate eum celebrabant, cum viderent, ex sententia in bellis illi uni omnia procedere. Ipse ut

A. M. 6469 Ind. 4 κατειληφὼς τὸ Βυζάντιον, ἐπεὶ μετὰ πλείστης ὅτι λείας καὶ μυρίων δορυαλώτων Ἀγαρηνῶν εἰσῄει, ὑπεδέχθη τε ὑπὸ τοῦ αὐτοκράτορος Ῥωμανοῦ φιλοτίμως, κἀπὶ τοῦ θεάτρου θριαμβεύσας, τῷ πλήθει τῶν ἀνδραπόδων καὶ τῶν λαφύρων τοὺς θεωμένους ἐξέπληξεν· ἀμοιβάς τε καὶ τιμὰς, ἀναλογούσας τοῖς πόνοις, παρὰ τοῦ κράτους ἀπείληφεν. ἀλλ' οὕτω μὲν ὁ στρατηγὸς Λέων τὴν Ἀσίαν ἔσωσε, καταγωνισάμενος τὸν Χαμβδᾶν, φυγάδα τε καὶ ἀλήτην ἀπεργασάμενος.

C ς'. Νικηφόρος δὲ ὁ Φωκᾶς, ὁ τοῦ ῥηθέντος Λέοντος σύναιμος (δεῖ γὰρ ἀνακεφαλαιωσάμενοι τὸν λόγον καθ' εἱρμὸν πρόσω τῆς ἱστορίας χωρεῖν), ὡς τῇ τῶν Κρητῶν πελάσας ἐκεῖ διεχείμαζε, καὶ τόν τε στρατὸν τὰ πολεμικὰ διεγύμναζε, καὶ τὰς ἑλεπόλεις ἐτεκταίνετο, ἐπείπερ κατὰ νοῦν αὐτῷ πάντα προὐκεχωρήκει, ἄρτι τοῦ ἦρος ἐκ τῆς χειμερινῆς τροπῆς ἠρέμα προκύπτοντος, τὸν περὶ αὐτὸν καθοπλίσας στρατὸν καὶ εἰς βαθεῖαν παραταξάμενος φάλαγγα, τάς τε σάλπιγγας ἐπαυλήσας καὶ τὰ τύμπανα παταγήσας κατὰ τοῦ ἄστεος ἤλαυνεν. ἐν ᾧ δὲ ὁ στρατηγὸς τὴν ἴλην κατὰ μέτωπον ἐκρατύνετο, καὶ εἰς πλαίσιον τὰς D δυνάμεις συνέταττε, γύναιον ἑταιρικὸν, ἀκκιζόμενόν τε καὶ θρυπτόμενον, ἰταμὸν ἐπιεικῶς τυγχάνον καὶ ἀναιδὲς, τῶν προμαχεώνων προκύπτον, γοητείας ἐποιεῖτό τινας καὶ ἐπῳδάς. λέγεται γὰρ κατόχους εἶναι Κρῆτας μαντείαις καὶ βωμολοχίαις καὶ πλά- Fol. 278 v. ναις, πρὸς τῶν Μανιχαίων καὶ τοῦ Μωάμεθ παρειληφότας ἀνέ-

9. σύναιμος. Ea vox in codice omissa, recenti manu superscripta est. Paulo post auctor vel librarius scribere debuisset ἀνακεφαλαιωσάμενον aut ἀνακεφαλαιωσαμένους. 19. ἠτερηκὸν cod..

Constantinopolim venit, cum praeda quamplurima et captivis Saracenis permultis ingressus, a Romano Imperatore magnifice receptus est, perque Circum triumpho acto, captivorum ac spoliorum copia in stuporem spectantes rapuit, praemiis subinde et honoribus pro laborum magnitudine a principe acceptis. Leo dux, fuso, fugato, exagitato Chambdano, hunc in modum Asiam servavit.

6. Nicephorus autem Phocas, Leonis, de quo diximus, frater (oportet enim repetita narratione in serie historiarum procedere), cum admotis ad Cretensem urbem castris illic hiberna duceret, ac exercitum militaribus studiis exerceret, obsidionalesque machinas fabricaret, cum omnia illi ex sententia cessissent, verna paulatim tempestate ex hiberna mutante ac apparente, armato qui praesto erat exercitu, inque altam phalangem instructa acie, clangentibus tubis, tympanisque perstrepentibus, contra oppidum proficiscitur. Dum vero dux turmas a fronte firmat, et in agmen quadratum copias constituit, impudica quaedam, procax, fastidiosa muliercula, petulans admodum ac proterva, a propugnaculis prospiciens, praestigias quasdam et incantamenta peregit. Ferunt enim Cretenses vaticinationibus, fraudibus impiis et erroribus addictos esse, harumque rerum scientiam a Manichaeis et a Moamethe antiquitus accepisse. Neque hac sola

καθεν. οὐ ταύτῃ δὲ μόνον τὸ ἰταμὸν ἐκεῖνο γύναιον τὸ ἀναιδὲς A. C. 961 καὶ ἀκόλαστον ἐπεδείκνυτο· ἀλλὰ καὶ, τὸν χιτωνίσκον παρὰ τὸ I. Rom. 2. μέτριον ἀνασεσυρκὸς καὶ ἀπογυμνοῦν τὰ μέρη τοῦ σώματος, ἐς τὸν στρατηγὸν ἐπέσκωπτεν ἐπαρώμενον. καὶ δή τις τῶν εὐστόχων τοξοτῶν, τὴν νευρὰν ἐντεινάμενος, βάλλει τὸ ἀκόλαστον γύ- P. 15 ναιον, καὶ χαμαιῤῥιφὲς τῶν πύργων κατήνεγκε, διαῤῥαγὲν αὐτίκα, καὶ τὸ ψυχίδιον ἀποφυσῆσαν, καὶ τίσιν τῆς ὕβρεως τὸν οἰκτρὸν ἐπισπασάμενον ὄλεθρον. ἄρτι δὲ τῆς μάχης καρτερᾶς ἀναῤῥιπισθείσης, χρόνον μέν τινα ἀντεῖχον οἱ Κρῆτες, ἐκ τῶν τειχῶν ἐκθύμως ἀγωνιζόμενοι, καὶ πολλοὺς τῶν Ῥωμαίων τιτρώσκοντες.

ζ. Ὁ δὲ στρατηγὸς, τοῦτο καταμαθὼν, τὰς ἀφετηρίους θᾶττον παρήγαγε μηχανὰς, καὶ βάλλειν τοὺς βαρβάρους ἐκέλευε. B καὶ πρὸς τούτοις τοῖς τείχεσι προσεπέλασε τὴν ἑλέπολιν· κριὸν Ῥωμαῖοι τὸ τεχνούργημα ὀνομάζουσι, τῷ δίκην κριοῦ προτομῆς τὸν σίδηρον ἀπεικάζεσθαι, ὃς ἐνηρμοσμένος ὢν τῇ δοκῷ παίει τὸν δόμον τοῦ ἄστεος. τῶν δὲ πετροβόλων βάρη θαμινὰ τῶν λίθων ἐπαφιέντων, εὐπετῶς οἱ βάρβαροι ἀνεστέλλοντο· καὶ τοῦ κριοῦ τοῖς τείχεσιν ἐγχριμφθέντος καὶ κραταιῶς ταῦτα τύπτοντος, ἄνδρες ὑποδύντες τὴν ταφρείαν συχνοὶ, λιθοτόμα ὄργανα φέροντες, καὶ ἀνορύττειν ἐκεῖθεν ἀρξάμενοι, ἐξεκόλαπτον ἠρέμα, καὶ τὴν λίθον διέκοπτον, ἵνα τοῦ τείχους ἡ βάσις ἠρήρειστο. παρὰ τυχὸν δὲ ψαμμῶδες ταύτῃ τὸ μέρος ἡ λίθος λαχοῦσα ὑπεῖκέ τε C καὶ ἐνεδίδου ὡς μάλιστα. ὁ δὲ κριὸς τύπτων οὐκ ἀνίη τὸ ἔρυμα, καὶ κατὰ μικρὸν διασπῶν τὴν οἰκοδομίαν, ἐς τὸ ἀκριβὲς συμπε-

15. παίε cod.

re petulans muliercula protervitatem atque audaciam manifestam reddidit: verum, sublata quoque plus quam tempus postulabat tunica nudatoque corpore, in ducem dicteria et execrationes iecit. Tum vero sagittariorum peritorum aliquis intento arcu importunam mulierem confixam de turribus in terram deiecit, ut, evestigio disrupta, efflata animula poenam insolentiae acerbo interitu consequeretur. Iam vero acri pugna conserta, restiterunt per tempus aliquod Cretenses, strenuo fortique animo ex muris dimicantes, ac Romanorum non paucos vulnerantes.

7. Qua re perspecta, praetor petrarias celeriter adduxit, barbaros lapidibus peti iussit. Ad haec muris admovit helepolim: arietem hoc inventum Romani vocant, propterea quod ferrum, quod trabi praefixum oppidi moenia pulsat, ad capitis arietini formam effictum est. Petrariis crebra saxorum pondera rotantibus, parvo negotio barbari repressi sunt. Interim, ariete muris insinuato, maioreque impetu eos quatiente, viri non pauci, lapicidarum instrumenta gerentes, fossam ingressi sunt: inde suffodere orsi exscindebant paulatim dirimebantque lapides, quibus muri fundamenta nitebantur. Casu autem accidit ut lapis, propterea quod erat illa ex parte arenosior, facillime cederet locumque daret. Neque aries intermisit interea pulsare munitionem, murique contextum, quantumvis den-

A. M. 6469 Ind. 4 πιλημένην οὖσαν καὶ δυσαπόσπαστον. ἐπεὶ δὲ τὰ γεῖσα, ἅπερ διώρυττον οἱ ἐπὶ τοῦτο ταχθέντες, ἐκκρεμῆ καὶ ὑπόκενα, ὡς τὸ εἰκὸς, ἐξειργάσαντο, ὀρθοστάδην ξύλοις ὑπήρειδον, ὕλην τε ταχυδαῆ καὶ αὖον συννήσαντες καὶ πῦρ ἐνιέντες, τῆς διώρυχος ὑπεξῄεσαν. τῆς δὲ φλογὸς ἀναφθείσης καὶ τῶν στηριγμάτων ἀνθρακωθέντων, δύο πύργοι ὁμοῦ τῷ διαμέσῳ τούτων δομήματι τοῦ τείχους ἐξαπιναίως ἀποῤῥαγέντες, ὑφίζανόν τε, καὶ ὑπωλί- D σθαινον, καὶ πρὸς τοὔδαφος κατεφέροντο. οἱ δὲ Κρῆτες, τῷ καινῷ τοῦ ὁράματος θαμβηθέντες, ἐπ' ὀλίγον χρόνον τὴν μάχην ἐξέκλιναν, τῷ τεραστίῳ καταπλαγέντες τοῦ πράγματος. εἶτ' αὖθις τὸν τῆς αἰχμαλωσίας καὶ δουλείας ὑπολογισάμενοι κίνδυνον, εἰς ἀῤῥαγῆ παράταξιν συνηθροίζοντο, καὶ διὰ τῶν κατεριπωθέντων τειχῶν τὴν Ῥωμαϊκὴν διαβαίνουσαν φάλαγγα ἐῤῥωμενέστατα ὑπεδέχοντο, δαιμονίως τε διηγωνίζοντο, περὶ ψυχὴν κινδυνεύον- Fol. 279 r. τες. ἄρτι δὲ πολλῶν ἀναιρεθέντων, ἐπεὶ πρὸς τοσαύτην ἀνανταγώνιστον ῥοπὴν οὐχ οἷοί τε ἦσαν ἀντικαθίστασθαι (ἐπέβρισαν γὰρ αἱ δυνάμεις κατόπιν, καὶ ὠθισμὸς ἀνυπόστατος ἦν), P. 16 εἰς φυγὴν τρέπονται, χωροῦντες διὰ τῶν στενωπῶν· Ῥωμαῖοι δὲ ἐφεπόμενοι τούτους ἀνῄρουν ἀνηλεῶς. οἱ δὲ περιλειφθέντες καὶ ὅσους οὐκ ἔφθη ἐκθερίζειν ὁ πόλεμος, τὰ ὅπλα ῥίψαντες εἰς ἱκετείαν ἐτράποντο. ὅπερ ὁ στρατηγὸς θεασάμενος, τὸν ἵππον κεντρίσας καὶ τὸν δρόμον ἐπιταχύνας, εἰσήλαυνέ τε καὶ τῶν στρατιωτῶν τὴν ὁρμὴν ἀνετείχιζε, μὴ κτείνειν ἀναπείθων τοὺς

1. ταγεῖσα cod. uno verbo. 6. διαμέσων cod. 14. Fort. ψυχῆς. 23. Fort. ἀνεχαίτιζε.

sum ac coagmentatum, paulatim distrahere. Fastigia muri cum submissi fossores pendula atque concava, id quod necesse erat accidere, reddidissent, lignis erectis suffulserunt, materiaque facile flagranti atque arida ingesta, ubi ignem subdiderant, cuniculo excesserunt. Flamma excitata cum fulcimenta absumerentur, turres duae cum muro intermedio repente divulsae subsederunt, ruinaque edita in terram delatae sunt. Cretenses, novitate spectaculi stupefacti, parumper pugnam declinaverunt, prodigii immanitate attoniti. Tum rursus captivitatis periculum ac servitutis animo recolentes, constipato agmine aciem coëgerunt, perque murorum rudera Romanorum phalangem pervadentem fortissime excipientes, maioribus quam pro humana virtute animis in vitae discrimine dimicarunt. Tandem multis caesis, cum contra tam vehementem impetum diutius resistere non possent (ingruebat enim vis a tergo, impressione prorsus intolerabili), in fugam conversi in angiportus se deiecerunt: Romani vero insecuti dire eos trucidabant. Tum qui hactenus superstites erant, ac quotquot bellum non demessuerat, proiectis armis ad preces confugerunt. Qua re visa, praetor, calcaribus equo subditis, concitato cursu oppidum intrat et militum impetum inhibuit: non esse trucidandos suadens, qui arma abiecissent, nec in

τὰ ὅπλα ῥίψαντας ἄνδρας, μηδὲ κατὰ ψιλῶν καὶ ἀόπλων ὠμῶς A. C. 961 καὶ ἀπανθρώπως χωρεῖν, ἀπανθρωπίας λέγων εἶναι, τὸ ὑπεῖξαν L. Rom. 2 καὶ γεγονὸς ὑποχείριον διαφθείρειν ἤδη καὶ ἀποκτιννύειν ὡσπερεὶ πολέμιον. τούτοις τοῖς λόγοις μόλις ἐπέσχεν ὁ στρατηγὸς τῆς B στρατιᾶς τὴν μιαιφόνον ὁρμήν.

η'. Ἐπεὶ δὲ κατὰ κράτος ἥλω ἡ πόλις, τὰ πρωτόλεια ὑφελὼν ὁ στρατηγός, καὶ τὸ ἀκμαῖον τῶν αἰχμαλώτων ἀνδραποδισάμενος, διειληφώς τε ταῦτα καὶ εἰς ὃν ἔμελλε κατάγειν θρίαμβον διατηρήσας ὡς μάλιστα, τὰ λοιπὰ τοῖς στρατιώταις προνομεύειν προτέθεικεν. οἱ δὲ διὰ τῶν δωμάτων χωροῦντες πολλὰς καὶ πολυτελεῖς ἐκαρποῦντο τὰς ὠφελείας. πλείστων γὰρ καὶ ἀνεξάντλητον τῶν Κρητῶν λέγεται πόλιν ἔνδον τὸν ὄλβον παρακατέχειν, ἐπὶ συχνὸν οὐχ ἥκιστα εὐημερήσασαν, εὐμενοῦς τε καὶ μειλιχίου C πειραθεῖσαν τῆς τύχης, καὶ μηδέν τι τῶν ἀπευκταίων καθυπομείνασαν, ἃ ἡ παλίντροπος τῶν χρόνων φορὰ ὡσανεί τινας κῆρας ἐπικυλίνδειν εἴωθε· μάλιστα δὲ πειρατικαῖς καὶ λῃστρικαῖς κεχρημένην ἐκπλεύσεσι, τῶν γαιῶν ἀμφοτέρων λῃΐσασθαι τὰ παράκτια, κἀκ τῶν τοιούτων ἐπιτηδευμάτων ἀποθησαυρίσαι πλοῦτον ἀμύθητον. ἀλλὰ τοῦτον μὲν τὸν τρόπον ἥλω τὸ ἄστυ καὶ πρὸς τῶν Ῥωμαϊκῶν ἐλήφθη χειρῶν. ἐπεὶ δὲ τὰ ἔνδον ἐκκεκόμιστο ἅπαντα, τὸν περίβολον ὁ Νικηφόρος κατασκάπτειν διακελεύεται· τοῦ δὲ πολλαχῇ κατεριπωθέντος, ἐπὶ τὴν χώραν αὖθις ἀπῆγε τὴν δύναμιν. ἀνδραποδισάμενός τε ταύτην καὶ λῃϊσάμενος, καὶ τὸ ἀντίξουν D ἅπαν ἀναιμωτὶ παραστησάμενος, ἐπί τινα λόφον ὑψηλὸν

12. τῶν. Leg. τὴν sive τὴν τῶν. 19. εἶλο τό cod.

nudos ac inermes crudeliter et sine humanitate irruendum: „inhumanitatis esse" aiebat, „eos qui cedant et se subiiciant, non secus atque hostes perdere et obtruncare." His verbis aegre dux crudelem impetum exercitus inhibuit ac sedavit.

8. Oppido vi expugnato, praetor subtractas manubiarum primitias captivosque valentiores in servitutem redactos seposuit, ad triumphumque, quem ducturus erat, diligenter reservavit: reliqua militibus diripienda proposuit. Illi per domos effusi praedam plurimam et magnificam fecerunt. Fertur enim Cretensium oppidum opes ingentes atque inexhaustas continuisse: propterea quod diu non parum felix, propitiam facilemque expertum fortunam, calamitatum nullam pertulisset, quas mutabilis temporum cursus tanquam aliquot pestes infligere solet: tum maxime, quod piraticis excursionibus et latrociniis usum, utriusque continentis populando littora, ejusmodi artibus divitias ineffabiles coacervasset. In hunc modum oppidum expugnatum Romanorumque manibus captum est. Evecta post haec omni supellectile, murorum ambitum perfodi atque disiici Nicephorus iussit: quo multis in locis destructo, in agrum rursus educit copias. Quem populatus, hominibus in servitutem redactis, cum quicquid infestum superfuerat

A. M. 6469 καὶ ἀνάντη, οὐκ ἀπωτάτω τοῦ κατεριπωθέντος ἄστεος ὑπερκείμε-
Ind. 4
A. C. 961 νον, ἵεται, καὶ παμπληθεὶ τειχίον οἰκοδομεῖν ἐγκελεύεται. ἀνεπι-
I. Rom. 2 σφαλὴς γὰρ ὁ χῶρος ἐδόκει, καὶ πρὸς ἔρυμα καρτερὸς, κρημνοῖς
τε διεῤῥωγὼς καὶ φάραγξιν ἀποτόμοις ἑκατέρωθεν, κἀκ τῆς κο-
ρυφῆς ἀεννάους ἀναδιδοὺς πίδακας, καὶ τοῖς ὕδασι τούτων κα-
ταῤῥεόμενος. τοῦ δὲ ἐρύματος ἀσφαλέστατά τε καὶ στερεώτατα
Fol. 279 v. ἐξεργασθέντος, στρατιὰν ἀξιόχρεων τῷ χώρῳ ἐγκατοικίσας, Τέ-
P. 17 μενος τὸ ἄστυ ὠνόμασε, καὶ τὴν νῆσον ἐξημερώσας ἅπασαν,
Ἀρμενίων τε καὶ Ῥωμαίων καὶ συγκλύδων ἀνδρῶν φατρίας ἐνοι-
κισάμενος, καὶ πυρφόρους τριήρεις ἐς φυλακὴν ταύτης καταλι-
πὼν, αὐτὸς τὴν λείαν καὶ τοὺς αἰχμαλώτους ἀνειληφὼς, ἀνέπλει
πρὸς τὸ Βυζάντιον. μεγαλοπρεπῶς τε παρὰ τοῦ αὐτοκράτορος
Ῥωμανοῦ ὑποδεχθεὶς, θρίαμβον ἐπὶ τοῦ θεάτρου κατήνεγκε, παν-
τὸς συναθροισθέντος τοῦ δήμου, καὶ τὸ πλῆθος καὶ τὸ κάλλος
τῆς λείας θαυμάζοντος. ἑωρᾶτο γὰρ χρυσὸς καὶ ἄργυρος παμ-
πληθὴς, καὶ νόμισμα βαρβαρικὸν ἀπέφθου χρυσοῦ, πέπλοι τε
χρυσόπαστοι, καὶ τάπητες ἁλουργοὶ, καὶ παντοδαπὰ κειμήλια,
B εἰς ἄκρον τέχνης ἐξειργασμένα, χρυσῷ καὶ λίθοις μαρμαίροντα·
πανοπλίαι τε, καὶ κράνη, καὶ ξίφη, καὶ θώρακες ἀληλιμμένα
χρυσῷ, ἔγχη τε καὶ ἀσπίδες καὶ τόξα παλίντονα ἀριθμὸν ὑπερ-
βαίνοντα (εἶπεν ἄν τις ἐκεῖσε παρατυχὼν, τῆς βαρβάρου γῆς
τὸν ἅπαντα πλοῦτον συγκομισθῆναι τότε κατὰ τὸ θέατρον), το-
σαῦτα τὸ πλῆθος ἐτύγχανον, ὡς μιμεῖσθαί τινα ποταμὸν ἀφθό-

3. καρτερὸς, κρημνοῖς τε] καρτερῶς κριμνεῖσθαι cod.

sine sanguine subegisset, in tumulum sublimem arduumque haud procul ab excisa urbe imminentem contendit, militesque omnes castellum ibi munire iussit. Tutus enim locus videbatur et ad munitionem opportunus, quod ex utraque parte despectus vallesque praeruptas haberet, fontesque perpetuo manantes de vertice eructaret, quorum aquis irrigabatur. Castello tutissime ac firmissime structo, iusto imposito praesidio oppidum Temenos vocavit, omnique in mitiorem habitum mutata insula, contuberniis Armeniorum, Romanorum, convenarum hominum eo in coloniam deductis, triremibusque igniariis ad eius custodiam relictis, ipse assumta praeda ac captivis Byzantium enavigat. Ubi magnifice a Romano Augusto acceptus, triumphum in theatrum invexit, congregato omni populo, copiamque ac pulchritudinem spoliorum admirante. Cernebatur immensa auri vis ac argenti, numi barbarici ex auro probatissimo, vestes auro contextae, purpurei tapetes, atque omnis generis pretiosa supellex, subtilissima arte elaborata, auro atque lapillis micantia: arma, galeae, enses, thoraces auro illita, hastae, scuta, arcus reflexi numerum superantes (dixisset qui tunc praesens fuisset, barbaricas opes omnes in theatrum fuisse comportatas) tanta copia aderant, ut fluminis affatim ir-

νεως εἰσρέοντα. τούτοις εἵποντο καὶ οἱ ἀνδραποδισθέντες βάρβαροι, εἰς πολυάριθμον πλῆθὺν συναγόμενοι.

θ'. Θριαμβεύσαντι δὲ τῷ Νικηφόρῳ καὶ παρὰ τοῦ δήμου A. M. 6470 θαυμαστωθέντι παντὸς, ὁ αὐτοκράτωρ Ῥωμανὸς δωρεάς τε φι- Ind. 5 A. C. 962 λοτίμους δωρεῖται, καὶ τὴν τῆς Ἀσίας αὐτῷ ἐγχειρίζει ἀρχήν. I. Rom. 3 ὁ δὲ, τὴν τοῦ Δομεστίκου τιμὴν καὶ αὖθις ὑποζωσάμενος, τὸν C βόσπορόν τε περαιωθεὶς, καὶ τὰς δυνάμεις ἀγηοχὼς, καὶ εἰς φάλαγγα δυσάντητον καὶ δυσεκβίαστον παραταξάμενος, ᾔει διὰ τῆς τῶν Ἀγαρηνῶν γῆς. οἷς τὴν ἔφοδον ἐνωτισθεῖσι τοῦ Νικηφόρου, οὐκ ἀνεκτὸν ἐδόκει κατὰ χώραν τε μένειν, καὶ λόχους καθίζειν, ἐξ ἀντιστάσεώς τε διαμάχεσθαι· ἐκτρέχειν τε πρὸς τὰ φρούρια, καὶ τὰς ἐπιδρομὰς ἐκ τῶν ἐρυμάτων ἀποτροπιάζεσθαι, ἀκροβολιζομένους κατὰ τὸ ἐγχωροῦν. δεινῶς γὰρ ἐδεδοίκεισαν κατὰ συστάδην διαγωνίζεσθαι πρὸς ἄνδρα καρτερικὸν καὶ ἰσχυρογνώμονα. D ὁ δὲ σκηπτοῦ δίκην τὴν περίχωρον ἐπεβόσκετο, δῃούμενος μὲν τὰς ἀρούρας, μυριανθρώπους δὲ κώμας ἀνδραποδιζόμενος. ἐπεὶ δὲ τὰ ἐν ποσὶ πυρὸς καὶ μαχαίρας ἔργον πεποίητο, τοῖς φρουρίοις προσβάλλει, ὧν αὐτοβοεὶ τὰ πλεῖστα ἑάλω. ὅσα δὲ τούτων ἐρυμνὰ τοῖς τείχεσι καὶ τῷ πλήθει τῶν ἔνδον ἐτύγχανον, τούτοις ἀντεπῆγε τὰς μηχανὰς, καὶ ἀκήρυκτον ἐπέφερε πόλεμον, ἐκθύμως τοῖς ὑπ' αὐτὸν ἀγωνίζεσθαι προτρεπόμενος. εὐείκτως δὲ τοῖς κελεύσμασι ἐκείνου πᾶς τις ἐπείθετο. ἦν γὰρ οὐ λόγοις μόνον ἐπαγωγός τε καὶ πιθανὸς πρὸς τὸ εὔψυχον, ἀλλὰ καὶ τοῖς ἔργοις αὐ- P. 18

4. Male θαυμαστοθέντος cod. 7. Fort. συναγηοχώς. 11. ἐκτρέχειν τε] Fort. δέ. 15. δῃούμενος] δι' οὓς cod.

ruentis speciem referrent. Sequebantur post haec barbari captivi, multitudine plurima collecti.

9. Nicephoro, postquam triumphum ad totius populi admirationem egerat, Romanus Imperator dona magnifica dedit, Asiaeque procurationem tribuit. Ille, Domestici dignitate rursus auctus, copias quas in phalangem invictam et inexsuperabilem constituerat, in fines Agarenorum duxit. Hi, audito Nicephori adventu, committendum non putaverunt, eo in loco uti insidias ponerent, acieque instructa dimicarent: statuunt in castella concurrere, locisque munitis incursiones propulsare, parvulis praeliis quoad fieri possit institutis. Magnopere enim reformidabant acie decertare cum viro forti ac pertinace. Ille vero, instar fulminis, omnem circum regionem depopulabatur, agros vastans, vicos hominum multitudine longe frequentes in potestatem redigens. Ubi autem quae erant obvia cuncta igni ferroque vexasset, castellis copias admovit, quorum pleraque primo statim assultu cepit. Quod si qua vel muris vel multitudine praesidiariorum munita erant, iis, machinis actis, bellum implacabile inferebat, ad acriter pugnandum suos cohortans. Promte autem eius imperiis unusquisque obtemperabat. Neque enim verbis solis erat impulsor ac suasor fortitudinis,

τοῖς, ἐκτόπως ἀεὶ ἀγωνιζόμενος πρὸ τῆς φάλαγγος, καὶ κίνδυνον Fol. 280 r. τὸν ἐπιόντα ὑποδεχόμενος, καὶ κραταιῶς ἐκκρουόμενος. ᾑρηκὼς οὖν καὶ καταβαλὼν ἐν εὐαριθμήτῳ καιρῷ τῶν Ἀγαρηνῶν ὑπὲρ τὰ ἑξήκοντα φρούρια, καὶ λείαν ὅτι πλείστην συνεκφορήσας, καὶ νίκην ἐπιφανεστάτην καὶ οἵαν οὐκ ἄλλος ἀναδησάμενος, ἐκεῖθεν τὴν δύναμιν ἀνελάμβανε, καὶ κατὰ τὰ σφῶν ἔστελλεν ἤθη, ἀμύθητον τὸν πλοῦτον ἀθροίσασαν· αὐτὸς δὲ πρὸς τὸν αὐτοκράτορα B ἔθει, τῶν πόνων τὰ γέρα ληψόμενος.

A. M. 6471 Ind. 6 A. C. 963 I. Rom. 4 ι΄. Ἄρτι δὲ μεσοῦντι τὴν ὁδοιπορίαν τῷ στρατηγῷ φήμη τις ὑπηντίαζε, τὴν ἐντεῦθεν ἐκδημίαν τοῦ ἄνακτος Ῥωμανοῦ διαγγέλλουσα. ὁ δὲ, τῷ ἀπροσδοκήτῳ τῆς φήμης ἐκταραχθεὶς, ἐπέσχε τε τὴν διαπορείαν, καὶ κατὰ χώραν ὑπέμενε. λέγεται δὲ τοῦτον τὸν τρόπον ἐκπλῆσαι τὸν βίον τὸν αὐτοκράτορα Ῥωμανόν. ἐπειδὴ παρειληφὼς τὴν ἀρχὴν ἐπιεικῆ τε καὶ μέτριον αὐτὸν καὶ εὐεργετικὸν τῷ ὑπηκόῳ παρείχετο, ὑποδύντες τινὲς καὶ μετελθόντες τὸν ἄνθρωπον, μοχθηροί τε καὶ δοῦλοι γαστρὸς καὶ τῶν ὑπὸ γαστέρα, διαφθείρουσι τὸν καλοκἀγαθὸν τρόπον τοῦ νέου, τρυφὴν ὑποτιθέντες καὶ ἀκόλαστον ἡδονὴν, διεγείροντές τε πρὸς C ἀλλοκότους ἐπιθυμίας τούτου τὴν ὄρεξιν. ἐντεῦθεν παρὰ τὸν καιρὸν τῶν νηστειῶν, ἃς πρὸς κάθαρσιν ψυχῶν καὶ ποδηγίαν τῶν κρειττόνων ἐξεῦρον ἄνδρες θεοφορούμενοι, παρειληφότες τὸν Ῥωμανὸν οἱ λοιμοὶ, ἐπὶ θηρείαν ἐλάφων ἵενται, ἐν δυσβάτοις ἐλαύνοντες ὄρεσιν. ἐκεῖθέν τε ἀναζεύξαντες τὸν αὐτοκράτορα συγκο-

7. ἀθροίσασα cod. 8. ἔθει] ἔθη cod. et paulo post ληφάμενος. 12. Fort. ὑπέμεινε. 22. θηρεῖαν. Sic cod.

verum etiam re ipsa, semper ante aciem mirandum in modum praelians, adventansque periculum cum excipiens tum fortiter repellens. Captis igitur eversisque brevi tempore Saracenorum supra sexaginta castellis, praeda quamplurima evecta, et victoriam clarissimam, qualem alias nemo, consecutus, revocatos inde milites ad suas quemque sedes remisit, cum immensam divitiarum vim congessissent: ipse ad Imperatorem contendit, laborum praemia accepturus.

10. Iam vero cum dux in medio itinere esset, fama quaedam pervasit, Romanum Imperatorem humanis excessisse. Quo ille inexspectato rumore perterritus iter inhibuit, eodemque in loco substitit. At Imperator Romanus hunc in modum e vita excessisse dicitur. A principio imperii cum bonum ac moderatum sese et beneficum in subditos praebuisset, postea surrepentes nonnulli captantesque hominem, improbi illi quidem, ventri et iis quae sub ventre sunt inservientes, bonam adolescentis indolem depravaverunt; quod ad luxum eum immoderatamque voluptatem revocarent, ad mirasque libidines excitarent voluntatem. Proinde tempore ieiuniorum, quae ad purgandos rapiendosque sublime animos viri divino spiritu pleni instituerunt, Romanum nactae illae pestes cervos venatum eunt, per montes impeditos equos agitantes. Inde reversi Imperatorem graviter laborantem

A. M. 6471 Ind. 6. A. C. 963 I. Rom. 4

μίζουσι περιημεκτέοντα καὶ τὰ ἐπιθανάτια πνέοντα. καί τινες μὲν ἐκ τῆς ἀκαίρου φασὶν ἱππασίας σπασμὸν ἐγγενέσθαι τούτῳ περὶ τὰ καίρια. ὡς δὲ ἡ τῶν πλειόνων ὑπόνοια ἔχει, κώνειον αὐτὸν πεπωκέναι πρὸς τῆς γυναικωνίτιδος. εἴτε δὲ ἐκείνως, εἴτε καὶ οὕτως, ἀμείβει τὸν βίον ὁ Ῥωμανὸς τὴν τῆς ἡλικίας ἐλαύνων ἀκμὴν, τρεῖς ἐνιαυτοὺς πρὸς πέντε μησὶ τὴν αὐτοκράτορα διϊθύνας D ἀρχήν. τούτου δὲ ἐξ ἀνθρώπων γεγονότος, τὴν τῆς βασιλείας ἀρχὴν παρά τε τοῦ πατριαρχοῦντος Πολυεύκτου καὶ τῆς συγκλήτου βουλῆς οἱ ἐκείνου παῖδες Βασίλειος καὶ Κωνσταντῖνος, νήπιοι κομιδῇ τελοῦντες καὶ τιθηνούμενοι, μετὰ Θεοφανοῦς τῆς μητρὸς ἐγχειρίζονται· ἥτις ἐξ ἀσήμου μὲν γένους φυεῖσα, κάλλει δὲ καὶ σώματος ὥρᾳ πασῶν τῶν τότε γυναικῶν ὑπερφέρουσα, Ῥωμανῷ συνηρμόσθη τῷ αὐτοκράτορι. ὁ δὲ Νικηφόρος (αὖθις γὰρ πρὸς τὸν εἱρμὸν ἐπάνειμι τῆς διηγήσεως) τὴν μεταβολὴν τῆς μεγίστης ἀρχῆς διενωτισθεὶς, παντοδαπός τις ἦν, ἄλλοτε ὑπ' P. 19 ἄλλων λογισμῶν διαταραττόμενος. τὸ γὰρ ἄπιστον τῶν πραγμάτων καὶ τὸ παλίντροπον τῆς τύχης καὶ ἄστατον οὐκ εἴα τὸν ἄν- Fol. 280 v. θρωπον ἀτρεμεῖν, ὑπειδόμενον μάλιστα τὴν τοῦ Ἰωσὴφ δυναστείαν, ὅς γε ἐκτομίας ὢν καὶ μάλιστα παρὰ τὴν βασιλείαν ἑστίαν δυνάμενος (τῷ τοῦ παρακοιμωμένου γὰρ ἀξιώματι ἐσεμνύνετο), δυσμενῶς τῷ Νικηφόρῳ διέκειτο.

ια'. Ἔγνω γοῦν αὐτίκα νεωτερίζειν· ἀλλὰ δύναμιν ἐκ τοῦ παρατυχόντος ἀποχρῶσαν οὐκ ἐπαγόμενος (τὰ γὰρ στρατεύματα B πρὸς τὰς σφῶν ἐνεγκαμένας αὐτοῦ προστεταχότος ἀπήεσαν), ἐδεδοίκει τὸν τοσοῦτον ἀγῶνα τέως ἐπαποδύσασθαι. ἔδοξεν

iamque animam agentem secum referunt. Sunt qui affirmant, ex equitatione intempestiva convulsiones ei circum vitalia accidisse. Plerorumque suspicio est, venenum ei esse de gynaecio datum. Sed, sive sic est, sive illo modo, Romanus aetate florens interiit, postquam principatum obtinuerat annos tres menses quinque. Quo vita functo, filii eius Basilius et Constantinus, infantes admodum et inter nutrices versantes, una cum matre Teophano imperium a Polyeucto patriarcha atque Patribus conscriptis traditum accipiunt. Haec Theophano, obscuro loco nata, pulchritudine vero corporisque elegantia inter mulieres suae tempestatis omnes praestans, Romano Imperatori collocata fuerat. Nicephorus vero (rursus enim ad seriem narrationis redeo), mutatione principatus audita, in omnem partem anxius variis cogitationibus varie perturbabatur. Rerum enim infida lubricitas, fortunaeque vicissitudo et instabilitas tranquillo in statu virum agere non sinebat, quod maxime Iosephi potentiam suspectam haberet. Is cum spado esset, atque in aula imperatoria plurimum posset (quippe cubicularii dignitate glorians), eximio erat in Nicephorum odio.

11. Statuerat igitur evestigio res novas moliri: sed cum minores copias, quam par esset, in promtu haberet (legiones enim in suam quaeque patriam ipsius iussu discesserant), tantum tunc certamen suscipere vere-

A. M. 6471 Ind. 6 οὖν ὑπερθέσθαι τὸν νεωτερισμόν· εἰσελάσαντι δὲ εἰς τὸ Βυζάντιον, καὶ κατάγοντι τὸν θρίαμβον, εἴγε τὴν στρατιὰν οἱ κρατοῦντες αὐτῷ ἐγχειρίσοιεν (ᾔδει γὰρ αὐτοῦ περιόντος μὴ ἂν ἄλλον καρτερῆσαι πρὸς τὴν τῶν βαρβάρων ἀντίστασιν παρατάττεσθαι)· ἀναλαβεῖν τε τὰς δυνάμεις, καὶ λελογισμένως καὶ ἀνεπισφαλῶς ὑπὲρ τῶν ὅλων διαγωνίσασθαι. οὕτω δὴ γνωματεύσας καὶ βουλευσάμενος πρὸς τὸ Βυζάντιον ἵεται· ἀσμενέστατά τε ὑπὸ τοῦ δήμου καὶ τῆς C συγκλήτου δεχθείς, καὶ ὅσην ἐπήγετο λείαν θριαμβεύσας, καὶ τῷ δημοσίῳ ταμείῳ τὸν βαρβαρικὸν πλοῦτον καταθέμενος, ἐφ' ἑστίας ἡσύχαζεν. ὁ δὲ Ἰωσὴφ (ἐδεδοίκει γὰρ τὴν ἐπὶ τὸ Βυζάντιον τοῦ Νικηφόρου διατριβήν, μή τι κατὰ τοῦ κράτους νεωτερίσειε, μάλιστα τοῦ στρατιωτικοῦ ἐκτόπως αὐτὸν στέργοντος καὶ τοῦ δήμου θαυμάζοντος, διά τε τὰ τρόπαια καὶ τὰ κατὰ πολέμους ἀνδραγαθήματα) ἐπὶ τὸ ἀνάκτορον τοῦτον ἐκαλεῖτο, εἴ πως αὐτὸν ψιλὸν τῆς δυνάμεως ἀπειληφὼς τῶν τε ὄψεων στερήσῃ καὶ ὑπερορίᾳ παραπέμψῃ. ἀλλὰ τὸ κακοῦργον καὶ περιπόνηρον τοῦ Ἰωσὴφ ὁ στρατηγὸς συνιεὶς (δραστήριος γὰρ ἐς τὸ ἀκριβὲς ἦν, D καὶ καταστοχάσασθαι κακοτροπίαν ἀνδρὸς προχειρότατος), ἐς τὴν μεγάλην ἐκκλησίαν φοιτᾷ, καὶ τῷ ἱεραρχοῦντι Πολυεύκτῳ εἰς λόγους ἐλθών, ἀνδρὶ τήν τε θείαν καὶ ἀνθρωπίνην φιλοσοφίαν εἰς ἄκρον ἐκμελετήσαντι, καὶ βίον αἱρετισαμένῳ ἐκ νεότητος μοναδικόν τε καὶ ἄσκευον, καὶ παῤῥησίαν ὑπὲρ ἄνθρωπον κεκτημένῳ, ἣν οὐχ ἡ φύσις ἐνεποίει αὐτῷ μόνον, τομίᾳ γε ὄντι καὶ ἐς ἔσχατον γῆρας ἐλάσαντι, ἀλλὰ καὶ ἡ ἀκτησία, καὶ τὸ ἀνεπίληπτον,

batur. Proinde praestare ei visum est differre motum, et redux Constantinopolim, ubi triumphum duxisset, si Imperatores ipsius fidei exercitum commisissent, (noverat enim, se superstite alium neminem fore, qui auderet adversus barbarorum impetum se opponere), uti tum copias resumeret, tutoque consilio de summa rerum decertaret. Hoc igitur consilio secum animo constituto ac deliberato, Constantinopolim venit: ubi studiosissime a senatu populoque receptus, praeda, quantam adduxerat, triumpho traducta, divitiisque barbaricis in aerarium depositis, domi se tenebat. Iosephus (metuebat enim Nicephori in urbe commorationem, ne quid novarum rerum adversus principes moliretur, praesertim cum et militares ordines insigniter eum diligerent, et populus admiraretur, ob tropaea et res optime bello gestas) in palatium eum vocavit, si forte eum nudum a protectoribus nactus, oculis privatum in exilium pelleret. Dux, intellecto Iosephi crudeli dolosoque consilio (ut erat mirifice industrius, et promtissimus ad perspiciendam hominis malam mentem), in magnam ecclesiam se coniicit, et, collato sermone cum Polyeucto sacris praefecto, viro qui divinam atque humanam philosophiam summopere meditatus, electo sibi a pueritia monastico atque expedito vitae genere, plus quam humana erat fiducia praeditus: quam non natura solum illi attulerat, spadoni nimirum et longe aetate provecto, sed etiam abdicatio bonorum, et inculpata, sim-

καὶ τὸ λιτὸν τοῦ βίου καὶ ἀπέριττον· τούτῳ δὴ τῷ Πολυεύκτῳ, A. C. 963
ἐπεὶ εἰς λόγους ἦλθεν ὁ Νικηφόρος, „καλάς γε", ἔφη, „παρὰ τοῦ I. Rom. 4
τῶν βασιλείων κατάρχοντος τῶν τοσούτων ἀγώνων καὶ πόνων P. 20
καρποῦμαι τὰς ἀμοιβάς· ὅς γε τὸν ἀλάθητον καὶ μέγαν ὀφθαλμὸν λήσειν οἰόμενος, τὰ Ῥωμαϊκά μοι πλατύνοντι ὅρια ταῖς τοῦ κρείττονος εὐοδώσεσιν, οὐκ ἐνάρκησε σκαιωρήσασθαι θάνατον, Fol. 281 r.
μηδέπω μηδὲν εἰς τὸ κοινὸν πλημμελήσαντι, συνεισενεγκόντι δὲ μᾶλλον ὅσα μή τις τῶν νῦν τελούντων ἀνδρῶν, καὶ τοσαύτην μὲν χώραν τῶν Ἀγαρηνῶν πυρὶ καὶ μαχαίρᾳ δῃωσαμένῳ, τηλικαύτας δὲ πόλεις ἐκ βάθρων κατεριπώσαντι. ἐγὼ δὲ ἠξίουν, τὸν συγκλητικὸν ἄνδρα ἐπιεικῆ τε εἶναι καὶ μέτριον, καὶ μή τινα δυσμεναίνειν, καὶ ταῦτα μάτην, ἀπέραντα."

ιβ΄. Τούτων τῶν ῥημάτων ὁ πατριάρχης ἐνωτισθείς, καὶ τὴν B
προθυμίαν ἀναφλεχθείς, εἰς τὰ βασίλεια εἰσελαύνει, τὸν Νικηφόρον ἔχων συνεφεπόμενον· καὶ τὴν σύγκλητον εἰσκαλέσας, „οὐ δίκαιον," ἔφη, „τοὺς ὑπὲρ τῆς Ῥωμαϊκῆς εὐετηρίας ἑαυτῶν ἀφειδήσαντας, καὶ πόνους καὶ κινδύνους καθυπομείναντας, εὐγνώμονάς τε καὶ μετρίους ἑαυτοὺς παρεχομένους πρὸς τὸ ὁμόφυλον, προπηλακίζειν καὶ ἀτιμοῦν, κυδαίνειν δὲ μᾶλλον καὶ ταινιοῦν. εἰ οὖν πείθεσθέ μοι τὰ λῷονα συμβουλεύσοντι, τὴν ἐμὴν αὐτίκα γνώμην ἐρῶ. δεῖ Ῥωμαίους ὄντας ἡμᾶς, καὶ θείοις ῥυθμιζομένους C
προστάγμασι, τὰ νεογνὰ τοῦ αὐτοκράτορος Ῥωμανοῦ τέκνα, ἐπεὶ πρὸς ἡμῶν καὶ τοῦ δήμου παντὸς ἀνεῤῥέθησαν αὐτοκράτορες, εἰς τὴν προγονικὴν τιμὴν συντηρεῖν καὶ σέβας ἀπονέμειν,

plex, deliciis carens vitae ratio: cum hoc, inquam, Polyeucto collato sermone, Nicephorus: „Egregias sane," ait, „tot tantorumque certaminum atque laborum vices percipio ab eo qui aulae praeest. Is eum, quem nil latet, magnum oculum se latere posse arbitratus, mihi, qui Deo propitio Romani imperii fines propagaverim, machinandae mortis nullum finem fecit; tametsi nihil hactenus in rempublicam deliqui: contuli autem in eam tanta, quanta nemo huius temporis hominum; tantam Saracenorum regionem igni ferroque populatus sum, tam multa oppida a fundamentis dirui. Ego arbitrabar, ordinis senatorii hominem placidum et modestum esse debere, neque ullas vanas insidias incassum meditari."

12. His patriarcha ex Nicephoro auditis, animique ardore succensus, in palatium venit, una comitem adducens Nicephorum: convocatoque senatu, „Haud aequum," inquit, „eos qui pro salute Romanorum, nulla sui ratione habita, labores ac pericula sustinuerunt, quique erga suos cives viros sese probos ac modestos exhibent, probro et ignominia afficere, sed honore potius habere ac coronare. Ergo, si mihi creditis, quae meliora sunt suasuro, meam sententiam statim dicam. Oportet ut nos, qui Romani sumus et divinis legibus regimur, tenellos Romani Imperatoris liberos, quandoquidem nostro universique populi suffragio Imperatores renunciati sunt, in honore avito conservemus, eundemque eis cultum, quem

A. M. 6471 Ind. 6 A. C. 963 I. Rom. 4 οἷον καὶ τοῖς προγόνοις αὐτῶν. ἐπεὶ δὲ καὶ τὰ βαρβαρικὰ φῦλα λῄζεσθαι τὴν Ῥωμαϊκὴν οὐκ ἀπέχονται γῆν, συμβουλεύω, τὸν ἄνδρα τουτονὶ (τὸν Νικηφόρον ὑποδεικνὺς), ἀγχίνουν τε ὄντα καὶ ἀγαθὸν τὰ πολέμια, καὶ νίκας ὅτι πλείστας ἐπανῃρημένον, ὃ καὶ αὐτοὶ συνομολογεῖτε, καὶ τοῦτον τῶν ἄλλων ἐκθειάζετε μάλιστα, ὅρκοις κατασφαλισαμένους μή τι κατὰ τοῦ κράτους καὶ D τῆς βουλῆς μελετῆσαι ἀβούλητον, ἀνειπεῖν αὐτοκράτορα στρατηγόν, καὶ τὰς τῆς Ἀσίας δυνάμεις ἐγχειρίσαι αὐτῷ, ὡς ἀμύνοιτο καὶ ἀναχαιτίζοι τῶν ἀλλοφύλων τὴν ἔφοδον. ταύτην γὰρ αὐτῷ καὶ ὁ αὐτοκράτωρ Ῥωμανός, ἔτι βιούς, ἐνεχείρισε τὴν τιμήν, καὶ τελευτῶν ἐν ταῖς διαθήκαις ὡρίσατο, μὴ μετακινεῖν τῆς τοιαύτης στρατηγίας εὐγνωμονοῦντα τὸν ἄνθρωπον." ταύτην ἀνειπόντος τοῦ πατριάρχου τὴν γνώμην, ἐπεψήφιζέ τε ἡ βουλή, συνῄνει δὲ καὶ αὐτὸς ὁ παρακοιμώμενος Ἰωσήφ, οὐχ ἑκών, τῇ δὲ ῥοπῇ τῆς συγκλήτου ἐκβιαζόμενος. καὶ δὴ ὅρκοις φρικωδεστάτοις P. 21 τὸν Νικηφόρον ἐμπεδωσάμενοι, μή ποτε περιόντων τῶν νεογνῶν παίδων καὶ βασιλέων ἀπαίσιόν τι κατὰ τοῦ σφῶν κράτους βουλεύσασθαι· ἐπομοσάμενοι δὲ καὶ αὐτοί, μηδένα τῶν ἐν τέλει ἀπεναντίας τῆς ἐκείνου γνώμης μετακινεῖν, ἢ πρὸς μείζονα ἐπαναβιβάζειν ἀρχήν, μετὰ δὲ καὶ τῆς αὐτοῦ διασκέψεως κοινῇ γνώμῃ διευθύνειν τὰ τοῦ κοινοῦ, αὐτοκράτορα στρατηγὸν τῆς Ἀσίας Fol. 281 v. τοῦτον ἀνακηρύξαντες τόν τε σύλλογον διαλύουσι, καί, τῶν βασιλείων ἀπάραντες, ἐφ᾽ ἑστίας ἀπῄεσαν ἕκαστοι.

5. ἐκθειάζεται cod.

maioribus eorum, tribuamus. Quoniam vero barbarae gentes Romanam ditionem diripere non cessant, auctor vobis sum, ut virum hunc (ostenso Nicephoro), ut solertis ingenii est, rei militaris apprime gnarus ac bello fortis, quandoquidem victorias quam plurimas retulit, quod et agnoscitis vos ipsi, eumque prae caeteris ut Deum veneramini, iureiurando obstricta fide, nihil inconsulti adversus principes ac senatum moliturum, ducem summo cum imperio renunciemus, eique tradamus copias Asiaticas, quibus barbarorum impetum coerceat ac repellat. Hanc enim ei dignitatem Romanus quoque Imperator et vivus tribuit, et moriens testamento cavit, ne vir optime animatus eiusmodi imperio moveretur." Patriarcham in haec verba sententiam ferentem cum senatus comprobavit, tum vero etiam ipse Iosephus cubiculi praefectus assensus est, non sponte ille quidem, sed studio senati coactus. Ita horribilibus iuramentis obstricto Nicephoro, ne infantibus pueris Augustis superstitibus aliquid mali adversus maiestatem eorum moliretur, cum ipsi adiurassent, neminem se primariorum hominum Nicephoro invito vel moturos loco, vel ad maiorem dignitatem provecturos, verum eius consilio de communi sententia administraturos rempublicam; hunc ubi ducem Asiae summo cum imperio pronunciaverant, consilium dimiserunt, ac, palatio egressi, ad suam quisque domum se receperunt.

# *ΛΕΟΝΤΟΣ ΔΙΑΚΟΝΟΥ*

## *ΙΣΤΟΡΙΑΣ Γ.*

# LEONIS DIACONI HISTORIAE

## LIBER III.

### ARGUMENTUM.

***Nicephori bellum contra Tarsenses. Iosephus rursus illi insidiatur. (Cap. 1). Marianum et Ioannem Tzimiscem litteris contra eum sollicitat (2). Contra Tzimisces Nicephorum ad defectionem hortatur (3). Nicephorus Caesareae ab exercitu imperator salutatus (4). Oratio eius ad exercitum (5). Nicephorus Constantinopolin ire parat. Ioannem Tzimiscem Domesticum Orientis creat (6). Iosephus frustra urbem obtinere conatus, intestinis motibus ortis, ad fugam compellitur (7). Nicephorus urbem ingressus coronatur. Corporis et animi eius descriptio. Cognatos et amicos suos summis ornat honoribus (8). Nicephorus Theophano in matrimonium ducit. Polyeuctus patriarcha eum ecclesia arcet; sed mox in gratiam cum eo redit (9). Insequenti vere Nicephorus contra Saracenos ducit. Tarso frustra tentata, alia hostium castella recipit (10). Mopsuestia diu obsessa vi expugnatur. Nicephorus in Cappadocia hibernat (11).***

α΄. Ἤδη δὲ τοῦ ἦρος μεσοῦντος, καὶ τοῦ φωσφόρου πρὸς τὸν A. M. 6471
ἀρκτικὸν πόλον ἠρέμα ὑπανακάμπτοντος, καὶ περὶ τὸν ταῦρον Ind. 6 A. C. 963
τὴν διφρείαν ἐλαύνοντος, τοῦ Βυζαντίου ἀπάρας ὁ Νικηφόρος I. Rom. 4
ἐπὶ τὴν καταντιπέραν τῆς Ἀσίας χώραν καταίρει· καὶ πρὸς τὴν P. 22
Καππαδοκῶν ἀφικόμενος (Τρωγλοδῦται τὸ ἔθνος τὸ πρόσθεν κατωνομάζετο, τῷ ἐν τρώγλαις καὶ χηραμοῖς καὶ λαβυρίνθοις, ὡσανεὶ φωλεοῖς καὶ ὑπιωγαῖς, ὑποδύεσθαι), καὶ τὴν σκηνὴν ἐκεῖσε

1. Medio iam vere, cum lucifer ad arcticum polum paulatim cursum flecteret, ac versus taurum currum agitaret, Constantinopoli profectus Nicephorus ad oppositum Asiae tractum sese confert: cumque in Cappadociam venisset (Troglodytae ea gens antehac appellabatur, quod in troglas, latibula ac flexus saxorum, quasi in specus quosdam et recessus, se sub-

A. M. 6471 Ind. 6 πηξάμενος, πανταχόσε διαγράμματα ἔστελλε, τὸν στρατὸν πανσυδὶ ὡς αὐτὸν συνεγείρων καὶ ἐκκαλούμενος. ἐν ᾧ δὲ συνήρχετο B τὰ στρατεύματα, τοὺς ἀμφ' ἑαυτὸν ἐξῆσκει τὰ πολέμια, καὶ τὸν θυμὸν ἔθηγε, καὶ ἐπεῤῥώννυε ταῖς καθ' ἡμέραν μελέταις, καὶ τὴν ἐνόπλιον ἐξεπαίδευε περιδίνησιν, θαμὰ ταῖς σάλπιγξιν ἐγκελευόμενος ἐπηχεῖν, καὶ τὰ τύμπανα παταγεῖν, καὶ ἀλαλάζειν τὰ κύμβαλα, ἐφ' ἵππων τε ὑπεράλλεσθαι, καὶ τόξοις βάλλειν κατὰ σκοπὸν, καὶ ἀκοντίζειν εὐστοχώτατα· καὶ οὐδὲν ὅ, τι παρεῖτο τούτῳ τῶν πρὸς τὸ πολεμεῖν ἐξευρημένων. ἐν ᾧ δὲ ὁ στρατηγὸς ἐξεπαίδευε τὸν στρατὸν, καὶ τὴν ἄφιξιν τῆς λοιπῆς στρατιᾶς ἐξεδέχετο (δεδογμένον γὰρ ἦν αὐτῷ, κατὰ τοῦ Χαμβδᾶν καὶ τῶν Ταρσέων ἐκστρατεύειν ὡς μάλιστα), ὁ παρακοιμώμενος Ἰω- C σὴφ, τὸ τοῦ Νικηφόρου μεμεριμνημένον καὶ λελογισμένον ἐννοῶν, καὶ προσέτι τὸ ἀνδρικὸν αὐτοῦ καὶ γενναῖον παράστημα, ὑπειδόμενός τε, μή πως τῆς στρατιᾶς συναλισθείσης περὶ αὐτὸν νεώτερόν τι σκαιωρήσοιτο, ἐπάλλετό τε τὴν καρδίαν καὶ τῆς ἀβουλίας αὑτὸν κατεμέμφετο, ὅπως ζωγρίαν κατέχων ὡς ἐν δικτύῳ αἱμάτων ἄνδρα οὐ κατειργάσατο, ἀλλ' ἔλαθε τοσαύτῃ πανοπλίᾳ τοῦτον ὀχυρωσάμενος. συννοίας οὖν ὑπόπλεως γεγονὼς, ἠρεμεῖν οὐκ ἠνείχετο, ἀλλ' ἀβίωτον τὸν βίον ἐτίθετο. ἀνασκοποῦντι δὲ τού- P. 23 τῳ καὶ πολλοὺς διελίττοντι λογισμοὺς, τίνα τὸν τρόπον τῆς τοσαύτης δυναστείας μετακινήσῃ τὸν στρατηγὸν, μία τις ἐσῄει μηχανὴ, δι' ἧς ᾤετο τὴν ἐκείνου ἀρχὴν, ὡσεί τινα πέλεκυν τῷ αὐχένι προσεπικειμένην, ἀποσκευάσασθαι.

7. **κύμβαλα.** Vide infra 82. A. 21. Fort. **τῶν τρόπων.**

ducebant), collocato ibi tabernaculo, dimissis quoquoversus litteris, omnes copias excitatas ad se convocat. Exercitus dum cogebatur, interea quos secum habebat bellicis institutis erudiebat, exacuebat animos, confirmabat exercitatione quotidiana, armatam rotationem edocebat, tubis crebro canere iubens, tympana pulsari, cymbala percuti, in equos insilire, arcubus scopum petere, iaculis collineare: denique eorum, quae ad belli artem inventa sunt, nihil omnino negligebat. Dux dum sic copias exercebat, adventumque reliqui exercitus exspectabat (instituerat enim adversus Chambdanum et Tarsenses potissimum educere), Iosephus cubicularius cum solertem animum Nicephori consultumque reputans, tum praeterea viri fortitudinem et virtutem, veritus ne collecto circa eum exercitu novarum rerum aliquid adversus se moliretur, palpitante corde suam ipse vituperabat praecipitantiam, quod cum virum bellatorem quasi captum intra casses inclusum teneret; haud oppressisset, sed imprudenti consilio tantis eum muniisset copiis. Totus igitur cogitabundus, spreta requie, vitam minime vitalem ducebat. Consideranti autem, multasque rationes versanti, quo pacto Domesticum tanto imperio moveret, cuiusdam fraudis in mentem venit, qua illius potentiam, quasi securim quandam cervici suae imminentem, everteret.

β'. Τὸν Μαριανὸν οὖν εἰσκαλέσας, ἄνδρα μὲν τῷ τῶν πα- A. C. 963
τρικίων τετιμημένον ἀξιώματι καὶ τῶν Ἰταλικῶν στρατευμάτων I. Rom. 4
ἤδη κατάρξαντα, εὐρίπιστον δὲ τὴν ἄλλως καὶ θερμουργὸν, ἐξεῖ- Fol. 282 r.
πε τὸ ἀπόῤῥητον, ἐν παραβύστῳ που κοινολογησάμενος, καὶ, „εἴ
μοι," φησὶ, „πεισθεὶς τὴν τῆς ἀνατολῆς ἀναδέξῃ ἀρχὴν, αὐτο-
κράτορά σε θᾶττον ἀποφανῶ, καὶ ἐπὶ τῶν βασιλικῶν θρόνων B
ἐπαναβιβάσω." „εὐφήμει," ἔφη πρὸς τὸν λόγον ὁ Μαριανός· „πί-
θηκον διερεθίζων καὶ προτρεπόμενος καθωπλισμένῳ γίγαντι δια-
μάχεσθαι, ὃν οὐ μόνον τὰ πρόσοικα φῦλα πέφρικε τῶν ἐθνῶν,
ἀλλὰ καὶ ὅσα ἀνίσχων τε καὶ δυόμενος ὁ ἥλιος ἐφορᾷ. ἀλλ' εἰ
δοκεῖ συνεισενεγκεῖν τινα γνώμην ἀμηχανοῦντι καὶ σκυθρωπάζον-
τι, αὐτίκα ἐρῶ. τὸν Ἰωάννην, ὃν κικλήσκουσι Τζιμισκῆν, οἶ-
σθα τὸν ἄνδρα φιλότιμόν τε ὄντα καὶ λίαν φιλόνικον, καὶ ἀγα-
θὸν τὰ πολέμια· ὃν δεύτερον μετά γε τὸν στρατηγὸν ἡ στρατιω-
τικὴ φάλαγξ τίθεται καὶ τιμᾷ. τὴν τῶν στρατευμάτων οὖν, εἰ
δοκεῖ, τούτῳ ἐπίστρεψον ἀντίληψιν· καὶ, οἶμαι, παραβολώ-
τατος ὢν ὁ ἀνὴρ καὶ τολμητίας ἐπιεικῶς, ὑποστήσεται τὸ ἐγχεί- C
ρημα· καὶ ᾗ ἂν ἡγοῖτο, ἕψεται ἡ πληθὺς, καὶ τὸ δοκοῦν
σοι περαιωθήσεται. ἄλλως δὲ μὴ οἴου σὺ κατασείειν πύρ-
γον ἀτίνακτόν τε καὶ ἀδιάσειστον." ταύτην δεξάμενος ὁ Ἰωσὴφ
τὴν εἰσήγησιν, τοὺς ἐξ αἵματος Νικηφόρῳ προσήκοντας, καὶ
τοὺς ἄλλους ἀνῃρημένους αὐτῷ τῶν ἀξιωμάτων τε παγανοῖ, καὶ
εἰς ὑπερορίαν ἐκπέμπει· γραμματεῖον δὲ σφραγῖσιν ἐνσημηνάμε-
νος τῷ προῤῥηθέντι Ἰωάννῃ στέλλει ἐν τοῖς πατρικίοις τελοῦντι

2. τετιμημένος et continuo post κατάρξαντι cod. 16. Leg. ἐπίτρεψον. 22. Fort. ἄλλως.

2. Marianum accersit, virum dignitate patricia decoratum, legionibusque Italicis iam praefectum, mobilis insuper atque ardentis animi. Cum hoc secreto collocutus occultam sententiam aperit, et, „Si mihi credis," inquit, „ac domesticatum Orientis recipis, Augustum te brevi perfecero et in imperiali solio collocabo." Ad quem sermonem, „Dii meliora," inquit Marianus: „desine simiam excitare et cum armato gigante committere velle, quem non solum tribus gentium finitimae verentur, at hercle quotquot oriens aut obiens sol lustrat. Verum si vis ut aliquid consilii afferam impedito ac tristi tibi, haud reticebo. Ioannem quem Tzimiscem appellant nosti, virum non minus ambitiosum et primatus mire cupidum quam bello fortem: qui proximo post Doméstícum loco apud exercitum habetur et honoratur. Quin tu, si videtur, committis illi procurationem legionum: nam qua est is audacia et spiritu singulari, suscipiet negotium, opinor: ita quocunque ducet, sequetur illum copia, et tu pervenies quo vis. Aliter cave credas te turrim illam inconcussam atque inquassatam concutere posse." Hanc auctoritatem secutus Iosephus eos qui cum Nicephoro erant propinquitate coniuncti aliosque eius necessarios officiis exutos in exilium pellit: litteras obsignatas ad Ioannem, de quo dictum est, patricium exercitusque

A. M. 6471 Ind. 6 καὶ στρατηγοῦντι τῶν ἀνατολικῶν, ἀνδρὶ ῥωμαλέῳ καὶ νεανικῷ, καὶ τὴν ὁρμὴν δυσάντητον κεκτημένῳ καὶ δυσεκβίαστον. ἡ δὲ τοῦ D γραμματείου ὑφήγησις ταυτὶ διηγόρευε· „τὸ δύσνουν καὶ κακόηθες τοῦ Φωκᾶ ὑπειδόμενος, καὶ τὴν κακοῦργον σκέψιν, ἣν ἐκεῖνος τρέφει καθ᾽ ἑαυτὸν, ἐκκόψαι βουλόμενος, ἔγνων ἀνακαλύψαι τὸ ἀπόῤῥητον τῇ περιφανείᾳ σου, εἴ πως τὴν ἐκείνου δυσκάθεκτον ὁρμὴν, σοῦ συνεργοῦντος, ἀναχαιτίσωμεν. βούλεται γὰρ ὅσον οὔπω τυραννήσειν, καὶ τὴν τῆς βασιλείας ἀρχὴν σφετερίσασθαι. ἀλλ᾽ αὐτὸς τὴν ἔκσπονδον ἐκείνου ἐκκόπτων ὁρμὴν, τὴν τῶν στρατευμάτων πρόνοιαν ἐξαυτῆς ἐκείνου μὲν ἀφαιροῦμαι, τῇ δὲ σῇ ἀνατίθημι ἐνδοξότητι. μετὰ μικρὸν δὲ σὲ καὶ εἰς αὐτὴν ἀναβιβάσω τὴν τῆς βασιλείας περιωπήν. σὺ δὲ τὸν ὑπέρμαχον καὶ ἀλαζόνα Φωκᾶν δεσμώτην ἀποφηνάμενος θᾶττον παράπεμψον ὡς ἡμᾶς."

P. 24 γ'. Τὸ τοιοῦτον οὖν γραμματεῖον ὁ Ἰωάννης ἀπειληφὼς, ἀνειλήσας τε καὶ τὴν ἐν αὐτῷ πραγματείαν ἀναλεξάμενος (τὴν τῆς Fol. 282 v. ἀνατολῆς δὲ αὐτῷ δυναστείαν, καὶ αὖθις τὴν τῶν ὅλων ἀρχὴν καὶ διακατοχὴν τούτων, ὥς μοι ἤδη εἴρηται, κατεπηγγέλλετο ἡ γραφὴ, εἴ γε τῆς στρατιᾶς μετακινήσοι τὸν Νικηφόρον καὶ τοῦ πλήθους ἀποσκευάσοιτο), τῶν τόπων ἀπάρας ἐν οἷς ἀνεστρέφετο, ἠπείγετο πρὸς τὸν στρατηγόν. προελθὼν δὲ παρὰ τὴν σκηνὴν τὴν στρατήγιον, καὶ αὐτῷ παρακαθισάμενος (ἀνεψιὸς γὰρ πρὸς μητρὸς ὁ Ἰωάννης τῷ Νικηφόρῳ ἐχρημάτιζε), „σὺ μὲν," ἔφη, „ὦ γενναῖε, B βαθὺν ὕπνον καθεύδεις, καὶ ὑπὲρ τὸν Ἐνδυμίωνα, ὥς φασιν·

7. τυραννήσειν. Sic codex, ut 24 D. εἴ γε μὴν βούλῃ – πείσεσθαι.
18. μετακινήσει cod. Paulo post legendum fortasse προσελθών.

Orientalis ducem, mittit, virum profecto fortem, strenuum, magna et inexpugnabili vi praestantem. Erant autem litterae scriptae in hanc sententiam: „Phocae improbitatem ac malitiam cum suspectam habeam, consiliumque sceleratum, quod apud se alit, praecidere velim, constitui Amplitudini tuae rem arcanam aperire, si forte effrenatum eius impetum, te obsecundante, reprimere possimus. Decrevit enim rebellione iamiam facienda imperii summam invadere. Proinde, ut impios eius vindicem conatus, exercituum procurationem illi evestigio abrogo, tuaeque trado Gloriae. Brevi autem te vel in ipso imperii fastigio collocabo. Tu vero gloriosum ac superbum Phocam in vincula coniectum protinus ad nos transmitte."

3. Has litteras acceptas Ioannes ubi evolvit, cognito earum argumento (praefecturam autem ei Orientis, tum vero summam potestatem possessionemque imperii, ut a me iam dictum est, litterae pollicebantur, si modo ab exercitu dimovere Nicephorum, copiisque exuere posset), ex loco ubi versabatur movit, ad Domesticumque pervenit. Ibi cum ad praetorium se contulisset, propter ipsum assedit (erat enim Nicephori consobrinus ex matre Ioannes), et, „Tu quidem," inquit, „o bone, altum somnum dormis, plus quam Endymion, quod aiunt; Augustae autem aulae praefectus,

ὁ δὲ τῆς βασιλικῆς κατάρχων αὐλῆς, ὁ χρηστὸς Ἰωσήφ, τὸν σὸν A. C. 963
μανιώδει καὶ μιαιφόνῳ ῥοπῇ κατεργάζεται θάνατον, καί, ὅσον I. Rom. 4
τὸ ἐπ' ἐκείνῳ, ὁ τῶν Ῥωμαίων ἀκαταγώνιστος ἐξείργασται στρατηγός, καὶ τὸ τούτου αἷμα ἐκκέχυται· καὶ ταῦτα παρ' ἀνδραρίου (ὢ πόνοι, καὶ μάχαι, καὶ ἀρετή) ἀμφιβόλου τε καὶ ἀνάνδρου, καὶ γυναίου τεχνητοῦ, καὶ πλείω τῶν ἐν τῇ γυναικωνίτιδι δρωμένων εἰδότος μηδέν. ἀλλὰ διανάστα, ὦ 'τάν, εἰ δοκεῖ· καὶ γενοίμεθα τῶν ἡμῶν λογισμῶν, ὅπως μὴ ὡς ἀνδράποδα παραπολώμεθα, γενναῖον δέ τι καὶ ἀνδρικὸν ἐργασοίμεθα, ὡς ἂν γνῷ καὶ Ἰωσήφ, καὶ εἴ τις ἄλλος εἴη τὰ ἐκείνου πρεσβεύων, μὴ C
πρὸς ἁπαλὰ καὶ σκιατραφῆ διαμιλλώμενοι γυναικάρια, πρὸς ἄνδρας δὲ ἀκαταγώνιστον κεκτημένους ἰσχύν, καὶ οὓς ἡ βάρβαρος φρίττει καὶ τέθηπε." ταῦτα εἰπών, καὶ τῶν κόλπων τὸ γραμματεῖον ἐξενεγκών, τῷ στρατηγῷ ἐνεχείρισεν. ὁ δὲ τοῦτο μετελθὼν καὶ τὰ ἐν αὐτῷ θυμοφθόρα καὶ θυμαλγῆ ἐπιγνούς, μικρὸν ἐπισχὼν καὶ λειποθυμήσας (ἔτυχε γὰρ ἠρέμα νοσηλευόμενος τὸ σωμάτιον), εἶτ' αὖθις ἀνενεγκὼν καί, „λέγε," φησίν, „ἀνδρειότατε, τί δεῖ περὶ τούτου σκοπεῖν;" ὁ δέ, „καὶ αὖθις," ἔφη, „σκοπεῖν λέγεις, πράττειν ὅ,τι καὶ δεῖ; οὐκ ἐκνήψεις ὀψὲ γοῦν, ὦ ἀγαθέ, οὐδὲ τὸν τοσοῦτον κάρον ἀποτινάξῃ τῶν ὀφθαλμῶν, ἀλλ' ἐν ἀφύκτῳ κινδύνῳ περιληφθέντας D
ἡμᾶς ὅ,τι καὶ δεῖ δρᾶν ἐρωτᾷς; περὶ τῶν ὅλων διακινδυνεύειν φημί, τοσαύτην μὲν πανοπλίαν ἐπαγομένους, τοσαύτην δὲ στρα-

3. τῷ ἐπ' ἐκ. cod. 8. Fort. ἡμετέρων. 10. ἄλλο cod. 22. ὅλων] ἄλλων cod. Vid. supra 19. B.

frugi ille Ioseph, furibundo ac crudeli impetu tuam machinatur necem, et, quantum in illo fuit, periit Romanorum invictus dux, eiusque sanguis effusus est: idque ab homunculo (o labores! o praelia! o virtus!) ambiguo, evirato, a muliercula ementita, praeter ea quae in gynaecio fiunt nullius rei gnara. Proinde excita te, amice, sodes: adhibeamus mentes nostras, ne tanquam mancipia intereamus: efficiamus nobile ac forte facinus, ut sentiat Iosephus, et si quis alius ab illo stet, non sibi cum tenellis umbraticisque mulierculis certamen esse, at cum viris inexsuperabili robore praeditis, quos timet et veretur barbaries." Haec ille cum dixisset, ex sinu prolatas litteras Domestico tradidit. Is ubi perlegit, tristibus ac molestis quae inerant cognitis, cum parumper ipse conticuisset animo defectus (erat enim tum forte paulo aegriore valetudine), ut se recepit, „dic," inquit, „fortissime, quid est in hac re considerandum?" „Quid?" inquit ille: „iterum considerare te velle ais, quid faciendum putes? Non tu expergiscere sero saltem, mi Nicephore? non tu hunc tantum veternum excuties de oculis, qui nos, certo periculo deprehensos, quid faciendum sit interrogas? Ego de summa rerum in aleam eundum censeo. Praesumus tot copiis, tanto exercitui, non minus superbo ob animi magnitudinem, quam

A. M. 6471 Ind. 6 τιὰν, ψυχῆς τε ἀνδρείᾳ σπαργῶσαν καὶ σώματος ῥώμῃ φλεγμαίνουσαν. ἄτοπον γὰρ ἐμοὶ καὶ οὐ φορητὸν καταφαίνεται, ὑπὸ τομίου οἰκτροῦ ἐκ τῆς Παφλαγονικῆς ἐρημίας τῇ πολιτείᾳ παρεισφθαρέντος, τοὺς τῶν Ῥωμαίων ἄγεσθαι στρατηγοὺς, καὶ τῇδε κἀκεῖσε παρέλκεσθαι τῆς ῥινὸς, ὡς ἀνδράποδα. ἀλλ' ἕπου τὴν ταχίστην, εἴ γε μὴ βούλῃ ζωγρίας ληφθεὶς τὰ πήματα δεινὰ πείσεσθαι."

P. 25 δ'. Τοιαύτην ἀνειπόντος τοῦ Ἰωάννου παραίνεσιν, διανίστη τε πρὸς ἀλκὴν ὁ Νικηφόρος, καὶ τὰ ὅπλα καθυποδὺς τὴν ἐπὶ Καισαρείας ἅμα τῷ Ἰωάννῃ ἠπείγετο πανστρατί· καὶ τηνικαῦτα πηξάμενος χάρακα τὴν στρατιὰν ὑπεδέχετο. ἐπεὶ δὲ ἐντὸς ὀλίγων Fol. 283 r. ἡμερῶν ἅπαν τὸ τῆς Ἀσίας πρὸς αὐτὸν συνήθροιστο στράτευμα, ἡμέρας ἤδη διαφανούσης, καὶ τῶν ἡλιακῶν ἀκτίνων ὑφαπλουμένων τῇ γῇ (Ἰούλιος εἶχεν ἀρχὴν), οἱ τὰς τοῦ στρατοῦ παρειληφότες ἡγεμονίας ἅμα τῷ στρατηγῷ Ἰωάννῃ τὰ ξίφη γυμνώσαντες καὶ τὴν στρατήγιον σκηνὴν κυκλωσάμενοι (προστεταγμένον δὲ τοῦτο πρὸς τοῦ Ἰωάννου τοῖς στρατηγοῖς καὶ λοχαγοῖς ἦν, ὅς B γε δεινὸν ἐποιεῖτο, εἰ ἄνδρας αἱμάτων ἀγεννὴς ἐκτομίας μετὰ νηπίων τιθηνουμένων καθυποτάσσοι, ᾗ ἂν αὐτῷ δεδογμένον εἴη), αὐτοκράτορα Ῥωμαίων καὶ κραταιὸν βασιλέα τὸν Νικηφόρον ἐφήμιζον, πολυχρόνιον κράτος αὐτῷ ἐπευχόμενοι. ὁ δὲ τὰ πρῶτα μὲν ἀπείπατο τὴν τοιαύτην ἀρχὴν, τὸ τοῦ ὕψους ἐπίφθονον εὐλαβούμενος, καὶ τὸν τῆς συνεύνου καὶ τοῦ υἱοῦ Βάρδα προϊσχόμενος θάνατον, ὃς αὐτῷ τῆς ἡλικίας τὸ βιώσιμον ἕλκων, ἄρτι πυραυγεῖ τῷ ἰούλῳ περιαστράπτων τὴν γένυν, κατὰ παι-

4. παρεισφαρέντος cod. 22. ἀπείπετο cod. 24. αὐτῷ cod. Leg. αὐτό.

corporum roboribus florenti. Etenim absurdum nec ferendum videtur mihi, a misero spadone, qui ex solitudine Paphlagonica reipublicae obrepserit, duces Romanos agi, et huc illuc naso duci, tanquam mancipia. Itaque sequere confestim, nisi vis captivus factus mala extrema perpeti."

4. Ea cohortatione ab Ioanne facta erectus ad virtutem Nicephorus sumtis armis una cum Ioanne totoque exercitu Caesaream contendit: ibi castris factis exercitum recepit. Paucos post dies, omnibus ad illum coactis Asiae copiis, illucescente iam die radiisque solis in terram se diffundentibus (Iulio erat ineunte), praefecti exercitui una cum Ioanne magistro districtis gladiis praetorium cingunt (id tribunis centurionibusque imperatum antea ab Ioanne erat, acerbe ferente, quod ignavus spado cum pueris lactentibus militares personas ad arbitrium gubernaret), Imperatorem Romanorum potentemque Augustum Nicephorum renunciant, imperium in multos annos illi precantes. Hic primo quidem recusabat eiusmodi summam potestatem, invidiam altissimi fastigii veritus, uxorisque ac filii Bardae obitum causatus, qui, ipsum iuventutis vitalem spiritum trahens, rutilaque lanugine iam genam circumfulgens, exercitatione ludicra non multis annis

δίαν οὐ πρὸ πολλῶν τῶν χρόνων πρὸς αὐτανεψιοῦ αὐτοῦ (Πλεύσης A. C. 963
τὸ μειράκιον ὠνομάζετο) κοντῷ τὴν βλεφαρίδα τιτρώσκεται· ὁ I. Rom. 4
δὲ Πλεύσης, δείσας ἐπὶ τῷ τραύματι, τὸν κοντὸν διαφίησι τῆς C
χειρός· τοῦ δὲ σαυρωτῆρος τῷ οὔδει ἐνερεισθέντος σφοδρὰν γενέσθαι συμβέβηκε τὴν ἀντέρεισιν, ὡς τὴν αἰχμὴν τὸ κρανίον ἀντιτορήσασαν διαμπερὲς διελθεῖν, καὶ αὔθωρον ἄναυδον τὸν Βάρδαν τοῦ ἵππου καταπεσεῖν. τοιαύτην ὁ Νικηφόρος προτεινόμενος πρόφασιν παρῃτεῖτο τὴν ἀρχήν, καὶ Ἰωάννῃ τῷ Τζιμισκῇ παρεχώρει τῆς τοιαύτης ἐπιβῆναι τιμῆς, καὶ τῶν σκήπτρων ἀνθέξεσθαι. οὐκ ἠνείχετο δὲ τῶν τοιούτων λόγων οὔτε τις τῶν τοῦ στρατοῦ, οὔτε μὴν αὐτὸς ὁ Ἰωάννης· ἀλλ' ὁμοθυμαδὸν αὐτὸν ἐπευφήμουν, σεβάσμιόν τε καὶ βασιλέα Ῥωμαίων προσαγορεύοντες. ὁ
δὲ καταδέχεταί τὴν ἀρχήν, καὶ τὸ ἐρυθρὸν πέδιλον, ὃ τῆς βασι- D
λείας παράσημον μέγιστον πέφυκεν, ὑποδύεται, μικρὰ φροντίσας τῶν φρικωδεστάτων ὅρκων, οὓς πρός τε τὸν πατριάρχην Πολύευκτον κατέθετο καὶ τὴν σύγκλητον. τὸ γὰρ ἀστάθμητον τῆς τύχης καὶ ἄδηλον, καὶ τὸ τοῦ Ἰωσὴφ δυσμενές τε καὶ ἄσπονδον ὑπολογιζόμενος, ἠπείγετο προτερήσειν τὴν τοῦ ἀνδρὸς κακοήθειαν, ἐν τῷ τὰ κατ' αὐτὸν εὖ θέσθαι, καὶ ὡς οἷόν τε ἀσφαλίσασθαι. τῷ τοι καὶ δεύτερα τὰ φθάσαντα τῆς ἑαυτοῦ σωτηρίας ἡγούμενος, παρὰ φαῦλον τὴν ὁρκωμοσίαν ἐτίθετο. τοῦτον δὴ τὸν τρόπον τῆς βασιλείας ἀρχὴν ὁ Νικηφόρος ἀναδεξάμενος, τῆς σκηνῆς προῆλθεν,
ἀκινάκην διεζωσμένος καὶ δόρατι σκηριπτόμενος· ἐξ ἀπόπτου τε P. 26
καί τινος περιωπῆς κατὰ τὸ ὕπαιθρον στάς, ἔλεξε τοιάδε·

21. τῆς. Fort. τὴν τῆς.

ante a patruele ipsius (Pleuses is adolescentulus nominabatur) lancea in palpebram ictus est; quo vulnere perturbatus Pleuses lanceam de manu dimisit: verum accidit, ut hastili in terram impacto repercussio fieret tam vehemens, ut cuspis adacta calvariam penitus perforaret, Bardasque evestigio sine voce ex equo caderet. Huiusmodi excusationem Nicephorus afferens recusabat imperium, concedebatque Ioanni Tzimiscae, ut ad hanc dignitatem evectus sceptra vindicaret. Quanquam eiusmodi voces neque ex exercitu omnino quisquam sustinuit, neque ipse Ioannes: sed conspirantibus animis, fausta illi ominantes, Augustum Imperatoremque Romanorum eum renunciaverunt. Tum vero accepit imperium, rubrosque calceos, qui sacrae dignitatis maximum insigne sunt, induit, parvi aestimans diras religiones, quibus Polyeucto patriarchae ac senatui se obstrinxerat. Quippe instabilitatem incertosque eventus fortunae non minus quam Iosephi simultatem perfidiamque reputans, maturavit sic praevenire eius malitiam, ut suas res quam optime constitueret, pro viribusque firmaret. Ita et anteacta posteriora salute sua duxit, et iurisiurandi rationem habuit nullam. In hunc modum suscepto imperio Nicephorus, succinctus pugione, hastili fixus, processit a tabernaculo; cumque loco conspicuo atque praecelso sub divo constitisset, dicere sic est exorsus:

A. M. 6471 Ind. 6 ε΄. „Ὅτι μὲν οὐκ ἐφέσει τυραννίδος, ὦ συστρατιῶται, τόδε τὸ σχῆμα τῆς βασιλείας ἀνείληφα, κατανάγκῃ δὲ ὑμῶν τοῦ στρα- Fol. 283 v. τοῦ βιασθεὶς, μαρτυρεῖτέ μοι καὶ αὐτοὶ, οἵ γε καὶ ἀποτροπιαζόμενόν τε τὴν τοσαύτην φροντίδα καὶ πρόνοιαν τοῦ παντὸς, καὶ ἄκοντα κατηναγκάσατε δέξασθαι. ὅτι δὲ εὐνοίᾳ μᾶλλον ὑμῶν τε καὶ ἀσφαλείᾳ ἑαυτοῦ πρὸς τὸν τοσοῦτον ἀγῶνα ἐπέδωκα ἐμαυτὸν, B εἰδέναι βούλομαι πάντας ὑμᾶς. μαρτύρομαι δὲ τὴν τὸ πᾶν διευθύνουσαν πρόνοιαν, ὡς πρόθυμός εἰμι, καὶ αὐτὴν τὴν ψυχὴν θεῖναι ὑπὲρ ὑμῶν, καὶ οὐκ ἄν μέ τι τῶν ἀηδῶν τοῦ τοιούτου ἀπαγάγοι σκοποῦ. ἐπεὶ οὖν οὐκ ἠνέγκατε τὴν τομίου ἔκσπονδον ἀπόνοιαν καὶ τὴν λυσσώδη καὶ ὀργῶσαν ἐκείνου αὐθάδειαν εἰς ἔργον χωρῆσαι, ἀλλ' ὡσανεί τινα βαρυκάρδιον ἐπιστάτην ἀποσεισάμενοι, ἐμὲ βασιλεύειν ὑμῶν ᾑρετίσασθε, ἐπὶ τῶν πραγμάτων δείξω σαφῶς, ὅτι τε ᾔδειν ἄρχεσθαι, καὶ νῦν ἄρχειν ἀνεπισφαλῶς σὺν θεῷ ἐξεπίσταμαι. εὔνοιαν οὖν ἔχων ὥς τις φιλόπαις πατὴρ, συμβουλεύω πᾶσιν ὑμῖν ὡς υἱοῖς φιλοπάτορσι, μὴ πρὸς C ῥᾳστώνην καὶ τρυφὴν ἀπιδεῖν, ἀλλ' ἐγρηγορέναι καὶ νήφειν, καὶ τὰ συμπίπτοντα εὐπρεπισμένως προσδέχεσθαι. τεκμαίρομαι γὰρ, μὴ ἀναιμωτὶ διακριθῆναι τὰ πράγματα. καὶ γὰρ, ὅσον εἰς ἀνέφικτον ὕψος τῆς βασιλείας τὸ κράτος ἀνέστηκε, τοσοῦτον καὶ ὁ φθόνος καὶ ὁ πόλεμος περὶ αὐτὴν αὔξεται διαμιλλώμενα. οὐ πρὸς Κρῆτας οὖν ὑμῖν ἡ πάλη, οὐδὲ πρὸς Σκύθας καὶ Ἄραβας, οὓς τῇ σφῶν ἀρετῇ διεχειρισάμεθα, ἀλλὰ πρὸς τὴν τῶν Ῥωμαίων

4. τε. Melius vel Leo vel librarius scripsisset μέ. 18. Lege εὐτρεπισμένως. Vid. S. Basilium de gratiarum actione I. 365. C. 21. διαμιλλώμενα. Sic cod. Fort. διαμιλλωμένῳ.

5. „Non desiderio me tyrannidis, commilitones, ornatum istum imperatorium sumsisse, sed studiis vestris exercitusque adactum, vos ipsi mihi testes estis, qui me, aversantem molestiam tam magnam, procurationem reipublicae vel invitum suscipere coëgistis. Quod autem cura vestri potius, meaeque incolumitatis retinendae causa, in tantum me discrimen obtulerim, scire vos omnes volo. Providentiam testor, quae universum gubernat, paratum me esse vel ipsam vitam pro vobis deponere, neque ullum incommodum me de hoc proposito deducturum. Et quoniam non permisistis, ut perfida amentia, ut rabiosa et insolens temeritas spadonis ad exitum perveniret, sed, illo tanquam vecorde rectore reiecto, me imperare vobis voluistis, re praestabo ut intelligatis, quemadmodum parere scivi, item me nunc, Deo propitio, recte praeesse posse. Verum, ea caritate animatus, qua pater filiorum amans, vobis ut filiis piis auctor sum, ut desidiam delíciasque ne respiciatis. Excubare oportebit, vigilare, casus praemunita mente sustinere. Non sine sanguine existimo rem diiudicatum iri. Nam quo est magis arduum ascensu imperii fastigium, eo gravior invidia et contentio est, quae fit de illo. Nec vero cum Cretensibus nunc vobis certamen, nec cum Scythis et Arabibus, quos virtute vestra devicistis, sed

πολιτείαν, καθ' ἣν ἄκρατα πανταχόθεν εἰσρεῖ, καὶ ἣν οὐκ ἔνι A. C. 963
αὐτοβοεὶ ὥς τι τῶν φρουρίων ἑλεῖν· θαλάσσῃ τε περιῤῥεόμενον I. Rom. 4
καὶ εὐερκῆ οὖσαν, καὶ πυργώμασιν ἐρυμνοῖς περικλειομένην ἑκα-
σταχοῦ, καὶ ἡβῶντι λαῷ περιπλήθουσαν, καὶ χρυσῷ καὶ πλούτῳ D
καὶ ἀναθήμασι πολλῷ τῆς οἰκουμένης διαφέρουσαν. δεῖ οὖν τὸ
γενναῖον ἀνειληφότας παράστημα, ᾧ κεχρημένοι παρὰ τὰς μάχας
τὸ ἀντίξουν ἅπαν κατηγωνίζεσθε, καὶ ὑπὲρ τὸ ἐνὸν ἄρτι μᾶλλον
κατὰ τῶν ἀντιπάλων χωρεῖν. πέπεισμαι γὰρ ἕξειν ἐπὶ τουτονὶ τὸν
ἀγῶνα συνεργὸν καὶ τὸν κρείττονα. τὰς γὰρ σπονδὰς καὶ τοὺς
ὅρκους οὐχ ἡμεῖς, τὸ τοῦ Ἰωσὴφ δὲ διέφθειρε δυσμενές, ὃς τοὺς
ἐμοὺς ἀγχιστεῖς ἐπὶ προφάσει μηδεμιᾷ ὑπερορίᾳ παρέπεμψεν, ἐμοὶ
δὲ τούτων εἰδηκότι μηδέν, ὠμῶς καὶ ἀφιλανθρώπως θάνατον
ἐσκαιώρησε. τὰς δὲ ξυμβάσεις οὐχ οἱ πρώτως ἐπὶ τὰ ὅπλα χω- P. 27
ροῦντες διαλύειν φείθασιν, ἀλλ' οἱ ἐν σπονδαῖς τοῖς ὁμοφύλοις
ἐπιβουλεύοντες. δόξαν τε τὴν ἐμὴν ἀναλογιζόμενοι, ὑφ' ἧς στρα-
τηγούμενοι ὑπὲρ ἀριθμὸν κατωρθώσατε τρόπαια, καὶ τὴν σύν-
τροφον ὑμῶν εἴπερ ἄλλοτέ ποτε παραθήξαντες ἀρετὴν, ἕπεσθε
ἀνεπιστρόφως, ᾗ ἂν ἡ πρόνοια ἡγῆται, καὶ αὐτὸς ὁρμῶ.

ς'. Ταῦτα εἰς ἐπήκοον τῆς στρατιᾶς ὁ Νικηφόρος διεξελ-
θὼν πάντων ἐπέῤῥωσε τὰ φρονήματα, καὶ προθυμίαν ἀδιήγητον
ἐνεστάλαξε ταῖς ψυχαῖς, ὡς οἴεσθαι μήτινα πολέμου ῥοπὴν ἐξ Fol. 284 r.

2. περιῤῥεόμενον. Sic cod. Leg. περιῤῥεομένην, ut infra 38. C. 6. καὶ χρημένοι cod. 7. κατηγωνίζεσθαι cod. 12. τοῦτον ἠδοκότι cod. ut possis legere: τοῦτον ἠδικηκότι *nihil illum laedenti*. 14. φείθασιν. Sic cod. Leg. εἰώθασιν. Paulo post sensus copulam postulat, velut δόξαν τε δή. 21. Elegantius scripsisset Leo et hic μήτιν' ἂν et 26. C. ἂν ἀναιμωτί.

cum Romanorum civitate, bonis omnibus undique affluenti, quae non potest tanquam aliquod castellum momento capi. Mari circumflua atque munita, propugnaculis firmis cincta quoquoversus, pube plurima plena, caeteris terris auro, opibus, ornamentis multum praestat. Quocirca oportet vos, renovata nobili virtute illa, qua usi in praeliis adversarios omnes debellavistis, plus paene quam poteritis nunc potissimum contra hostes niti. Quanquam confido, in hoc certamine me Deum quoque adiutorem habiturum. Pacta enim et iusiurandum non nos violavimus, sed Iosephi simultas, qui tum propinquos sine causa ulla meos in exilium egit, tum mihi, nihil horum suspicanti, sceleratissime et crudelissime mortem machinatus est. Pactiones autem non ii violare putandi sunt, qui priores ad arma eunt, verum illi qui post fidem datam civibus insidiantur. Postremo, gloriam reputantes meam, cuius ductu tropaea innumera statuistis, excitata si unquam alias innata vestra virtute, sine respectu sequimini, quocunque et providentia ducet, et ipse contendam.

6. Hac oratione audiente exercitu habita Nicephorus omnium animos confirmavit, alacritatemque inenarrabilem mentibus instillavit, ut nulla vi-

A. M. 6471 Ind. 6 ἀντιστάσεως ἀνθαμιλληθῆναι τῷ τοιούτῳ κινήματι. δαιμονίως γὰρ αὐτὸν ἔστεργε τὰ στρατεύματα, καὶ πᾶς τις αὐτοῦ τοῖς αὐ- B χήμασιν ἐσεμνύνετο. καὶ γὰρ ἐν πολέμοις ἀναστραφεὶς ἐκ νεότητος, καὶ φοβερὸς ἀναδειχθεὶς ἐν τοῖς κατὰ τάξιν καὶ μάχας ἀνδραγαθήμασιν, οὐ μόνον τὴν ἀλκὴν ἄμαχος ἐτέλει καὶ περιδέξιος, ἀλλὰ καὶ τὴν φρένα κατηρτυμένος καὶ τὴν παντοδαπὴν ἀρετὴν ἀπαράμιλλος. εὐθὺς οὖν εἰς τὴν τῶν Καισαρέων ἐκκλησίαν νέων, ἐκεῖθεν ἐπὶ τὴν σκηνὴν ἐπανέστρεφε, καὶ τὸν Ἰωάννην τῷ τοῦ Μαγίστρου τιμήσας ἀξιώματι, Δομέστικον τῆς Ἀνατολῆς ἀνηγόρευσεν, ἐντάλματά τε καὶ διατάγματα πανταχοῦ τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἐξέπεμπε, καὶ στρατηγοὺς προχειρισάμε- C νος ἐπὶ τὸν Εὔξεινον, καὶ τὰ παράκτια πάντα, καὶ Ἄβυδον ἔστελλεν, ἀπτέρῳ τάχει ἀπιέναι τούτοις ἐγκελευσάμενος· τοῦτο τάχα, ὡς ἔοικε, προμηθούμενος, πρὸ τοῦ διαπτῆναι τὴν φήμην τῆς ἀναῤῥήσεως, τῆς ὑγρᾶς τοὺς πορθμοὺς καὶ τοὺς πόρους προκατασχεῖν. οὕτω γὰρ ᾤετο κατὰ νοῦν αὐτῷ χωρήσειν τὰ πράγματα, καὶ μὴ ἐπινεμεσήσειν τὴν τύχην αὐτῷ, ἐπιμειδιᾶσαι δὲ μᾶλλον ἱλαρόν τι καὶ ἥμερον, εἴ γε προτερήσοι τὴν τῶν ἐπικαιροτάτων χωρίων κατάληψιν. ταῦτα ὁ Νικηφόρος διαπραξάμενος, καὶ εἰς ἀῤῥαγῆ συνασπισμὸν καταπυκνώσας τὰς φάλαγγας, καὶ ὁπλισμοῖς αὐτὰς εὐερκέσιν ἀσφαλισάμενος, τῆς Καισαρείας ἀπά- D ρας ἐπὶ τὴν βασιλεύουσαν ἵετο· ἐπιστολήν τε χαράξας καὶ Φιλοθέῳ τῷ Εὐχαΐτων ἐπισκόπῳ ἐγχειρίσας, πρός τε τῶν ἐκκλησια-

4. καὶ μαχ.] καὶ deest in codice. Linea autem proxime praecedenti Fort. leg. ἀνατραφεὶς, ut item 28. C. 8. νεὼν cod. 16. νοῦν] νῦν cod. 23. πρός τε. Vix hinc abesse potest τόν.

deretur belli vis eiusmodi motui obsistere repugnareque posse. Quippe mirifice amabant eum milites, neque erat omnino quisquam quin laudibus eius gloriaretur. Nam in bellis versatus a puero, et ob facinora in acie praeliisque edita pertimescendus, non modo viribus invictus erat, miraque dexteritate, verum mente quoque composita, et cujusque modi virtute sine controversia praestans. Ita sine mora, postquam in ecclesiam Caesariensium perrexerat, in tabernaculum regressus Ioannem Magistri dignitate honoratum Domesticum Orientis renunciat, mandata et edicta quoquoversus per imperium Romanum emittit, duces a se constitutos in Pontum, ad littora omnia, Abydumque, magna celeritate adhibita contendere iubet; id agens, opinor, quod ex re erat fieri, ut priusquam fama electionis percrebuisset, freta trajectusque maritimos teneret. Sic enim existimabat, ex sententia rem sibi processuram, neque irascituram sibi, sed hilare potius ac leniter arrisuram fortunam, si maturaret opportunissimorum locorum occupationem. His rebus confectis Nicephorus cum legionibus in firmam aciem contractis, armisque probe instructis, Caesarea profectus ad urbem perrexit: litteras quas scripserat, Philotheo Euchaitarum episcopo traditas, ad

στιχῶν ἐπειλημμένον οἰάκων Πολύευκτον ἔστειλε, καὶ Ἰωσὴφ τὸν A. C. 963 τῶν τυραννείων κατάρχοντα, καὶ τὴν σύγκλητον. ὡς ἐν κεφαλαίῳ I. Rom. 4 δὲ ταυτί πως διαπήγγελλεν ἡ γραφή· δέξασθαί τε αὐτὸν αὐτοκράτορα, περιφρουρήσοντα καὶ εἰς αὔξησιν ἡλικίας σωμασκήσοντα τοὺς τοῦ ἄνακτος Ῥωμανοῦ παῖδας· καὶ προσέτι τὰ μέγιστα τὴν πολιτείαν ὀνήσοντα, καὶ τῆς Ῥωμαϊκῆς ἀρχῆς τὴν ἐπικράτειαν αὐξήσοντα τοῖς κατὰ πολέμους ἀνδραγαθήμασιν. εἰ δὲ μὴ τοῦτο βουληθεῖεν, αὐτοῖς μεταμελήσειν τῆς ἀβελτερίας μετέπειτα, ὁπη- P. 28 νίκα σιδήρῳ καὶ σφαγαῖς τὰ πράγματα διακρίνοιντο· καὶ καιρὸς οὐ μέτεστι δικαιολογίας τοῖς αἱρετισαμένοις τῶν βελτιόνων τὰ χείριστα.

ζ'. Ταύτην ὡσεί τινα ῥῆσιν ἀπὸ Σκυθῶν ὁ Ἰωσὴφ δεξάμενος τὴν γραφὴν, καὶ, ὥσπερ ὑσπληγί τινι ἢ μύωπι τὴν καρδίαν βληθεὶς, τὸν μὲν ἐπίσκοπον πεδήτην ἀπέφηνεν, εἱρκτῇ παραπέμψας· τὸν Μαριανὸν δὲ, καὶ τὸν Πασχάλιον, καὶ τοὺς Τορνικίους, ἐν Πατρικίοις τελοῦντας καὶ θερμουργοὺς πεφηνότας ἑταιρισάμενος, καὶ Μακεδονικὴν αὐτοῖς ἐγχειρίσας φάλαγγα, ἀντείχετο κραταιῶς, ἀποτειχίζων τῷ Νικηφόρῳ τὴν εἰς τὸ Βυζάντιον B πάροδον. ἐν τούτοις οὖν τῶν πραγμάτων ᾐωρημένων, Λέων ὁ Fol. 284 v. τοῦ Νικηφόρου σύναιμος, οὗ καὶ πρώην ὁ λόγος κατὰ παραδρομὴν τὰ περὶ τὰς μάχας ἐπεξηγήσατο τρόπαια, εὐκαιρίας δραξάμενος (ἔτυχε γὰρ ἐπιχωριάζων τῷ Βυζαντίῳ) τῶν τινος βαναύσων ἐποδὺς ἀμπεχόνην καὶ διὰ τῶν ὑπονόμων τοῦ τείχους ὑπολισθήσας, ἀκατίῳ προσεπιβὰς, ἐπὶ τὸν Νικηφόρον ἀπέπλευσεν,

3. διηπάγγελεν cod. 10. αἱρετισαμένοις. Non ausus sum corrigere οὐκέτ' ἔστι δικ. et πρὸ τῶν, ne nimis limarem phrasim auctoris. 21. ἐπεξηρήσατο cod.

Polyeuctum divinarum rerum clavum tenentem, item ad Iosephum palatio praefectum senatumque misit. Quarum litterarum erat hic fere exitus: „Reciperent ipsum Imperatorem, qui filios Romani Augusti ad confirmationem aetatis usque tueretur, corporaque eorum excoleret. Praeterea maximo se reipublicae usui fore, Romanique imperii opes facinoribus bellicis aucturum. Id si nollent, eventurum ut ipsos temeritatis poeniteret, ubi ferro et caede res esset decernenda: neque tunc locus dabitur defensionis illis qui pro bonis pessima elegerint."

7. Hoc scriptum non aliter ac Scythicam iussionem tulit Iosephus; quin, sicut stimulo aliquo vel calcari in cor ictus, episcopum in vincula conditum custodiae mandat; Marianum, Paschalium, Tornicios, viros patricios audaciae cognitae, sibi adiungit; his Macedonum cohorte tradita obsistit acriter, introitum in urbem Nicephoro praecludit. Eatenus dubio rerum exitu Leo Nicephori frater, cuius bellicas victorias iam superius in transitu memoravit oratio, opportunitatem nactus (commorabatur enim tunc Constantinopoli), sumto plebeio vestitu, per specus muri elapsus conscensa scapha ad Nice-

A. M. 6471 Ind. 6 αὐτοῦ που περὶ τὰ ἐν τοῖς Ἡρίοις ἀνάκτορα εἰσελάσαντα, καὶ τὸν στρατὸν διατάττοντα. τότε καὶ Βάρδας, ὁ τούτων γενέτης, ἐν τοῖς μαγίστροις τελῶν καὶ εἰς γῆρας βαθύτατον ἐληλακώς, τὸν ἐκ C τοῦ Ἰωσὴφ κίνδυνον ὑπειδόμενος, δέει περιληφθεὶς ἱκέτης ἱεροῦ τοῦ μεγάλου καθίστατο· ἀνὴρ ἐξ αὐτῆς ἥβης ἐν πολέμοις καὶ μάχαις ἀναστραφείς, κἀν τῷ τοῦ Δομεστίκου τῶν σχολῶν ἐπὶ συχνὸν χρόνον ἐνδιαπρέψας ἀξιώματι. ὁ δὲ Μαριανὸς καὶ ὁ Πασχάλιος τὴν τῶν Μακεδόνων σπεῖραν κατὰ τὰς ἀγυιὰς περιφέροντες, ἐμβρενθυόμενοί τε κενῷ κόμπῳ καὶ ἐξυπτιάζοντες, νεώτερα ῥᾳδιουργεῖν οὐκ ἐνέλιπον· ὡς ἐκμανέντα τὸν δῆμον πρὸς ἀλκὴν ἀπιδεῖν, καὶ αὐτοῖς ἀντικαταστῆναι συστάδην εἰς μάχην, καὶ εἰς φυγὴν ὕπαιθρον κατακλεῖσαι, ὡσεί τινα μειράκια ἁβροδίαιτα καὶ μάχης ἀπείρατα. τηνικαῦτα λέγεται καὶ γύναιον σκεῦος D κεραμοῦν χοὸς ἀνάπλεον, τῶν πρὸς κηπείαν ἐπιτηδείων, ταῖς χερσὶ τοῦ τέγους ἀράμενον ἀκοντίσαι κατὰ τοῦ Μαριανοῦ, καὶ τοῦτον κατὰ τοῦ κροτάφου βαλεῖν· οὕτω δὲ καιρίαν γενέσθαι τὴν βολήν, ὡς καταγνύναι τε τὸ κρανίον καὶ προσαραχθῆναι αὐτῷ τὸν ἐγκέφαλον, καὶ δευτεραῖον τὸν βίον ἀπολιπεῖν. ἐκ τούτου παῤῥησίαν ὁ Βασίλειος εἰληφώς, ὃς ἐκτομίας μὲν ἦν καὶ τῷ τοῦ παρακοιμωμένου καὶ αὐτὸς ἐπὶ τῶν τοῦ αὐτοκράτορος Κωνσταντίνου καιρῶν ἐνδιέπρεψεν ἀξιώματι, νόθος υἱὸς ἐκ Σκυθίδος τῷ παλαιοτάτῳ αὐτοκράτορι Ῥωμανῷ γεννηθείς, δραστήριος δέ, καὶ P. 29 τὸ παριστάμενον αὐτῷ εἰς ἔργον ἐξενεγκεῖν προμηθέστατος, ἅτε

14. ταῖς χεροῖν τοῦ τέγους ἀράμενοι cod. Fort. ταῖν χεροῖν τοῦ τέγους ἀραμένη. 17. κράνιον cod.

phorum enavigat, iam tunc propter palatium in Hereo adventantem, exercitumque disponentem. Eodem tempore Bardas, illorum pater, unus de magistris, praecipitata aetate homo, ab Iosepho periculum veritus, timore captus, supplex magni templi factus est. Erat is ab ipsa pubertate in bellis praeliisque versatus, et Domestici scholarum per longum tempus decoratus officio. Interea Marianus et Paschalius, cohortibus Macedonum per vias circummissis, frendentes ipsi inani iactatione et elati, novas in horam turbas facere non intermittebant; usque adeo, ut plebs furens ad vim se converteret, praelioque cominus facto resistens, in fugam apertam eos velut adolescentulos delicatos pugnaeque inexpertos compelleret. Quo in conflictu mulierculam vas fictile terrae plenum, de iis quae hortis usui sunt, manibus a tecto raptum vibrasse in Marianum, eiusque tempora feriise dicunt; tamque gravem fuisse iactum, ut calvaria perfracta cerebrum affligeretur: ipsum postridie vitam reliquisse. His rebus animum capiens Basilius spado, qui Constantini Imperatoris temporibus cubicularii dignitate et ipse decoratus fuerat, Romani senioris Imperatoris muliere Scythissa nothus, strenuus, et in consiliis exsequendis rationis minime expers, quippe qui generis mixti esset: alienus tunc a Iosepho, simultatesque pridem cum illo ge-

A. C. 963 I. Rom. 4

*τὸ γενος ἔχων ἐπίμικτον· τότε δὲ διάφορός τε, καὶ ἄλλως δύσνους τῷ Ἰωσὴφ διακείμενος, τοὺς οἰκογενεῖς θώραξι καὶ μίτραις, κράνεσί τε καὶ πέλταις, ὑσσοῖς τε καὶ ξίφεσι καθοπλίσας, ὑπὲρ τοὺς τρισχιλίους χρηματίζοντας, τῇ οἰκίᾳ τοῦ Ἰωσὴφ καὶ τῶν αὐτῷ συνεργούντων ἅμα τῷ δήμῳ ἐπιτίθεται. καὶ εἰς διαρπαγὴν καὶ προνομὴν καὶ ἐρείπωσιν ταύτας περιστήσας ἐπὶ τὰ νεώρια ὥρμησεν, ἐκεῖθέν τε τὰς πυρφόρους τριήρεις, συνευδοκοῦντος τοῦ δήμου καὶ τῆς συγκλήτου, πρὸς τὸν Νικηφόρον ὁρμίσασθαι παρεσκεύασεν. ὧν ἐπιβὰς ἐξαυτῆς ὁ Νικηφόρος τῇ τῶν Ἀβραμιτῶν, ἣν καὶ Ἀχειροποίητον* Fol. 285 r. *ὀνομάζουσι, προσέσχε μονῇ· ἐκεῖθεν τε τοὺς παραλη-* B *ψομένους ἑστίαν ἐξέπεμψε τὴν βασίλειον. οὓς ὁ Ἰωσὴφ προσιόντας ἰδὼν, ὀῤῥωδήσας τε καὶ δέει ἀσχέτῳ ληφθεὶς (ἤδη γὰρ οἱ περὶ αὐτὸν φρουροὶ τῷ Νικηφόρῳ προσέθεντο), καταλιπὼν τὰ βασίλεια δρομαίως εἰς τὸ ἱερὸν ἀφίκετο. ἦν οὖν ὁρᾶν τὸν πρὸ μικροῦ σοβαρὸν καὶ τὰς ὀφρῦς ἠρκότα ὑπὲρ τὸ μέτωπον, ἱκέτην ἐλεινὸν καὶ αὐτὰς κατεπτηχότα τὰς ἀκοὰς, καὶ δεικνύοντα ἐν αὑτῷ, μηδὲν τῶν ἀνθρωπίνων τελεῖν πάγιον ἢ ἀκίνητον, παλίντροπα δέ τινα καὶ ὠκύμορα, καὶ δίκην κύβων τῇδε κἀκεῖσε μεταῤῥιπτούμενα καὶ μεταπεττευόμενα. ἡ γοῦν τούτου πρὸς τὸ ἱερὸν προσφυγὴ τῷ τοῦ Νικηφόρου γενέτῃ Βάρδᾳ γέγονεν ἐκεῖθεν ἀπαλλαγὴ καὶ ἀνάσωσις ἐπὶ τὸν υἱόν.*

*η΄. Ὁ δὲ Νικηφόρος, ἐπεὶ κατὰ τὸ δοκοῦν ἑαυτῷ τέλος ἐχώ-* C *ρει τὰ πράγματα, τὸ ἰδιωτικὸν περιελὼν καὶ ἀποσφενδονήσας χιτώνιον, τὴν αὐτοκρατορικὴν καὶ βασίλειον ἐφεστρίδα ἐμπὸρπη-*

6. Fort. *ἐρειπίωσιν*. *ὥρμη* cod. Scripsissem *ὥρμα*, nisi sequeretur *παρεσκεύασεν*. 15. *τὰς*] *τοὺς* cod., sed D. lin. antepenult. (pag. seq. lin. 13. h. ed.) recte *ταῖς*.

rens, vernas suos loricis, mitris, galeis, scutis, pilis, gladiis armat, plus ter mille numero, aedesque Iosephi et asseclarum eius una cum plebe invadit. His expilatione, direptione, ruina vastatis, ad navalia contendit, unde igniferae triremes summo populi senatusque studio ut ad Nicephori castra applicarent effecit. Quibus evestigio conscensis Nicephorus ad Abramitarum monasterium, quod idem Achiropoeeton vocant, appulit: unde misit qui palatium occuparent. Quos cum Iosephus adventantes videret, trepidans, timore magno perculsus (iam enim excubitores circa ipsum Nicephoro se adiunxerant), palatio relicto cursim templum petivit. Cernebatur igitur is, qui brevi ante arroganter super frontem sustulerat supercilium, tunc miser supplex, ipsis rumusculis exterritus, suo exemplo demonstrans nihil esse in rebus humanis firmum ac stabile: mutabilia cuncta et caduca talorum ritu huc illuc iactari ac misceri. Ita eius ad templum fuga causa exstitit, ut Bardas Nicephori pater inde liberaretur, ad filiumque incolumis perveniret.

8. Nicephorus, cum ex sententia sibi res cessissent, deposita reiectaque privata veste, Augusta imperatoriaque chlamyde amictus, ad regiam se

A. M. 6471 σάμενος, εἰς τὸ βασιλικώτερον ἑαυτὸν μετεσκεύασεν· ἵππου τε
Ind. 6 ἀγερώχου τῶν λευκῶν ἐπιβὰς, φαλάροις κεκοσμημένου βασιλικοῖς
καὶ τάπησιν ἁλουργοῖς, διὰ τῆς χρυσῆς πύλης εἰσήλαυνεν, ὑπὸ
παντὸς τοῦ δήμου καὶ τῶν ἐν τέλει κροτούμενός τε καὶ γεραιρόμε-
νος. ἑκκαιδεκάτην ὁ Αὔγουστος ἤλαυνε μὴν, ἐπὶ τῆς ἕκτης ἰνδι-
κτου, ἐν τῷ ,ϛυο΄ ἔτει, ὅτε ταῦτα ἐπράττετο. ἄρτι δὲ, ἐπεὶ πρὸς τὸν
D τοῦ θείου περίπυστον σηκὸν εἰσεφοίτησε, καὶ ὑπὸ τοῦ τῶν ἱερέων
πληρώματος ἀξιοχρέους τιμὰς ὑπεδέξατο, πρὸς τοῦ τὴν πατριαρ-
χίαν ἰθύνοντος Πολυεύκτου τῷ βασιλικῷ διαδήματι στέφεται, ἓν
καὶ πεντηκοστὸν ἔτος τῆς ἡλικίας ἐλαύνων. τὴν δὲ ἰδέαν τοιόσδε
τις ἦν· ὄψις αὐτῷ πρὸς τὸ μέλαν πλέον ἢ τὸ λευκὸν ἀποκλίνουσα,
κόμη δὲ βαθεῖα καὶ κυανῆ· ὀφθαλμοὶ μέλανες, ἐπὶ συννοίας πε-
φροντικότες, δασείαις ταῖς ὀφρύσιν ὑποκαθήμενοι· ῥὶς μέσως
ἔχουσα λεπτότητος καὶ παχύτητος, ἠρέμα συμπεραινομένη γρυ-
P. 30 πότητι· ὑπήνη σύμμετρος, ἀραιὰν παρὰ τὰς γνάθους προβαλ-
λομένη τὴν πολιάν· ἀγκυλεὸς τὴν ἡλικίαν καὶ στιβαρὸς, εὐρύτα-
τος τὸ στέρνον καὶ ὤμους ὡς μάλιστα, τὴν μέντοι ἀνδρείαν καὶ
ῥώμην κατὰ τὸν θρυλλούμενον Ἡρακλῆν· φρονήσει δὲ καὶ σωφρο-
σύνῃ καὶ τῷ τὸ δέον ἀνεπισφαλῶς ἐπιφράσασθαι, πάντων κατευ-
μεγέθει τῶν κατ' ἐκείνου τὴν γενεὰν γεγενημένων ἀνδρῶν. ται-
νιωθεὶς οὖν τῷ βασιλείῳ στέφει ἐπὶ τὴν βασίλειον αὐλὴν ἄνεισι,
Fol. 285 v. παρὰ τοῦ πλήθους καὶ τῶν ἐν τέλει δορυφορούμενος, καὶ δὴ πα-
ρελθὼν ἐπὶ θρόνον ἐκάθισε τὸν βασιλικόν. ἦν οὖν ὁρᾶν τὴν τύχην
B ἐνωραϊζομένην καὶ ἐπιγαννυμένην τοῖς τελουμένοις, καὶ πάντα ἑαυ-

13. μέσος cod. 16. ἀγκυλεός. Sic codex. 19. τῷ] τοῦ cod.

maiestatem magis composuit: insesso equo alacri, candido, phaleris imperatoriis tapetisque purpureis ornato, per auream portam invectus est; ab omni populo magistratibusque cum plausu honorifice receptus. Augusti dies decimus sextus agebatur, indictione sexta, anno sexmillesimo quadringentesimo septuagesimo, cum haec gererentur. Deinde, ubi celeberrimum Dei templum ingressus a sacerdotum corpore debitos honores susceperat, a Polyeucto, patriarchae munus obeunte, imperiali corona caput cingitur, cum unum supra quinquagesimum aetatis annum ageret. Specie autem erat eiusmodi fere: facies ad nigrum magis quam ad candidum colorem vergens: coma promissa, atra: oculi nigri, velut cogitatione satagentes, spissis superciliis subiecti: nasus inter tenuitatem et crassitudinem medius, paulatim transiens in aduncitatem: barba iusta, raris circa malas proiectis canis: statura rotunda ac firma, pectus et humeri apprime lata, vis ac robur iuxta celebratum Herculem: prudentia vero, et temperantia, et opportunitate singulari consiliorum, inter omnes praestabat sua tempestate natos viros. Ita redimitus imperatoria corona in augustum palatium ascendit, a populo magistratibusque stipatus, ingressusque in regali assedit solio. Licebat tunc videre, fortunam, gestientem atque exsultantem his eventis, cunctas

τῆς τιθέσαν τὰ ἀνθρώπινα πράγματα, καὶ μηδὲν τῶν φθαρτῶν A. C. 963 μηδενὸς καθίστασθαι ἴδιον. ὁ δὲ, ἐπεὶ τῆς βασιλείας ἐπέβη, καὶ I. Rom. 4 τῶν οἰάκων ἀσφαλῶς τε καὶ ἀδεῶς ταύτης ἀντείχετο, Βάρδαν μὲν, τὸν ἑαυτοῦ πατέρα, εἰς τὴν τοῦ Καίσαρος τιμὴν προεβίβασε· τὸν δὲ συναράμενον αὐτῷ Ἰωάννην κατὰ τὴν τοῦ κινήματος ἀρχὴν, ᾧ Τζιμισκῆς τὸ ἐπίκλην, Δομέστικον Ἀνατολῆς καὶ Μάγιστρον ἀναδέδειχε. Λέοντα δὲ, τὸν ἴδιον σύναιμον, Κουροπαλάτην καὶ Μάγιστρον προβάλλεται· τὸν δέ γε Βασίλειον, τὸν τὸν Ἰωσὴφ, ᾗπέρ μοι ἐῤῥήθη, καταστασιάσαντα, εἰς τὸ τοῦ προέδρου κλέος ἀνεβιβάσατο.

θ'. Αὐτὸς δὲ τὴν συνήθη προσεποιεῖτο ἀπαρεγχείρητον σωφροσύνην διατηρεῖν, γυναικός τε συζυγίας ἐκκλίνων καὶ κρεωφα- C γίαν ἀποδιοπομπούμενος. ἀλλ' οἱ τὸν μονήρη βίον μετιόντες καὶ αὐτοῦ τὸν τρόπον δῆθεν ῥυθμίζοντες (ἐτίμα γὰρ διαφερόντως τοὺς μοναστὰς), οὐκ εἴων τὸν ἄνδρα ἐμμένειν οἷς ἔκρινε, προὐτρέποντο δὲ καὶ συζυγίαν ἀσπάσασθαι καὶ κρεωφαγίαν μὴ ὥς τι ἀπαίσιον ἀποφυγεῖν. Ἐδεδίεισαν γὰρ, μὴ τρυφαῖς καὶ κώμοις ἐπικλινὴς, ὡς εἰκὸς, γεγονὼς εἰς ἀλλοκότους ὑπολισθήσειεν ἡδονὰς, ἃς εἴωθεν αὐτοσχεδιάζειν τὸ αὐτοδέσποτον καὶ αὐτόνομον, ἐπειλημμένον δυνάμεως. ταῖς τῶν μοναστῶν οὖν καταπειθὴς γεγονὼς εἰσηγήσεσι, τὸν ἡλικιώτην μὲν καὶ συνειθισμένον βίον ἀπώσατο· τὴν δὲ τοῦ Ῥωμανοῦ ὁμευνέτιν, ἀριπρεπῆ ταῖς ὥραις καὶ αὐτό- D χρημα τυγχάνουσαν Λάκαιναν, πρὸς γάμον ἠγάγετο, καὶ πρὸς τὸ τῆς κρεωδαισίας ἀπὸ τῆς κεκολασμένης διαίτης μετεσκεύαστο

2. ἐπὶ cod. 19. ἐπειλιμμέναν (sic) cod.

sibi vindicare humanas res, nec quicquam terrestrium cuiquam esse proprium. At Nicephorus, postquam imperium susceperat, tuto ac secure gubernaculis rerum occupatis, Bardam ipsius patrem Caesaris dignitate ornavit: Ioannem, cognomento Tzimiscem, iam ab initio motus sibi opitulatum, Domesticum Orientis et Magistrum creavit: Leonem, fratrem suum, Curopalatem et Magistrum declaravit: Basilium, qui Iosephi opes, ut a me dictum est, motu facto fregerat, ad proëdri honorem evexit.

9. Ipse vero profitebatur solitam temperantiam intemeratam se servaturum, cum uxoris coniugium vitans, tum carnium esum repudians. Verum monasticae vitae cultores, qui quidem vitam eius gubernabant (observabat enim mirifice fratres), in institutis eiusmodi permanere virum non sinebant, sed hortabantur, ut et coniugium amplecteretur, nec carnium esu, ut re nefasta, abstineret. Verebantur enim, ne prono in delicias et comessationes animo in turpes delaberetur voluptates, quales comminisci solet liber seque ipse regens animus, si potentiam consequitur. Monachorum igitur admonitionibus obsecutus, familiarem ac consuetam vitae rationem ab se ablegavit: Romani uxorem, venustam plane mulierem et puram putam Lacaenam, in matrimonium duxit, aque tenuiore victu ad lautiorem

A. M. 6471 τρυφηλότερον. ὑπεψιθυρίζετο δὲ, μὴ ἔννομον συνδραμεῖν, πα-
Ind. 6 A. C. 963 ράλογον δέ πως τὸ συνοικέσιον, ὡς ἀνάδοχον ἐκ τοῦ θείου λου-
I. Rom. 4 τροῦ γεγονότα τὸν Νικηφόρον τῶν τοῦ αὐτοκράτορος Ῥωμανοῦ
καὶ τῆς Θεοφανοῦς παίδων. τῆς οὖν φήμης ἀπτέρῳ τάχει εἰς τὰς
ἀκοὰς τοῦ ἱεραρχοῦντος Πολυεύκτου ἐνηχηθείσης, ἀπείργειν
P. 31 παντὶ σθένει τῶν ἱερῶν περιβόλων ἐπειρᾶτο τὸν ἄνακτα· ζήλου
γὰρ θείου περίπλεως ὢν ὁ ἀνὴρ, καὶ τὴν παντοδαπὴν γνῶσιν καὶ
ἀρετὴν ἀπρόσιτος, διελέγχειν καὶ βασιλεῖς οὐκ ᾐσχύνετο. ὁ δὲ βα-
σιλεὺς, τὰ μὲν τὸν ἀρχιερέα παραιτούμενος, τὰ δὲ καὶ ἀπολογού-
μενος, μὴ ἀνάδοχον αὐτὸν ἐκ τοῦ βαπτίσματος τῶν παίδων εἶναι
τῆς Αὐγούστης Θεοφανοῦς, ἀλλὰ Βάρδαν, τὸν αὐτοῦ γενέτην, οὕ-
τω κατεδυσώπησε τὸν ἀρχιερέα καὶ δεινῶς κατεκήλησεν, ὡς καθι-
λαρευσάμενος οἰκονομῆσαι τὴν τῆς Αὐγούστης Θεοφανοῦς μετὰ
τούτου συνοίκησιν. ἐπεὶ δὲ κατὰ ῥοῦν ἐχώρησε τούτῳ τὰ πράγμα-
Fol. 286 r. τα, κόσμον βασιλικὸν συμφορήσας ἀμύθητον, τεμένη τε γῆς εὐ-
B δαίμονος πολύπλεθρα, χυμῶν ἰδέαις καὶ καρπῶν πλήθει παντοδα-
πῶν περιβρίθοντα ἀφορίσας, Θεοφανοῖ τῇ ὁμευνέτιδι καὶ βασιλί-
A. M. 6472 δι χαρίζεται. αὐτὸς δὲ παρὰ τὴν Κωνσταντινούπολιν διαχειμά-
Ind. 7 A. C. 963 ζων, ἀγῶσιν ἱππικοῖς καὶ παντοδαποῖς θεωρίοις, φιλοτησίαις τε
I. N. 1 τοῖς αὐτοκράτορσιν εἰθισμέναις, τοὺς ἐν τέλει φιλοφρονούμενος
οὐκ ἀνίη· ὅσον τε θεραπευτικὸν καὶ οἰκίδιον τούτῳ παρείπετο, ἐξή-
σκει τὰ πολεμικὰ ταῖς καθ' ἡμέραν μελέταις ὡς μάλιστα, τόξον τε
ἀνεπισφαλῶς ἐκτείνειν, καὶ τὸν ὀϊστὸν τῷ μαζῷ ἐρύειν, εὐστόχως

4. ἀπτερώτῳ τάχει. Vid. infra 59 B.

carnibus vescens transiit. Rumor autem erat, haud legitimas esse, propeque abhorrere a legibus nuptias, quia Nicephorus liberorum Romani Imperatoris ac Theophanonis ex geniali aqua susceptor exstitisset. Qui rumor magna celeritate cum ad Polyeucti sacrorum praefecti aures pervenisset, omni conatu Imperatorem a sanctis septis arcere conabatur: cum enim vir esset ardente studio colendi Dei plenus, omnique genere scientiae atque virtutis inaccessus, reprehendere vel principes non verebatur. At Imperator tamen, partim deprecans patriarcham, partim ad sui defensionem afferens, non sese susceptorem liberorum Theophanonis Augustae fuisse, verum Bardam patrem, ita flexit animum patriarchae penitusque delinivit, ut laetus coniugium eius cum Theophanone Augusta dispensarit. Ita rebus ad voluntatem suam fluentibus, ornatum imperatorium infinitum a se coacervatum, item agri opimi latifundia, succo vario fructuumque cuiusque modi copia plena, a caeteris seiugata, Theophanoni coniugi atque Augustae donat. Ipse Constantinopoli hiemans ludis equestribus, omnium generum spectaculis, largitionibusque ab Imperatoribus fieri solitis, potestates munerare non intermisit: quaecunque vero eum sequebantur in obsequiis domesticae copiae, eas ad res bellicas quotidiana exercitatione quam maxime assuefaciebat, arcum recte intendere, sagitta ad mammam adducta colli-

τε βάλλειν κατὰ σκοπὸν, καὶ δόρατα κραδαίνειν καὶ περιελίσσειν
εὐπετῶς τῇδε κἀκεῖσε, ξίφη τε εὐθυβόλως κατὰ τὸν ἀέρα περιστρέ- C
φειν, καὶ ἵππων κούφως ὑπεράλλεσθαι· ὡς ἐν καιρῷ τῶν ἀγώνων
μὴ φαίνοιτο τῶν ἐναντίων μειονεκτοῦν· καὶ μάλιστα προκινδυνεύειν
ὀφεῖλον καὶ παρατάττεσθαι κατὰ φάλαγγα.

ι΄. Ἐπεὶ δὲ τὴν τοῦ χειμῶνος κατήφειαν ἐαριναὶ τροπαὶ πρὸς A. M. 6472
γαληνιῶσαν μετεσκεύαζον ἱλαρότητα, ἐκστρατείαν κατὰ τῶν Ἀγα- Ind. 7 A. C. 964
ρηνῶν παραγγείλας, τοῦ Βυζαντίου ἀπαίρει· καὶ τῇ Καππαδο- I. N. 1
κῶν ἐναυλιζόμενος χώρᾳ καὶ στρατιὰν συνειλοχὼς ἀξιόμαχον, ἐπὶ
τὴν τῶν Ταρσέων ἤλαυνεν, ἀνδρῶν ἀρετῇ καὶ πλήθει καὶ μελέτῃ
τῶν τακτικῶν τραχηλιῶσαν τότε καὶ νεανιευομένην ὑπέραυχα, καὶ D
πλείστας ἀναφανδὸν ἐκδρομὰς ἀνελπίστους εἰσπράττουσαν. ἐπεὶ
δὲ ταύτῃ προσέσχε, καρτερὸν πηξάμενος χάρακα καὶ κυκλόθεν
διειληφὼς, ἐφρούρει παρακαθήμενος. οἱ δὲ ἔνδον Ἀγαρηνοί, δα-
ψιλείᾳ τέως τῶν ἀναγκαίων ὄντες ὑπερκορεῖς, καὶ τῇ τοῦ πολί-
σματος τεθαῤῥηκότες ἐρυμνότητι (ἐς ὕψος γὰρ ἀμήχανον ἠωρεῖτο
τῶν περιβόλων τὸ δόμημα, διπλῇ περιελισσόντων αὐτό· καὶ τα-
φρείᾳ κυκλόθεν διείληπτο, ἐς βάθος ὅτι πλεῖστον καθικνουμένῃ,
λίθων λευκῶν κατεσκευασμένῃ ξεστῶν, καὶ ἐς προμαχεῶνας συμ-
περαινομένῃ. εἶχε μὲν καὶ τὸν Κύδνον τὸ ἔρυμα, κατὰ μέσον αὐ- P. 32
τὸ διατέμνοντα, ὃς ἐξ αὐτῶν τῶν πηγῶν πολυχεύμων τις, ψυ-
χρός τε καὶ διειδὴς περινάων πρόεισιν, ἀσφάλειαν οὐ μικρὰν τῇ
Ταρσῷ παρεχόμενος, καὶ γεφύραις τρισὶν ἔνδον τοῦ ἄστεος δια-

6. ἐπὶ et paulo post μετὰ σκευάζον cod. 8. ἀπαίρειν cod. 20. καὶ τὸ κύδρον (sic) cod.

neare, spicula vibrare et contorquere expedite huc illuc, gladios directo ictu per aërem rotare, in equos leviter insilire: ne tempore certaminum inferiores hostibus reperirentur; praesertim quod primae periculum ingredi ac venire in aciem debebant.

10. Postquam tristem hiemis faciem verna tempestas in serenam mutaverat iucunditatem, indicta adversus Saracenos expeditione Constantinopoli proficiscitur: moratusque in Cappadocia, iustis collectis copiis ad Tarsensem urbem accessit, civium cum virtute, tum numero, tum usu rei bellicae ferocientem ea tempestate, nimiumque superbientem, plurimasque palam incursiones insperatas facientem. Eo cum pervenisset, probeque communitis castris oppidum cinxisset, custodiis positis obsidet. Saraceni in oppido, copia necessariarum rerum tunc referti, oppidique firmitudine freti (nam in infinitam excelsitatem surgebat moenium structura, gemino orbe circumiectorum: eratque item circino circumducta, in altitudinem quam plurimam depressa, lapidibusque albicantibus politis vestita, et pinnis terminata fossa. Neque minus habebat Cydnum pro munimento, medium oppidum intersecantem: qui, ab ipso fonte uber, gelidus et perlucidus manans profluit, praesidium haud parvum Tarso praebens, pontibusque tribus intra

A. M. 6472 Ind. 7. ζωννύμενος· ὅτε δὲ πόλεμος αὐτοῖς ἐπιβρίθει, κατὰ τῆς τάφρου αὐτὸν ἀφιᾶσι καὶ ἐν ὥρᾳ μιᾷ πλημμυροῦσαν ταύτην ἐργάζεται)· τούτοις τεθαῤῥηκότες οἱ βάρβαροι ἐτώθαζόν τε τὸν βασιλέα καὶ ὕβρεσιν αὐτὸν ἀδεῶς ἔβαλλον, ἐκδρομάς τε καὶ ἐπεξελάσεις ποιούμενοι πλείστους τῶν Ῥωμαίων ἀπεκτίννυον. ὁ δὲ αὐτοκράτωρ B Νικηφόρος ἐφ' ἱκανὸν ταύτῃ χρόνον προσδιατρίψας, ἐπείπερ ἀνηνύτοις ἐπιχειρῶν ᾔσθετο, ἐκεῖθεν μεταναστάς τε καὶ παρεγκλίνας, τοῖς ἔγγιον αὐτῇ κατῳκισμένοις προσβάλλει φρουρίοις, καὶ Ἄδαναν μὲν καὶ τὴν Ἀνάβαρζαν, καὶ ἄλλα ὑπὲρ τὰ εἴκοσι φρού- Fol. 286 v. ρια αἱρεῖ αὐτοβοεί. κἄπειτα Μοψουεστίᾳ προσβαλών τε καὶ κυκλωσάμενος, ἐκθύμως ἐπολιόρκει, ταῖς ἀφετηρίοις μηχαναῖς ἑκασταχοῦ ἀκροβολιζόμενος. οἱ δὲ ἔνδον καὶ αὐτοὶ γενναίως ἀντικαθίσταντο, πυρφόρα τε βέλη καὶ βάρη λίθων κατὰ τῶν Ῥωμαίων βάλλοντες, καὶ παντὶ σθένει ἐκ τῶν πύργων αὐτοὺς ἀμυνόμενοι.

C ια'. Ὁ δὲ βασιλεύς, δραστήριός τε ὢν καὶ δεινὸς ἐν ἀμηχάνοις πορίσασθαι μηχανήν, περιελθὼν καὶ καταστοχασάμενος τὸν χῶρον, ᾗπερ ἦν εὐεπιχείρητον, τῶν πύργων παραγαγὼν ἄνδρας ἀωρὶ τῶν νυκτῶν ἀνορύττειν ἠρέμα ἐνεκελεύσατο, ἀπὸ τῶν ὄχθων ἐναρξαμένους τοῦ ἐκεῖσε παραῤῥέοντος Πυράμου τοῦ ποταμοῦ, ὡς μὴ αἴσθοιντο οἱ βάρβαροι, καὶ εἰς κενὸν ἀποβῇ τὸ τοιοῦτον ἐπιχείρημα. οἱ δὲ ἀνώρυττόν τε καὶ τὸν χοῦν τῷ τοῦ ποταμοῦ ἐκφοροῦντες παρέπεμπον ῥεύματι. Ἐπεὶ δὲ τὸ ἔργον ἐξήνυστο, καὶ δύο τῶν πύργων μεταξὺ τοῦ συνδεδομένου τούτοις

1. ἐπιβρίσει cod. 5. ἀπεκατίννυον cod. Paulo posterius B. nolui quicquam mutare: nomen oppidi apud veteres est Ἀναζαρβά. 20. καινὸν cod. et postea auctor elegantior scripsisset ἀποβαίη. 23. μεταξύ. Fort. μετά.

oppidum iungitur; bello autem imminente in fossam illum immittunt, quam horae unius spatio restagnantem reddit): his igitur freti barbari Imperatorem subsannabant, conviciis impudenter in eum iactis, saepiusque urbe effusi, facta impressione, Romanorum plurimos trucidabant. Imperator Nicephorus, satis longo tempore ibi confecto, ubi negotium valde arduum suscepisse se cognovit, inde movens reflexo itinere circumpositas Tarso arces aggreditur, Adanamque et Anabarzam, aliaque supra viginti eiusmodi castella primo impetu cepit. Inde Mopsuestiam aggressus corona circumdata fortiter oppugnat, tormentisque missilibus undique petit. Oppidani et ipsi strenue resistebant; ignita tela et saxorum pondera in Romanos mittentes, omnique conatu ex turribus illos propulsantes.

11. Imperator, ut erat promtus et mirabilis in remediis incommodorum inveniendis, circuito inspectoque loco, qua erat opportunum, nocte intempesta homines ad turres adductos murum pedetentim subruere iubet, a ripa Pyrami amnis ibi praeterfluentis orsos, ne animadvertentibus barbaris ad nihilum veniret is conatus. Illi suffodere coeperunt, humum egestam fluminis undae committere. Opere confecto, posteaquam duae turres una cum

τειχίσματος εἰς τὸ ἀκριβὲς διάκενοι γεγόνασι, καὶ ἐκκρεμεῖς ὄν- A. C. 964
τες ξύλοις ᾐώρηντο, τῷ μὴ τὴν σφῶν διαλυθῆναι οἰκοδομήν· I. N. 1
ἄρτι τῆς ἡλιακῆς ἀκτῖνος τὴν περίγειον ὑπαυγαζούσης, κατὰ τὸ D
εἰθισμένον οἱ Ἀγαρηνοὶ λευχείμονες τῶν πύργων προκύψαντες,
καὶ τὰ τόξα ἐντεινάμενοι, καὶ τὰς λοιπὰς παρασκευάσαντες μη-
χανὰς, ὕβρεσιν ἐδυσφήμουν τὸν ἄνακτα. ὁ δὲ τοῖς ὑπογείοις
ἐρείσμασι τῶν πύργων ἐνιέναι πῦρ διακελευσάμενος, αὐτὸς ἐς τὸ
ἀκριβὲς καθωπλισμένος, ἐπῄει διατάττων τὰς φάλαγγας. ῥᾳ-
δίως δὲ τῶν στηριγμάτων κατακαέντων, ὅσον ἐκκρεμὲς ἦν τοῦ
τείχους καὶ ὑπόκενον, κατασεισθὲν εἰς γῆν κατεφέρετο, συγκα-
τασπᾶσαν καὶ τοὺς ἐπιβεβηκότας αὐτῷ τῶν Ἀγαρηνῶν, ὧν οἱ
πλείους συντριβέντες αὔθωρὸν διαπεφωνήκασιν· οἱ δὲ, ζωγρίαι P. 33
πρὸς τῶν Ῥωμαίων ληφθέντες, τὴν κατασχοῦσαν σφᾶς ἀπωδύ-
ροντο τύχην. ὁ δὲ αὐτοκράτωρ, ἐπεὶ τὸ τεῖχος ἐριπωθὲν πάρ-
οδον τοῖς βουλομένοις παρείχετο, πανσυδὶ τῇ Μοψουεστίᾳ προσ-
επιβὰς ταύτην ἠνδραποδίσατο, καὶ τοὺς παραλειφθέντας βαρ-
βάρους δουλείᾳ παρέπεμψεν, αὐτὸς δὲ τὰ κάλλιστα τῆς λείας
ὑπεξελὼν, καὶ τῷ βασιλικῷ ταμείῳ προσαναθεὶς, τὸν στρατὸν B
ἐκ τῆς ἁρπαγῆς τοῦ ἄστεος ἀνακαλεσάμενος, ἐπεὶ ὁ ἥλιος τὸν το- A. M. 6473
ξότην παρελαύνων μετέβαινε πρὸς τὸν αἰγοκέρωτα, καὶ τὸ τοῦ Ind. 8 A. C. 964
χειμῶνος δεινὸν ἐπετείνετο, ἐκεῖθεν διαναστὰς ἐπὶ τὴν Ῥωμαϊκὴν I. N. 2
ἐπικράτειαν ἀνήλαυνε, καὶ τῆς Καππαδοκῶν ἐπιβὰς τὴν πληθὺν,
ὡς εἰκὸς, φιλοφρονησάμενος ἐκέλευσεν ἐπὶ τὰ οἴκοι παλινδρομεῖν,
μεμνῆσθαί τε αὖθις τῆς πρὸς αὐτὸν ἐπανόδου τοῦ ἦρος προκύ-

5. λυπὰς cod. 10. ὑπόκερον cod. 16. παραληφθέντας cod. Vid. notas.

interiecto eis muro, prorsus subcavae pensilesque factae, lignis suffultae fuerant, ne earum dissolveretur coagmentatio: iam solari radio circumiectum agrum collustrante, suo more Saraceni, candidis amicti vestibus et turribus prospectantes, arcus intendentes, caeterasque apparantes machinas, conviciis Imperatorem consectabantur. Is fulcimentis turrium subterraneis ignem admoveri iussit, ipse perfecte armatus obiens disponensque legiones. Fulturis parvo negotio absumtis, quicquid pensile in muro et subcavum erat, eversum inque terram delatum est, Saracenosque superstantes una deturbavit: quorum plerique contriti evestigio extremam vocem ediderunt; reliqui, captivi a Romanis facti, fortunam suam lamentabantur. Imperator, ubi muri ruina aditum volentibus praebebat, omni confertim exercitu irruens Mopsuestiam occupat, superstitesque barbaros servituti mandat. Ipse, praestantiore parte praedae seposita, fiscoque Augusto addicta, militeque ab oppidi direptione revocato, quod sol sagittarium transgressus ad capricornum transibat, hiemisque rigor intendebatur, inde motis castris ad fines Romanos se recepit. Iamque Cappadociam ingressus, exercitum, ut par erat, remuneratum domum reverti iussit, meminisse monens, ut ineunte vere rursus ad se redirent, armaque sua uti omnes re-

A. M. 6473 πτοντος, τὰς πανοπλίας ἐπισκευασαμένους, παραθηξαμένους τε
Ind. 8 A. C. 964 τὰ ξίφη, καὶ τῶν ἵππων ἐπιμελησαμένους ὡς μάλιστα. οὕτως
I. N. 2 μὲν ἡ πληθὺς πρὸς οἶκον ἐχώρει. αὐτὸς δὲ ἅμα τοῖς ὑπολει-
Fol. 287 r. φθεῖσιν αὐτοῦ τε διεχείμαζε, καὶ τὰ ἐς τὸν πόλεμον ἐξηρτύετο.

ficerent, gladios exacuerent, equos ut quam maximae curae haberent. In hunc modum exercitus domum revertit. Ipse cum iis qui remanserant eodem in loco hibernans quae ad bellum pertinebant instruxit.

# ΛΕΟΝΤΟΣ ΔΙΑΚΟΝΟΥ

## ΙΣΤΟΡΙΑΣ Δ.

# LEONIS DIACONI HISTORIAE

## LIBER IV.

### ARGUMENTUM.

*Nicephorus novam expeditionem contra Tarsenses molitur* (*Cap.* 1). *Severitas eius in disciplina militari* (2). *Proelium ad Tarsum* (3). *Urbe in deditionem recepta, Byzantium revertitur* (4). *Legatio Bulgarorum belli Bulgarici causa* (5). *Russi contra Bulgaros excitantur. Nicephorus insidias veritus propter odium vulgi regiam suam communit* (6). *Motus urbani, quibus Leo Diaconus interfuit. Expeditio Siciliensis* (7). *Infelix eius eventus* (8). *Terrae motus Claudiopoli, ingens imber Constantinopoli factus* (9). *Nicephori expeditio Syriaca: Antiochia frustra tentata, Edessa recepta, Arca vi expugnata* (10). *Defectio solis. Castello prope Antiochiam exstructo, Nicephorus in urbem redit* (11).

α'. Τὸν μὲν δὴ τρόπον, ὃν εἴρηταί μοι, πρὸς τοῦ αὐτοκράτορος A. M. 6473
Νικηφόρου ἥ τε Μόψου ἥλω ἑστία, καὶ τὰ πρόσοικα φρούρια Ind. 8 A. C. 964
ἐξ ἐφόδου ἠνδραποδίσθη. αὐτὸς δὲ κατὰ τὴν Καππαδοκῶν δια- I. N. 2
χειμάζων, ἤσχαλλέ τε καὶ ἤλυεν ἀνιώμενος, τῷ μὴ καὶ τὴν Ταρ- P. 34
σὸν αἱρήσειν αὐτοβοεὶ, ἀλλὰ ταύτης ἀποκρουσθῆναι ὡσπερεὶ βέ-
λος κωφὸν ἰσχυροτέρῳ προσπεσὸν, μηδέν τι γενναῖον ἢ νεανικὸν
ἐργασάμενος. καὶ τὸ πρᾶγμα προπηλακισμὸν καὶ ὕβριν ἄντικρυς
ἐλογίζετο, καὶ ὄνειδον ἀνεξάλειπτον, εἰ Νικηφόρος ὢν ὁ Φωκᾶς, B

8. ὄνειδον. Sic cod. ἀνεξάληπτον cod.

1. Ita, quemadmodum dixi, a Nicephoro Imperatore et Mopsuestia expugnata est, et castella finitima ex itinere capta. Ipse in Cappadocia hibernans animo discruciabatur, quod non Tarsum quoque prima aggressione capere potuisset, verum inde velut imbelle telum violentiori impactum repulsus esset, nulla re luculenta fortive gesta. Remque pro suggillatione plane putabat et pro invidia indelebili, si Nicephorus Phocas, iam pridem

A. M. 6473 καὶ πρώην ἐν στρατηγοῖς τελῶν, καὶ αὖθις ἀναῤῥηθεὶς Δομέστι-
Ind. 8 A. C. 964 κος τῶν σχολῶν, τοτὲ μὲν μυριάδας πόλεις κατέσκαψε καὶ δηώ-
I. N. 2 σας ἠθάλωσε, τοτὲ δὲ εὐδαίμονας χώρας ἠνδραποδίσατο, καὶ μάχιμα ἔθνη τρεψάμενος ἐκ παρατάξεως ὑπήγετο, μηδὲ ἀντοφθαλμεῖν ἐξισχύσαντα πρὸς τὴν τούτου ἀλκὴν καὶ τὴν ἀκαταγώνιστον ἐν τοῖς ὅπλοις ὁρμήν· τὰ νῦν δὲ, τὴν τῶν Ῥωμαίων ἡγεμονίαν ἀνδρείᾳ ἀγχινοίᾳ παρειληφὼς, καὶ στρατὸν εἰς τετταράκοντα μυριάδας ἀριθμούμενον ἐπαγόμενος, ἀπεκρούσθη τὴν ἄλλως σκια-
C μαχήσας. ἀπεκρούσθη δὲ οὐχὶ Βαβυλῶνος, ἣν ἡ Σεμίραμις ἑπτὰ περιβόλοις ὠχύρωσεν· ἢ τῆς πρεσβυτέρας Ῥώμης, τὸ τῶν Ῥωμαίων σθένος ἥνπερ ἐπολίσατο· ἢ τῶν τῆς Ἰουδαίας τειχῶν, ὧν τὸ ναστὸν ὕψος, ὠσὶν ἀκουόμενον, μῦθος τάχα, τῆς ἀληθείας γεγυμνωμένος, τοῖς οὐχ ἑωρακόσι δοκεῖ· ἀλλὰ Ταρσοῦ, εὐπεριγράπτου πόλεως, ἐφ' ἱππηλάτου πεδίου συνῳκισμένης, τῶν ἐπηλύδων τε καὶ ἰθαγενῶν. ταῦτα δὴ ἀνελίττων καὶ γνωματεύων δυσφορῶν διετέλει, καὶ ἀπαρηγόρητα δυσθυμῶν, εἰ Ταρσεῖς, τῶν προσοίκων αὐτοῖς ἔργον πολέμου γεγενημένων, καὶ δουλείαν
P. 35 ἐλευθερίας ἀλλαξαμένων, ὁπόσοι τὸ τῆς μαχαίρας στόμα διέδρασαν, αὐτοὶ μόνοι τῶν ἄλλων ἀπέλθοιεν, πλατύ που τῆς ἐκείνου ἀνδρείας ἐπικαγχάζοντες, καὶ τῆς πολεμικῆς ἐμπειρίας καταμωμώμενοι. τῷ τοι καὶ τὰ ἐς τὰς μάχας τοὺς περὶ αὐτὸν διεγύμναζεν ἀκριβῶς, καὶ τὴν τοῦ ἔτους ὥραν ἧστο προσεκδεχόμενος.
A. M. 6473 ἦρος δὲ εὐθὺς διαλάμποντος, καὶ τῆς χειμερινῆς δριμύτητος εἰς
Ind. 8 θερινὴν θάλψιν μετακιρναμένης ἐπιεικῶς, κατὰ τὸ προστεταγμέ-

2. τότε cod. hic et infra. μυριάδας. Melius μυρίας, sive μυριάνδρους. 20. καταμωμώμενοι. Fort. καταμωκώμενοι. 23. ἤρους cod.

in ducum numero, post haec Domesticus scholarum creatus, modo innumeris urbibus excisis, vastatis, combustis, modo opimis regionibus subiunctis, acerrimas gentes praelio fusas ita domuisset, ut ne intueri quidem coram eius robur invictamque in armis vim possent: nunc vero, imperio Romano per virtutem solertiamque potitus, exercitu ad quadringenta millia numero inducto, repulsus esset, umbratili pugna frustra suscepta. Idque non a Babylone, quam Semiramis septem moenibus communivit; non ab antiquiore Roma, Quiritum robur quam aedificavit; non a Iudaeae muris, quorum solida altitudo, auribus accepta, fabula fortasse illis qui non conspexerint videtur: sed a Tarso, angusto oppido, in equitabili planitie sito, referta adventitia vernaque plebe. Haec animo volvens ac reputans aegre ferebat perpetuo, consolationis inopia contabescens, si Tarsenses, finitimis ipsorum bello caesis, iisque qui gladiorum aciem effugissent servitutem cum libertate commutantibus, ipsi soli ex omnibus elaberentur, irrisa plane virtute eius, bellicaque explosa peritia. Ita et quos circa se habebat ad bellum exercebat diligenter, et opportunum anni tempus praestolans sese continebat. Commode autem ver illuxerat, hiberna asperitate in vernum teporem iam transfusa,

νον αἱ δυνάμεις ἐπὶ τὸν αὐτοκράτορα συνηγείροντο. ὁ δὲ ἀραρό- A. C. 965
τως καθοπλίσας τὴν στρατιάν, συναγομένην ὑπὲρ μυριάδας τὰς I. N. 2
τετταράκοντα, τὸ σημεῖον διάρας ἐπῄει τὴν ἐπὶ τῆς Ταρσοῦ.

β'. Ἐν ᾧ δὲ τὴν πορείαν διήνυε, τῶν ψιλῶν τις στρατιω- B
τῶν, πρὸς τὴν δυσχωρίαν ὀκλάσας (ἔτυχε γὰρ δι' αὐλῶνος τὴν
στρατιὰν βαθυτάτου, εἰς ἀποῤῥῶγας καὶ σήραγγας κατακλειομέ- Fol. 287 v.
νου, διαπορεύεσθαι), τὸν ὃν ἐπὶ τῶν ὤμων ἔφερε θυρεόν, κατὰ
τὴν ὁδὸν ἀπέῤῥιψεν ἀποφορτισάμενος. ἐπεὶ δὲ παροδεύων ὁ βα-
σιλεὺς τοῦτον τοῖς ὀφθαλμοῖς καθεώρακε, τῶν ἑπομένων τινὶ
διᾶραι τὸν θυρεὸν ἐγκελεύεται· ἄρτι δὲ φθάσας πρὸς τὴν κατα-
γωγήν, ὑπὸ τίνα τῶν λοχαγῶν διηρευνᾶτο ταττόμενος ἂν εἴη ὁ
διαμάχης καὶ κινδύνων χωρὶς ἀποφανθεὶς ῥίψασπις καὶ τὸ ἴδιον C
ὅπλον ἀποβαλών. ἐπεὶ δὲ οὐ διέλαθεν ὁ τοῦτο δεδρακώς, ἀλλὰ
τὴν ταχίστην συνελαμβάνετο, βλοσυρόν τι τούτῳ καὶ λοξὸν ἀντ-
ωπήσας ὁ βασιλεὺς καί, „λέγε μοι," ἔφη, „ἀγεννέστατε σύ, εἴ
γε τις ἐπῆλθεν ἐξ ἀπόπτου πολέμου καταδρομή, τίνι ἂν ἔρκει
πρὸς ἀποτροπὴν ἐχρήσω τῶν δυσμενῶν, τὸν θυρεὸν ἀποβαλὼν
παρὰ τὴν ἀταρπιτόν;" ὁ δέ, πεπηγὼς ὑπὸ τοῦ δέους, διέμενεν
ἀχανής. ὁ δὲ αὐτοκράτωρ αἰκίαις καταξᾶναι τὸν αὐτοφονευτὴν
ἑαυτοῦ τῷ λοχαγῷ ἐγκελεύεται, ἐκτεμόντι τε καὶ τὴν ῥῖνα θεα-
τρίσαι κατὰ τὸ στρατόπεδον. Ἐκεῖνος δέ, εἴτε οἴκτῳ ληφθεὶς
πρὸς τὸν ἄνθρωπον, εἴτε καὶ δώρων ἐπιβολῇ χαυνωθείς, ἀσινῆ D
διαφῆκε τὸν ἄνδρα. τῇ δὲ ὑστεραίᾳ διϊόντα τοῦτον ὁ βασιλεὺς
ἑωρακώς, τὸν λοχαγὸν εἰσκαλεῖ καί, „ὦ," φησίν, „ἀτέραμνε καὶ

16. ἀπόπτου. Fort. ἀπροόπτου. Vid. notas.

cum ex mandato copiae ad Imperatorem convenerunt. Ita cum optime instructo exercitu, ad numerum plus quadringentorum millium coacto, signo sublato viam Tarsum versus ingressus est.

2. Iter dum faciebat, aliquis levis armaturae miles, viae difficultate fessus (forte enim per convallem profundissimam, crepidinibus hiatibusque circumclusam, ibat agmen), quem humeris ferebat clypeum detractum praeter viam proiecit. Hunc transiens Imperator conspicatus, quendam ex comitatu clypeum tollere iubet: vixdumque in hospitium venerat, cum exquisivit, quo sub centurione mereret ille, qui absque praelio et periculis, clypeo abiecto, armis propriis se exuisset. Cum non delituisset qui deliquerat, sed evestigio esset comprehensus, torvum ac transversum tuens Imperator, „Dic mihi," inquit, „ignavissime tu, si qua demisisset se ex longinquo hostilis incursio, quo tandem tutamento usus fuisses ad avertendos hostes, quoniam clypeum ad viam proiecisti?" Ille, mortuus prae formidine, stabat stupens. At Imperator centurioni mandat, ut eum, qui se ipse morti dicasset, verberibus caesum nasoque praeciso per castra traduceret. Verum enimvero is, sive misericordia captus hominis, sive numis traditis mollitus, incolumem dimisit militem. Postridie eius diei praetereuntem illum ipsum Imperator conspicatus, centurionem introvocari iubet, et,

A. M. 6478 Ind. 8 θρασυκάρδιε σύ, πῶς ἔτλης μὴ παραγαγεῖν εἰς ἔργον τὸ κελευσθέν; ἢ δοκεῖς πλεῖον ἐμοῦ τουτουΐ κήδεσθαί σοι τοῦ στρατοῦ; εἰς παιδείαν ἐγὼ τῶν λοιπῶν τὴν τοιαύτην διωρισάμην ἐκτῖσαι ποινὴν τὸν τὸ ἑαυτοῦ ὅπλον ἀποῤῥιψάμενον· ὡς μήτινες τὸ τούτου ἀμελὲς καὶ νωθρὸν μιμησάμενοι ταὐτὸ τοῦτο διαπράξοιντο, κἂν τῷ καιρῷ τῶν ἀγώνων γεγυμνωμένοι τῶν ὅπλων καταλαμβάνοιντο, καὶ οὐκ ἂν φθάνοιεν πρὸς τῶν ἐναντίων ἀναιρούμε- P. 86 νοι." σφοδρῶς οὖν αἰκίσας τὸν λοχαγὸν καὶ τῆς ῥινὸς ἀφελόμενος, δέος ἐνῆκε παντὶ τῷ στρατῷ, μηκέτι ἀμελῶς διακεῖσθαι περὶ τὸν οἰκεῖον ὁπλισμόν.

γ'. Ἄρτι δὲ κατὰ τὴν περίχωρον γενόμενος τῆς Ταρσοῦ, ἐνταῦθα στρατοπεδεύεται καὶ χάρακα κυκλόθεν πηξάμενος, καρτερῶς τά τε λήϊα καὶ τοὺς λειμῶνας, τοῖς ἄνθεσι καὶ παντοίων δένδρων ἰδέαις κομῶντας, δῃοῦν καὶ ἀποκείρειν προσέταττεν, ὡς ἐξ ἀπόπτου ἡ διαμάχη τούτῳ εἴη, καὶ μή τινα τοῖς βαρβάροις ἐξῇ ἐν τοῖς ἀμφιλαφέσι χωρίοις λόχον ἐγκαθιστάνειν, καὶ τῇ B Ῥωμαϊκῇ στρατιᾷ ἐκ τοῦ ἀφανοῦς ἐπιτίθεσθαι. ἦν οὖν τὴν χώραν ἰδεῖν τὸν οἰκεῖον ὡραϊσμὸν ἀποβάλλουσαν· εὐδαίμων γὰρ ἅπασα καὶ εὔβοτος καὶ φυτῶν ἰδέαις κατάκομος, ὅσα οἶδε φέρειν ὀπώρας παντοίας χυμούς. Ταρσεῖς δὲ ταῖς κατὰ Ῥωμαίων ἤδη προβάσαις νίκαις ἐπαιρόμενοι, θρασεῖς τέως καὶ ἀγέρωχοί τινες ἐξητάζοντο, Fol. 288 r. οὐκ ἠνείχοντό τε κατέχειν ἐν ἑαυτοῖς τὸν θυμόν, ἀλλ' ὑπεξιόντες τοῦ ἄστεος ἐς καρτερὸν ἐξ ἀντιπάλου παρεκροτοῦντο συνασπι-

2. τουτὶ cod. et paulo post Leo scribere debuisset κήδεσθαι σύ. 19. εὔωτος cod. Sed vid. 5. A. εὐδαίμων γὰρ ἡ χώρα — εὔβοτός τε καὶ εὔμηλος. 23. παρεκροῦντο.

„O praefracte et temerarie tu," inquit, „qui fit ut ausus sis ad exitum non perducere imperatum? Num putas minus mihi quam tibi curae esse istum exercitum? Ad erudiendos reliquos ego decreveram, ut eiusmodi poenam is ferret, qui arma abiecisset sua: ne qui incuriam eius ignaviamque imitati id ipsum facerent, temporeque praelii nudi armis deprehensi ab hostibus actutum oppressi interirent." Ita centurione vehementer verberato, nasoque ei amputato, metum incussit omni exercitui, ne iam indiligenter ageret in curandis armis.

3. Cum in agrum Tarsensem pervenisset, castris factis oppidoque circumvallato, campos atque prata, floribus variarumque arborum formis laeta, penitus vastari caedique iussit, ut in conspicuo praelium fieret, neque ullas barbaris liceret in contectis locis ponere insidias, in Romanumque exercitum ex occulto cooriri. Vidisses tunc agrum suo decore spoliari: etenim erat ubique opimus, pabulo laetus, stirpium varietate comans, fundentium pomorum cuiusque generis sapores. Tarsenses, superioribus victoriis ex Romanis reportatis elati, feroculos sese de principio arrogantesque praebuerunt: cumque in se continere animos non possent, egressi oppido

σμὸν, τολμητίαι τινὲς καὶ θαῤῥαλεώτεροι τοῦ μετρίου πρὸ τῆς A. C. 965 τοῦ πολέμου πείρας ἀναδεικνύμενοι. ὁ δὲ βασιλεὺς καὶ αὐτὸς τὸν I. N. 2 ἄλκιμον καὶ ῥωμαλέον τῆς στρατιᾶς ὑπεξῆγε τοῦ χάρακος, ἐν με- C ταιχμίῳ τε καθίστη τὰς φάλαγγας, κατὰ μέτωπον μὲν τοὺς πανσιδήρους ἱππότας ἱστῶν, ἐξόπισθεν δὲ τοξότας καὶ σφενδονήτας βάλλειν τοὺς ἐναντίους προστεταχώς. εἰς τὸ δεξιὸν δὲ κέρας αὐτὸς εἱστήκει, μυρίανδρον ἱππέων ἴλην ἐπιφερόμενος· κατὰ δὲ τὸ εὐώνυμον Ἰωάννης, ᾧ τὸ ἐπώνυμα Τζιμισκῆς, τῇ τοῦ Δουκὸς τιμῇ σεμνυνόμενος, διηγωνίζετο, ἀνὴρ σφαδάζων τε τῷ θυμῷ, καὶ τολμητίας ἐκτόπως καὶ θερμουργὸς εἰ καί τις ἄλλος ἀποδεικνύμενος, εἰ καὶ τὸ σῶμα βραχύς τις ὑπὲρ τὸ μέτριον ἦν, κατὰ τὸν μυθολογούμενον Τυδέα τὸν μαχητήν· ἀλλά τις ἡρωϊκὴ ἐνῆν ἀλκὴ καὶ ὁρμὴ ἐν τῷ μικροπρεπεῖ ἐκείνου σώματι. τοῦ δὲ αὐτο- D κράτορος ἐγκελευσαμένου τὸ ἐνυάλιον ἐπαυλεῖν, ἦν ἰδεῖν ἀμηχάνῳ κόσμῳ τὰς Ῥωμαϊκὰς κινουμένας φάλαγγας, καὶ τὸ πεδίον ἅπαν τῇ αὐγῇ τῶν ὅπλων καταστραπτόμενον. οὐκ ἤνεγκαν τὴν τοσαύτην ῥοπὴν οἱ Ταρσεῖς· τοῖς δὲ ὠθισμοῖς τῶν ἀκόντων καὶ τοῖς ἀκροβολισμοῖς τῶν βαλλόντων ἐξόπισθεν βιαζόμενοι, ἐξαυτῆς ἔκλιναν εἰς φυγὴν, καὶ πρὸς τὸ ἄστυ συνεκλείοντο ἀκλεῶς, πλείστους τῶν οἰκείων παρὰ ταύτην ἀποβάλλοντες τὴν προσβολήν. δεινὴ δέ τις ὑπεισῄει τούτοις δειλία, τηλικαύτην μετ' ἐμπειρίας ἀθρήσασι χωροῦσαν πληθύν. τὸν περίβολον οὖν διειληφότες τοῦ ἄστεος καὶ τοῦτον ταῖς ἀφετηρίοις κατοχυρωσάμενοι μηχαναῖς, P. 37 διεκαρτέρουν ἀπρόϊτοι, τὴν ἐπήλυσιν τῶν ἐναντίων ὑποδεχόμενοι.

2. τόν. Leg. τό. 20. ἀποβάλλοντες. Fort. ἀποβαλόντες.

in firmam phalangem ex adverso constipabantur, audaces se atque fidentes plus quam satis erat ante belli periculum ostendentes. Imperator item quicquid firmum valensque erat in exercitu, ex castris educit, infesta acie legiones constituit. In fronte collocat equites cataphractos, post hos sagittarios et funditores: hos tela in adversarios mittere iubet. In dextro cornu ipse consistit, innumeram equitum catervam inducens: in sinistro Ioannes cognomento Tzimisces, Ducis officio decoratus, praeliabatur, vir ardenti ingenio, qui audacem se et fervidum si quis alius ostenderat, tametsi corpore brevis plus quam attinebat erat, ad effigiem fabulati Tydei bellipotentis; verum heroica quaedam inerat virtus ac vis in parum specioso corpore. Imperator ubi classicum cani iussit, videndas se praebuerunt admirabili ordine commotae legiones Romanae, et campus totus fulgore armorum micuit. Nec tulerunt hanc impressionem Tarsenses: sed, strue hastarum telisque eorum qui a tergo iaculabantur propulsi, evestigio in fugam se converterunt, inque oppidum turpiter conclusi sunt, plurimis suorum hoc in conflictu deperditis. Magnus praeterea timor eos incessit, posteaquam tantum exercitum ordine procedentem conspexerant. Ita murum oppidi a se occupatum tormentis missilibus firmant: ipsi moenibus abditi obdurabant, adventum hostium excepturi.

A. M. 6478 Ind. 8

δ'. Νικηφόρος δὲ ὁ αὐτοκράτωρ, ἐπεὶ δυσπρόσοδον ἀτεχνῶς ᾔδει καὶ δυσέμβολον οὖσαν τὴν πόλιν, καὶ μὴ ἐξ ἐφόδου ἁλώσιμον, ἔγνω μὴ διακινδυνεύειν πολεμησείων ἀβούλευτα, ἀλλὰ τῷ λιμῷ παραδώσειν, ὅς γε τῇ χαλεπῇ κατανάγκῃ καὶ ἄκουσαν παραστήσεται. τοῦτο δὴ βουλευσάμενος ἀκριβέσι φρουραῖς τὸ ἄστυ διέζωσε. Ταρσεῖς δέ, ἕως μὲν οὔπω μὴ ἐμβαθύνας ὁ λιμὸς ὁλοτελῶς αὐτοὺς ἐξεπίεζεν, ἀπὸ τῶν πύργων ἀκοντίζοντες ἐς τοὺς Ῥωμαίους ἔβαλλον. ἐπεὶ δὲ τούτους οἰκτρῶς ἐπεβόσκετο, καὶ ἀπορίᾳ τῶν ἀναγκαίων τὰ σώματα ἐλυμαίνετο, ἦν ἰδεῖν ἀμηχα- B νίαν δεινήν, καὶ χαλεπὴν σκυθρωπότητα, ἥτις κατεῖχε τὴν πόλιν, ἐνερόχρωτάς τε τοὺς ἄνδρας, καὶ σκιᾶς εἰδώλων οὐδὲν διαφέροντας. τὸ γὰρ τοῦ λιμοῦ πάθος οἴκτιστον καὶ λίαν ὀλέθριον· ἐκτῆκον γὰρ τὸν ὄγκον τοῦ σώματος καὶ τὸ θερμὸν ἀποσβεννύον ψυχρότητι, ὡσανεὶ ὂν ἀράχνιον τοῖς ὀστέοις τὸ ἔλυτρον περιτείνεσθαι διατίθησι, κατὰ μικρὸν ἐπιέναι τὸν θάνατον Fol. 288 v. ἐκκαλούμενον. ἐπεὶ οὖν οὐχ οἷοί τε ἦσαν πρός τε τὸ ἄμαχον τοῦ λιμοῦ πάθος καὶ πρὸς τοσαύτην στρατιὰν διαμάχεσθαι, σπένδονταί τε τῷ βασιλεῖ καὶ ὑπείκουσιν, ἐφ' ᾧ τὸν βουλόμενον ἐπὶ τὰ ἐνδοτέρω Συρίας ἀκωλύτως χωρεῖν. ὁ δέ, εἴξας καὶ τού- C τοις σπεισάμενος, θᾶττον ἐξιέναι τῆς πόλεως ἐκελεύσατο, τὰ σφῶν σώματα καὶ τῶν ἀναγκαίων μόνον περιφέροντες ἱματισμόν.

1. δύσπροδον cod. 4. παραδώσειν. Melius παραδιδόναι. 12. λιμοῦ πάθ. οἴκτιστον. Odyss. M. 342. λιμῷ δ' οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν. 14. ὡσανεὶ ὄν. Nisi mavis scribere ὡς ἄνειον, hoc est ὡς ἀνθρώπειον. 18. ὑπήκουσιν cod. 21. Leg. τὸν ἀναγκαῖον.

4. Nicephorus Imperator cum accessu plane expugnatuque difficile esse oppidum sciret, neque corona capi posse, constituit, non in discrimen se offerre inconsiderata certandi cupiditate, sed fami civitatem tradere, quae crudeli necessitate esset vel invitam subactura. Hoc inito consilio diligentibus custodiis oppidum cinxit. Tarsenses, quoad intensior fames non penitus eos exhauserat, e turribus iacula in Romanos coniiciebant. Posterius vero, cum miserabiliter eos consumeret, rerumque necessarium inopia corpora infirmaret, vidisses desperationem ultimam, diram moestitiam quae occupaverat oppidum, mortuosos homines, ab umbra spectri nihil differentes. Nam inediae calamitas miserrima est, penitusque letalis: corporis formositatem emacerat, calorem frigore extinguit, aranei texti instar tegmina circa ossa pendeant efficit, mortemque ut pedetentim accedat evocat. Ad extremum, cum intolerabili famis incommodo tamque magno exercitui obsistere non possent, pactionem cum Imperatore faciunt, seque ei dedunt, iis conditionibus, ut qui vellent potestatem haberent ad interiora Syriae libere se conferendi. Id cum concessisset, induciis factis incunctanter exire ex oppido eos iussit, corpora et necessarium vestitum solum efferentes. Sic

οὕτω δὴ τὴν πόλιν αἱρεῖ, καὶ τῆς λείας τὸ μὲν τῇ στρατιᾷ δια- A. C. 965
νείμας εἰς ἀναρίθμητον πλοῦτον συναγόμενον, καὶ τοὺς σταυ- I. N. 2
ρικοὺς τύπους ἀνειληφὼς, οὓς ἐκ χρυσοῦ καὶ λίθων ἐξειργασμέ-
νους κατὰ διαφόρους μάχας, τὴν Ῥωμαϊκὴν δύναμιν τρέποντες,
οἱ Ταρσεῖς ᾐχμαλώτισαν, καὶ τὴν πόλιν ἀποχρώσῃ στρατιᾷ κα-
τασφαλισάμενος, πρὸς τὴν βασιλεύουσαν ἵετο. παραλαβὼν δὲ
ταύτην, καὶ παρὰ τοῦ δήμου δεχθεὶς μεγαλοπρεπῶς, ἐν τῷ πε-
ρικύστῳ τε καὶ θείῳ σηκῷ τοὺς αἰχμαλωτισθέντας σταυροὺς D
ἀναθεὶς, ταῖς τῶν ἵππων ἁμίλλαις καὶ τοῖς λοιποῖς θεωρίοις ἧστο
τὸν δῆμον εὐφραίνων. φιλοθεάμονες γὰρ τῶν ἄλλων ἀνθρώπων
Βυζάντιοι.

ε'. Ἄρτι δὲ περὶ ταῦτα σχολάζοντι ἄγγελοι τῶν Μυσῶν, A. M. 6474
πρὸς αὐτὸν ἀφιγμένοι, τοὺς εἰθισμένους ἀπαιτεῖν ἔλεγον φόρους Ind. 9 A. C. 966
τὸν ἀρχηγὸν ἑαυτῶν, ἐφ' ᾧ καὶ αὐτοὺς πρὸς τὸν αὐτοκράτορα I. N. 3
στεῖλαι τὰ νῦν. ὁ δὲ θυμῶν παρὰ τὸ εἰωθὸς πληρωθεὶς (ἰσχυ- P. 38
ρογνώμων γάρ τις ἦν, καὶ μὴ εὐείκτως ὀργῇ ἁλισκόμενος), καὶ
ἀνοιδήσας ὑπὲρ τὸ μέτριον, γεγωνοτέρᾳ τε χρησάμενος, ἤπερ
εἴθιστο, τῇ φωνῇ, „δεινὰ Ῥωμαίοις," ἔφη, „περιέστηκε νῦν,
εἰ τοῖς ὅπλοις τὸ ἀντίξουν ἅπαν καταστρεφόμενοι, ἔθνει Σκυ-
θικῷ, πενιχρῷ τε τὴν ἄλλως καὶ μιαρῷ, δίκην ἀνδραπόδων φό-
ρους ἐκτίσουσι." Βάρδαν δὲ τὸν αὐτοῦ γενέτην ἐπιστραφεὶς (ἔτυχε
γὰρ συνεδριάζων αὐτῷ, Καῖσαρ ἀναδειχθεὶς); ἤρετο διαπορού-
μενος, „ὅ,τι βούλοιτο τοῖς Μυσοῖς ἡ τῶν φόρων, ἣν τῶν Ῥω-

5. ᾐχμαλώτησαν cod., sed infra D. αἰχμαλωτισθέντας. 10. γάρ. Deest hic μᾶλλον sive πρὸ, quod Leonem arbitror consulto omisisse, ut supra 28. A. 19. καταστρεφόμενοι. Oportebat καταστρεψάμενοι aut κατεστραμμένοι.

urbe occupata praedae partem, divitias innumerabiles comportatas, exercitui distribuit; receptisque crucium effigiebus, quas ex auro atque gemmis factas variis praeliis fuso Romano exercitu Tarsenses ceperant, ubi oppidum idoneo praesidio firmaverat, ad urbem imperatoriam est reversus. Quo cum pervenisset, a populo susceptus magnifice in nobili ac divino templo captas cruces deposuit: sedebatque ludis equestribus ac muneribus reliquis populum delectans. Spectaculorum enim avidi sunt praeter caeteros homines Constantinopolitani.

5. Quibus rebus cum esset occupatus, ecce advenerunt legati Moesorum dicentes, regem suum solita tributa poscere: huius rei causa illum se ad Imperatorem nunc misisse. Is vero stomachi praeter consuetudinem plenus (lentus enim erat alias, neque subitae iracundiae obnoxius), inflatus supra modum, contentiore quam qua uti solebat voce, „Aerumnae Romanos," inquit, „circumsistunt nunc, si, adversario quolibet armis subacto, genti Scythicae, eique inopi atque impurae, ritu mancipiorum tributum pensuri sunt." In Bardamque patrem conversus (forte enim assidebat is, Caesar renunciatus), percunctatus est velut ambigens, „quid sibi vellent Moesi hac

A. M. 6474 μαίων αἰτοῦσιν, εἴσπραξις; οἰκέτην ἄρά με γεγεννηκὼς λέληθας;
Ind. 9 καὶ ὁ τῶν Ῥωμαίων σεβάσμιος βασιλεὺς ἔθνει πενεστάτῳ καὶ μια-
B ρῷ φόρους τελῶν ὑποκείσομαι;" ῥαπίζειν οὖν κατὰ κόῤῥης θᾶτ-
τον τοὺς ἀγγέλους προσέταττε, καί, „ἄπιτε," ἔφη, „καὶ τῷ
σκυτοτρώκτῃ καὶ διφθερίᾳ ὑμῶν ἄρχοντι ἀπαγγείλατε, ὡς ὁ τῶν
Ῥωμαίων κράτιστος καὶ μέγιστος βασιλεὺς ἐξαυτῆς τὴν σὴν μετ-
ελεύσεται χώραν, ἐντελεῖς σοι τοὺς φόρους ἀποδιδούς· ὡς μά-
θῃς, τρίδουλος ὢν ἐκ προγόνων, δεσπότας τοὺς Ῥωμαίων ἡγε-
μόνας ἀνακηρύττειν, οὐχ ὡς ἀνδράποδα τούτους φόρους αἰτεῖν."
ταῦτα εἰπὼν τοὺς μὲν εἰς τὴν ἑαυτῶν χώραν ἀνατρέχειν ἐξέ-
Fol. 289 r. πεμπεν· αὐτὸς δὲ στρατιὰν ἀξιόμαχον συναγηοχώς, ἐχώρει κατὰ
C Μυσῶν· καὶ φρούρια μέν, ὅσα Ῥωμαίοις ὅμορα ἦν, εἷλεν ἐξ
ἐπιδρομῆς. τὴν δὲ χώραν περισκεψάμενος, καὶ ταύτης τὸ ἀμ-
φιλαφὲς καὶ κρημνῶδες ἰδὼν (ποιητικῶς γὰρ εἰπεῖν, τῇ τῶν Μυ-
σῶν χώρᾳ πάντῃ κακὸν κακῷ ἐστήρικται, καὶ τὴν ἀμφιλαφῆ καὶ
λοχμώδη χώραν σηραγγώδης καὶ κρημνώδης ἐκδέχεται, εἶτ' αὖ-
θις ἐκείνην τελματώδης τε καὶ σομφώδης· ὑδρηλὴ γὰρ ἐκτόπως
ἡ χώρα, καὶ λίαν ἀλσώδης, καὶ ὄρεσι δυσβάτοις ἑκασταχοῦ περι-
κλείεται, παρὰ τὸν Αἷμον καὶ τὴν Ῥοδόπην κατῳκισμένη καὶ
ποταμῶν τοῖς μεγίστοις περιῤῥεομένη)· ταύτην Νικηφόρος ὁ
D βασιλεὺς θεασάμενος, οὐκ ᾤετο δεῖν δύναμιν τὴν Ῥωμαϊκὴν ἀσύν-

1. γεγεννηκώς. Participium, quod non saepe occurrit, invenio quater apud S. Ioannem Chrysostomum: dativum τοῖς γεγεννηκόσιν Homil. XXVI. in prior. ad Cor. III. 415. 16. accusativum τοὺς γεγεννηκότας ibid. 408. 4. 415. 19 et Oratione in illud, *Saulus spirans* etc. VIII. 42. 14. item passim apud alios auctores minus bonos. Codex mendose γεγενηκῶς (sic) λέλυθας. 11. στρατίαν cod. 15. πάντῃ — ἐστήρικται. Iliad *Π*. 111. 16. συραγγώδης cod.

tributorum, quam Romanos poscunt, exactione? An vernam me genuisti inscientem? et Romanorum Imperator Augustus genti egentissimae ac spurcae tributarius obnoxiusque ero?" Tum alapis evestigio legatos caedi iussit, et, „Abite," inquit, „et pellivoro mastrucato regi vestro nunciatote, potentissimus maximus Imperator Romanorum iamiamque obibit tuam regionem, integrumque tibi tributum persolvet: ut discas, ter servule, a maioribus verna natus, dominos nuncupare Romanorum principes, neque illos ut mancipia tributum poscere." His dictis, eos ut in patriam recurrerent missos fecit: ipse iusto contracto exercitu adversus Moesos profectus est: castella Romanis finitima prima aggressione cepit. Regionem vero considerans, eamque saltuosam atque praecipitiis asperam videns (nam, ut poetice loquar, in Moesorum terra „malum malo gravius super ingruit usque:" saltuosum ac silvestrem locum cavernosus et abruptus excipit, et hunc rursus paluster ac madidus: aquosa plane regio, nemoribus densa, montibus inviis undique clauditur, ad Aemum atque Rhodopen sita, amnibusque maximis circumflua): hanc Nicephorus Imperator videns, committendum non putavit, ut co-

τακτον δι᾽ ἐπισφαλῶν χωρίων ἐξάγοντα, ὡσανεὶ βοσκήματα παρασκευάσαι κατακοπῆναι πρὸς τῶν Μυσῶν. λέγεται γάρ, πολλάκις πταῖσαι Ῥωμαίους ταῖς δυσχωρίαις Μυσίας, πανολεθρίᾳ περιπεσεῖν. A. C. 966 I. N. 8

ς΄. Ἔγνω οὖν, μὴ διὰ δυσεμβόλων καὶ περισφαλῶν χωρίων διακινδυνεύειν. ὅθεν ἀναλαβὼν τὴν στρατιὰν πρὸς τὸ Βυζάντιον ἤλαυνε, καὶ Καλοκύρην ἐκεῖνον τῷ τῶν πατρικίων τιμήσας ἀξιώματι, ἄνδρα ὁρμητίαν τὴν ἄλλως καὶ θερμουργόν, ἐς τοὺς Ταυροσκύθας ἐξέπεμψεν, οὓς ἡ κοινὴ διάλεκτος Ῥῶς εἴωθεν ὀνομάζειν, ἐφ᾽ ᾧ διανείμαντα τούτοις χρυσόν, ὃν αὐτῷ ἐνεχεί- P. 39
ρισεν, εἰς κεντηνάρια πεντεκαίδεκα συγκεφαλαιούμενον, ἐς τὴν χώραν καταγαγεῖν τῶν Μυσῶν, ταύτην αἱρήσοντας. ἀλλ᾽ ὁ μὲν Καλοκύρης ἐς τοὺς Ταυροσκύθας ἠπείγετο· αὐτὸς δὲ παρὰ τὸ θέατρον ἀναβάς, ἱππικὸν ἀγῶνα καθῆστο τελῶν. καὶ δῆτα τοῖς περὶ αὐτὸν στρατιώταις ἐκέλευε, καταβάντας ἐπὶ τὸ στάδιον καὶ εἰς ἀντιπάλους ἀποκριθέντας φάλαγγας σπασαμένους τὰ ξίφη, κατὰ παιδιὰν ἐπαλλήλοις χωρεῖν, καὶ ταύτῃ γυμνάσασθαι πρὸς τὸν πόλεμον. Βυζάντιοι δέ, πολεμικῶν ἔργων ἀγνῶτες τυγχάνοντες, τὴν τῶν ξιφῶν καταπλαγέντες αὐγήν, καὶ τὴν ὁμόσε τῶν στρατιωτῶν ὁρμὴν καὶ τὸν πάταγον ὑποδείσαντες, ἐκδειματω- B
θέντες δὲ τῷ καινῷ τοῦ θεάματος, εἰς φυγὴν ἐτράποντο καὶ πρὸς τὰς σφῶν οἰκίας ἀπέτρεχον. ἐκ δὲ τοῦ ὠθισμοῦ καὶ τῆς ἀτάκτου φορᾶς οὐκ ὀλίγος φόνος συμβέβηκε, πλείστων συμπατηθέντων καὶ ἀποπνιγέντων οἰκτρῶς. τοῦτο τὸ δρᾶμα μίσους ἀφορμή τις

17. Fort. ἐπ᾽ ἀλλήλοις. 23. φθορᾶς cod. 24. μίσος cod.

pias Romanas incomposito ordine per loca parum tuta ductas velut pecora Moesis concidendas praeberet. Aiunt enim haud semel offendisse Romanos in angustiis Moesiae, esseque ad internecionem trucidatos.

6. Constituit igitur, per aspera atque ancipitia loca minime subire periculum. Proinde revocato exercitu Constantinopolim revertit, et Calocyrem, patricia dignitate auctum, temerarium praeterea calentisque ingenii hominem, ad Tauroscythas, quos vulgaris lingua Russos nominare consuevit, misit, ut his aurum distribueret a se illi traditum, ad centenaria quindecim pondo, eosque in Moesorum fines perduceret, quos occuparent. Ita Calocyres quidem ad Tauroscythas profectus est: ipse in circum ascendens equestres ludos editurus consedit. Inter quae imperavit scholis, ut in arenam descendentes inque acies oppositas separatae, destrictis gladiis per ludum inter se concurrerent, ad bellumque ita exercerentur. Constantinopolitani vero, rei militaris ignari, gladiorum fulgore pertimefacti, simulque militum concursum strepitumque veriti, atque ob spectaculi novitatem formidine affecti, in fugam se coniecerunt, ad suosque quisque lares cursim perrexit. Ibi impulsu temere ruentium haud exigua strages facta est, conculcatis suffocatisque misere plurimis. Haec calamitas odii civitatis in

A. M. 6474 Ind. 9 A. C. 966 I. N. 3 Fol. 289 v. γέγονε Βυζαντίου πρὸς τὸν αὐτοκράτορα. ταύτῃ παρείπετο καὶ τὸ τοῦ συναίμου αὐτοῦ Λέοντος καὶ Κουροπαλάτου πλημμελές· ὅστις τὸν ἀνδρώδη καὶ στρατιωτικὸν αὐτοῦ βίον παρωσάμενος πρὸς τὸν ἀστικὸν καὶ φιλοκερδῆ μετετάξατο, ἥττων τε χρημάτων C καὶ λημμάτων γενόμενος, σιτοδείαν εἰργάσατο καὶ σπάνιν τῶν ἀναγκαίων ἀφιλάνθρωπον. ὀλίγου γὰρ τὸν σῖτον ὠνούμενος ἀπεδίδου πολλοῦ. καὶ ψιθυρισμὸς ἀνὰ τὸ ἄστυ ἐχώρει, καταβοώντων τῶν ἀστικῶν, εἰ τὰς τοῦ κοινοῦ συμφορὰς ἴδια κέρδη ποιήσειεν τῶν αὐταδέλφων ἡ ξυνωρὶς, ἐς τὴν κερδαίνουσαν συνωθοῦσα πήραν τὰ τῶν πολλῶν. καὶ γὰρ δὴ καὶ ὁ βασιλεὺς φόρους τοὺς μήπω ἐπινοηθέντας ἀπαραιτήτως ἐκαινοτόμει, ἐς τὸ στρατιωτικὸν λέγων χρημάτων ὅτι δεῖσθαι συχνῶν, καὶ τούτοις κατέτρυχε τὸ ὑπήκοον. λέγεται δὲ, εἴτε πρὸς τῶν τὰ μετέωρα περισκοπούντων τινὸς, εἴτε καὶ τῶν μονάδα βίον ἐπανῃρημένων καὶ ἄζυγα, διενωτισθῆναι τὸν D αὐτοκράτορα, ὡς παρὰ τὴν βασίλειον ἑστίαν ἐκπλήσει τὸν βίον, ἀναιρεθεὶς παρὰ τῶν ὁμοεθνῶν. περιδεὴς οὖν τῷ χρησμῷ γεγονὼς, περίβολον ἐκ τοῦ θατέρου μέρους τοῦ πρὸς θάλατταν ἐπικλινοῦς τῶν ἀνακτόρων τειχίζειν ἀρξάμενος, κατὰ θάτερον πρὸς θάλατταν συνεπέρανε, καὶ τεῖχος τὸ νῦν ὁρώμενον ὑψηλόν τε καὶ ὀχυρὸν ἐδομήσατο, καὶ τὴν βασίλειον ἑστίαν, ὡς ὑπετόπαζεν, ἠσφαλίσατο.

A. M. 6475 Ind. 10. A. C. 967 I. N. 4 P. 40 ζ΄. Πρόκενσον δὲ κατὰ τὴν τοῦ Σωτῆρος ἀνάληψιν κατὰ τὸ εἰθισμένον ἔξω τειχῶν ἐπὶ τὴν καλουμένην Πηγὴν ποιησαμένου τοῦ βασιλέως (νεὼς δὲ ταύτῃ περικαλλὴς τῇ Θεοτόκῳ δεδόμηται), διαμάχη τις μεταξὺ Βυζαντίων καὶ Ἀρμενίων συνέβαινεν, ὡς

Imperatorem origo exstitit. Accessit fratris eius Leonis Curopalatae iniquitas: qui virili militarique vitae genere relicto ad sedentarium et quaestuosum se transtulerat, hiansque avaritia atque cupiditate cum annonae angustias inferebat, tum rerum necessariarum immanem penuriam. Parvo enim emtum frumentum vendebat magno. Manabatque susurratio per civitatem, querelas spargente plebe, quasi geminum par fratrum, publicas calamitates quaestui habens, in eandem turgentem peram corrivaret bona multitudinis. Quinetiam Imperator tributa nunquam antehac excogitata inexorabili aviditate comminiscebatur, ad militares sumtus dictitans opus sibi esse pecuniam permagnam, tributisque illis vexabat subditos. Aiunt autem, sive astrologorum aliquo divinante, sive quodam monachorum caelibemque vitam profitentium, in Imperatoris aurem venisse, vitam illi in palatio explendam, a civibusque suis eum necatum iri. Qua praedictione timidus factus, munitionem ab altera parte palatii in mare vergente ad alteram item mare spectantem perduxit, muroque qui adhuc cernitur sublimi sane ac firmo exstructo imperatorium limen tutum, ut arbitrabatur, reddidit.

7. Ascensione autem Servatoris, cum Imperator pompam more solito extra muros ad Pegam, quam vocant, ageret (templum ibi mirae pulchritudinis Deiparae aedificatum est), pugna Constantinopolitanos inter et Ar-

πολλοὺς πρὸς τῶν Ἀρμενίων τρωθῆναι τῶν ἀστικῶν. ἄρτι δὲ A. M. 6475 πρὸς ἑσπέραν ἐπὶ τὰ ἀνάκτορα τοῦ βασιλέως ἐλαύνοντος, ὕβρεσι Ind. 10 A. C. 967 κὰκ τοῦ ἀναφανδὸν ἐχρῶντο Βυζάντιοι. καί τι γύναιον σὺν τῷ I. N. 4 θυγατρίῳ εἰς τοσαύτην ἀπόνοιαν ἤλασεν, ὡς τοῦ στέγους προκύψαι καὶ λίθους βαλεῖν κατὰ τοῦ ἄνακτος. ὃ καὶ τῇ ὑστεραίᾳ πρὸς τοῦ Πραίτωρος ληφθὲν δίκας μετὰ τοῦ θυγατρίου ἀπέτισεν, ἐπί τι προάστειον πυρὸς γεγονὸς ἀνάλωμα, Ἀναράτας καλούμενον. τότε δὴ καὶ αὐτὸς ἐπεχωρίαζον ὁ ταῦτα γράφοντι Βυζάντιος, ἐπὶ λόγων συλλογήν τε καὶ παίδευσιν, μειράκιον ὤν. ἔφιπ- B πόν τε τὸν αὐτοκράτορα Νικηφόρον βάδην ἰόντα βλέπων διὰ τοῦ ἄστεος, καὶ ἀπεριχτύπητον ταῖς τοσαύταις ὕβρεσι πέλοντα, καὶ τὸ φρόνημα σταθηρὸν διασώζοντα, καὶ ὡς μή τινος ἐπισυμβάντος καινοῦ διακείμενον, ἐτεθήπειν τὸ ἀκατάπληκτον τοῦ ἀνδρὸς, ὅπως ἄτρεστον παρὰ τὰ δεινὰ τὴν ψυχὴν συνετήρει εὐγένειαν. ἀλλὰ τὴν μὲν στάσιν ἡ νὺξ ἐπελθοῦσα διέλυσεν· ὁ δὲ βασιλεὺς καὶ ἄλλως μεγαλόφρων τε ὤν, καὶ μὴ εὔκολος εἴκειν ὀργῇ, τὰ τῇ προτεραίᾳ εἰς αὐτὸν πεπαρῳνημένα παρὰ τῶν ἀστικῶν ἔργον μᾶλλον μέθης ἢ φορᾶς ἀτάκτου λαοῦ λογισάμενος, τῇ λήθῃ πα- Fol. 290 r. ρέπεμψεν. αὖθις δὲ πυρφόρους τριήρεις ἀσφαλῶς ἑρματίσας, καὶ C μυριοφόρους ὁλκάδας στρατιωτῶν καὶ ὅπλων γεμίσας, ἐς Σικελίαν ἔστελλε, τοῦ μὲν ναυτικοῦ Νικήταν ἐν Πατρικίοις τελοῦντα,

7. Leg. Ὀνωράτας s. Ὀνωράτοις. Vid. Ducangium Constantinop. Christian. 184 D. 8. γράφοντι. Sic cod., sed fere non dubito quin legendum sit γράφων τῇ Βύζαντος, atque ita verti. 14. Leg. τὴν ψυχικὴν vel ψυχῆς. 16. εὐκόλος cod.

menios facta est, adeo ut urbani complures ab Armeniis consauciarentur. Iamque sub vesperum cum ad palatium Imperator rediret, convicia palam in eum iactavit urbana plebs. Quinetiam muliercula simul cum filiola ipsius eo amentiae processit, ut ex tecto prospiciens lapidibus appeteret principem. Quanquam illa quidem, postridie eius diei a praetore comprehensa, poenas una cum filiola luens in suburbio, Anarata nomine, igne cremata est. Tunc et ego commorabar, qui haec scribo, in urbe Byzantis, litterarum perdiscendarum eruditionisque studio, adolescentulus cum essem. Ita Imperatorem Nicephorum in equo gradatim per urbem euntem conspicatus, quod et imperturbatus tantis contumeliis esset, et mentem constantem retineret, perinde ac si nihil accidisset novi affectus, admirabar tranquillitatem viri, quemadmodum eius dignitas impavidum in rebus asperis animum conservabat. Caeterum seditionem nox superveniens discussit. Atque Imperator, ut semper fuerat magnanimus, neque facile se permittebat iracundiae, petulantiam, qua pridie in se invecta erat plebs urbana, quod ebrietati potius quam impetui temerario vulgi tribuendam putabat, oblivione insepelivit. Rursus vero igniferas triremes tuto saburratas, onerariasque praegrandes militibus armisque refertas, in Siciliam misit: classi Nicetam, pium et vene-

A. M. 6475 θεοφιλῆ καὶ σεβάσμιον ἄνθρωπον, εἰ καὶ τομίας ἐτύγχανε, προ-
Ind. 10 χειρισάμενος στρατηγόν· τῆς δὲ ἱππικῆς παρατάξεως Μανουὴλ, αὐτανέψιον αὐτοῦ, τῷ τῶν Πατρικίων καὶ αὐτὸν ἀξιώματι διαπρέποντα, ἄνδρα θερμουργὸν καὶ αὐθέκαστον, καὶ ἀπερισκέπτῳ φορᾷ εἴκοντα. ἐπεὶ δὲ περαιωσάμενοι τὸν Ἀδρίαν τῆς Σικελίας προσέσχον, τῶν πορθμείων ἀποβάντες εἰς φάλαγγα παρετάττοντο, καὶ τοσαύτης εὐετηρίας ἀπέλαυσαν παρὰ τὴν ἀρχὴν, ὡς
D αὐτοβοεὶ τὰς κλεινὰς καὶ περιπύστους Συρακούσας ἑλεῖν καὶ Ἱμέραν, καὶ προσέτι Ταυρομένειον καὶ Λεοντίνους ἀναιμωτὶ παραστήσασθαι. Ἀλλὰ γὰρ οὐκ ἔμελλεν ἡ βάσκανος τύχη διὰ τέλους πλησίστιος αὐτοῖς ἐπιπνεῖν, σφοδρὸν δὲ καὶ ἄγριον ἀντιπνεύσασα, ὑποβρύχια τὰ πράγματα τέθεικε. δηλώσει δὲ ταῦτα ὁ λόγος ἤδη σαφῶς.

η'. Σικελιῶται πρὸς τοσαύτην ῥοπὴν καὶ ἀνανταγώνιστα τῶν Ῥωμαίων φρονήματα οὐχ οἷοί τε ὄντες ἀντικαθίστασθαι, τὰς πό-
P. 41 λεις ἀπολιπόντες τὰς δυσχωρίας ὑπῄεσαν, καὶ ἐπὶ τόπων ἐπικαίρων ἠθροίζοντο. κρημνώδης γὰρ ὡς τὰ πολλὰ καὶ δενδρώδης ἡ νῆσος, ἱκανή τε τῷ βουλομένῳ φρουρὰν αὐτοσχέδιον ἐπιχορηγεῖν. ὁ τοίνυν Μανουὴλ, δέον αὐτῷ τὰς πόλεις παρειληφότα φρουρεῖν καὶ χώραν, ὅση εὔβοτος ἦν καὶ ἱππήλατος, ἀπείργειν τε τὰς φυγάδας χιλῶν καὶ τῶν ἄλλων βρωτῶν· οὕτω γὰρ τῷ λιμώττειν τρυχόμενοι δυεῖν θάτερον ἔπαθον ἂν, ἢ Ῥωμαίοις ἑαυτοὺς ἐνεχείρισαν, ἢ σπάνει τῶν ἀναγκαίων διαπεφωνήκεισαν· ὁ δὲ, ὁρμητίας τε ὢν, καὶ σφαδάζων θυμῷ καὶ νεότητι, τὸ δραστήριον δὲ
B καὶ ἐπήβολον οὐ πάνυ δεόντως προσκεκτημένος, ταῖς προ-

randum hominem, quamvis spadonem, ducem praeposuit; equestri militiae Manuelem, consobrinum suum, et ipsum patriciorum dignitate ornatum, virum calentis ingenii, rigidum, caeco impetu ferri consuetum. Hi postquam tramisso mari supero Siciliam attigerunt, exposito exercitu aciem instruxerunt, tanta felicitate usi a principio, ut primo quasi incursu nobiles ac praeclaras Syracusas Himeramque occuparent, praeterque ea Taurominium et Leontinos incruenti tenerent. Verum tantum aberat, ut infida fortuna in finem usque eis velificans aspiraret, ut valide infesteque reflans fluctibus res eorum obrueret. Id oratio iam dilucide demonstrabit.

8. Siculi cum tantae vi atque insuperabilibus Romanorum animis resistere non possent, relictis oppidis angustias montium subierunt, locis idoneis conglobati. Nam aspera plerumque arboribusque vestita est insula, atque praesidium tumultuarium iniicere volenti peropportuna. Manuel igitur, cum debuisset capta oppida atque regionem, quatenus pascua erat atque equitabilis, custodire, fugitivosque pabulo cibariisque reliquis prohibere: sic enim fame exhaustis duorum alterum necessario evenisset, ut vel se ipsos Romanis traderent, vel interirent necessariorum penuria: is vero, ut erat temerarius, animis et iuventute ferox, industria et intellectu

βάσαις ἤδη νίκαις ὑπὲρ τὸ εἰκὸς ἐπαρθεὶς, διὰ τῶν ἐπισφαλῶν A. C. 967 I. N. 4 ἐκείνων χώρων ἐπήει, τοὺς φυγάδας ἀνερευνώμενος. ἄρτι δὲ κατὰ τὴν δυσχωρίαν διαλυθείσης τῆς φάλαγγος, καὶ διὰ σκοπέλων καὶ χηραμῶν ἀσυντάκτως χωρούσης, προλοχίσαντες τοὺς ἄνδρας οἱ βάρβαροι, πατάγῳ καὶ ἀσήμοις φωναῖς τῶν λόχων διανίσταντο, καὶ αὐτοῖς αἰφνίδιον ἐπετίθεντο. οἱ δὲ τῷ ἀπροσδοκήτῳ καταπλαγέντες, καὶ μηδὲ τὸ ἡλιακὸν φῶς τῷ συνηρεφεῖ τῆς λόχμης ἰώμενοι καθορᾶν, εἰς φυγὴν ἀπέκλιναν· οἱ δὲ βάρβαροι ἐπιτεθέντες ἀνῄρουν τούτους ἀνηλεῶς, ὥς τινα θύματα· τηνικαῦτα δὲ κτείνειν τοὺς ἄνδρας ἀπείχοντο, ὅτε τούτοις ἥ τε δύναμις καὶ C ὁ θυμὸς ἀπηγόρευσεν. ἀνῃρέθη δὲ καὶ αὐτὸς ὁ Μανουήλ· ὅσοι δὲ τῶν Ῥωμαίων τὰ ξίφη διέφυγον, ζωγρίαι πρὸς τῶν Ἀγαρηνῶν ἡλίσκοντο. οἱ δὲ, ἐπεὶ τὸν πεζὸν στρατὸν παρεστήσαντο, ἐπὶ τὴν ἠϊόνα ταχυδρομήσαντες, ἵνα αἱ Ῥωμαϊκαὶ τριήρεις ὑφώρ- Fol. 290 v. μουν, ἐγκρατεῖς ἐξ ἐφόδου τῶν πλείστων ἐγένοντο· ἥλω δὲ καὶ ὁ Πατρίκιος Νικήτας, καὶ δορυάλωτος τῷ τῶν Ἄφρων κατάρχοντι παρεπέμπετο. ἐκ γοῦν τοσούτου τοῦ στρατοῦ ὀλίγοι τινὲς διαδράντες καὶ εὐαρίθμητοι, ὡς τὸν αὐτοκράτορα Νικηφόρον ἀφίκοντο· ὁ δὲ τὴν ἀπώλειαν διενωτισθεὶς τῆς τοιαύτης στρατιᾶς, ἠνιάθη μὲν καὶ τὴν ψυχὴν ἤλγησε τῷ τοσούτῳ πταίσματι καὶ ἀλλοκότῳ συμβάματι. ὑπολογιζόμενος δὲ τῶν ἀνθρωπίνων πρα- D γμάτων τὸ ἄστατον, γενναίως ἔφερε τὸ συμβὰν, ἰσχυρογνώμων τις ὢν, καὶ ἐν δυσκολίᾳ πραγμάτων διασώζειν εἰδὼς τὴν ψυχὴν

1. ἐπαρθείς. Vid. supra 36. B. ταῖς κατὰ Ῥωμαίων ἤδη προβάσαις νίκαις ἐπαιρόμενοι.

parum praeditus: superioribusque victoriis praeter modum elatus, per salebrosa loca illa successit, fugientes investigans. Iam vero in angustiis dissoluta phalange, ac per scopulos specusque incomposite transeunte, praestolantes illis insidiatores barbari, strepitu inconditisque vocibus e latebris consurgunt, ipsos derepente adoriuntur. Nostri, nec opinata re conturbati, cum vix solis lucem prae continuatione frondium videre possent, fugae se mandaverunt: quos barbari irruentes crudeliter conciderunt, victimarum ritu; neque prius occidere milites desierunt, nisi cum eos vires et ira deficerent. Ibidem ipse Manuel interfectus est: Romanorum quotquot gladii aciem effugerunt, vivi ab Agarenis capti sunt. Hostes, terrestribus copiis deletis, ad littus decucurrerunt, ubi Romanae triremes in ancoris stabant, quarum plerisque primo impetu potiti sunt. Captus quoque et Nicetas patricius, Afrorumque regi transmissus. Ita ex tanto exercitu pauci imminuto numero elapsi ad Nicephorum Imperatorem pervenerunt: qui tantarum copiarum interitu cognito contristatus quidem est animoque tam magnam calamitatem indoluit eventumque sic inauspicatum. Nihilominus reputans rerum humanarum instabilitatem, ut erat firmo animo praeditus, quem erectum difficilibus temporibus conservabat, fortiter casum tu-

ἀταπείνωτον. Αὖθις δὲ κατὰ τῶν τὴν Συρίαν οἰκούντων Ἀγαρηνῶν ἐξήρτυε τὸν στρατόν.

A. M. 6476 θʹ. Κατὰ δὲ τὸν αὐτὸν χρόνον, ἄρτι τῆς θερινῆς τροπῆς
Ind. 11 A. C. 967 μεταβαλλούσης ἐπὶ τὸ μετόπωρον, ἔσεισεν ὁ Θεὸς μέγα, ὡς καὶ
I. N. 5 οἰκίας καὶ ἄστη ἀνατραπῆναι. Κλαυδιούπολίν τε, τὸ εὐδαι-
P. 42 μονέστατον χωρίον τῶν Γαλατῶν, τότε συνέβη, κατεριπωθεῖσαν ἐκ τῆς ἀνυποστάτου κινήσεως καὶ ἐνόσεως, αἰφνίδιον τῶν οἰκητόρων τάφον γενέσθαι, καὶ πολλοὺς τῶν ἐπηλύδων παρατυχόντας ἐν ἀκαρεῖ διαφθαρῆναι. αἴτιον δὲ τῆς τοσαύτης ἐνόσεως καὶ κινήσεως ἀτμοὺς μὲν οἱ μαθηματικοὶ καὶ ἀναθυμιάσεις μυθολογοῦσί τινας, ἐναποκλειομένας τοῖς κόλποις τῆς γῆς, αὖθίς τε εἰς πνεῦμα καταιγίδος συνισταμένας, ἐπεὶ μὴ ἀθρόον συμβαίνει τὴν διαπνοὴν τούτων ἐκτρέχειν, διὰ τὴν τῶν πόρων στενότητα, συνειλεῖσθαί τε καὶ περιδινεῖσθαι, καὶ τὰ κοῖλα περιδονεῖν μετὰ σφοδρᾶς τῆς κινήσεως, καὶ τὸ ἐπιπροσθοῦν καὶ περιέ-
B χον ἅπαν σαλεύειν, ἕως ἂν ἐκ τοῦ τέως εἴργοντος διεκπνεύσωσι, καὶ πρὸς τὰ ἔξωθεν ἐξατμισθέντα εἰς τὸν ὁμογενῆ διασκεδασθεῖεν ἀέρα. ἀλλὰ ταῦτα μὲν ἡ τῶν Ἑλλήνων εἰκαιομυθία πρὸς τὸ ταύτῃ δοκοῦν ἐξηγήσατο. ἐγὼ δὲ τῷ θείῳ Δαβὶδ συνεπόμενος, ἐπισκοπῇ φαίην τοῦ Θεοῦ πρὸς ἡμᾶς τὸν τοσοῦτον κλόνον ἐγγίνεσθαι, ὅταν ἐπὶ τοῖς ἡμῶν ἐπαγρυπνήσῃ ἐπιτηδεύμασι, παρὰ τὸν θεῖον δρωμένοις θεσμόν, εἴ πως ἀλλὰ ταύτῃ δείσαντες ἄνθρωποι τῶν μὲν φαύλων ἔργων ἀφέξοιντο, ἀνθέξοιντο δὲ τῶν

13. κόνων cod. 22. εἴ πως ἀλλὰ est iam supra 11, B. 23. ἀνθέξοντο cod.

lit. Ita rursus adversus Agarenos Syriam habitantes adornavit exercitum.

9. Eadem tempestate, inter solstitium aestivale et autumnum, terraemotus exstitit magnus, adeo ut aedes quoque et oppida everterentur. Atque evenit, ut Claudiopolis, ditissimus locus Galatiae, tunc intolerabili motu et quassatione diruta, simul et repentina civium sepultura fieret, et multos advenarum ibi deprehensos oppremeret. Cuius tam magnae commotionis quassationisque causam esse vapores atque halitus quosdam fabulantur mathematici, in gremio terrae conclusos: hos posthac in spiritum procellosum coëuntes, ubi non omnem simul contigerit perflatum emittere, ob spiraminum angustias, ideo constipari, circumagi, loca cava vehementi incitatione commovere, superiecta et circumiecta quaeque quatefacere, donec ex claustris perrumpentes forasque exhalati in cognatum sibi aërem diffundantur. Verum haec Graecorum vaniloquentia ex probabilitate eiusmodi explicavit. Equidem Davidem, divinum virum, consecutus, respectu dixerim Dei ad nos talem concussionem existere, quando nostrae invigilat vitae, divinae legi adversanti, si forte tunc saltem territi homines, pravis

ἐπαινετῶν. ἀλλ' οὕτω μὲν ἡ Κλαυδιούπολις τῇ τοῦ σεισμοῦ βίᾳ A. M. 6476 ἐκ βάθρων ἀνετράπη τότε πᾶσα, καὶ συνεχύθη, τῆς ὀργῆς τοῦ Ind. 11 A. C. 967 Θεοῦ ἐκπιοῦσα τὸ ποτήριον ἄκρατον. παρὰ τοῦτον δὲ τὸν ἐνιαυ- I. N. 5 τὸν, θερείας ὥρας κατὰ τὸ μεσαίτατον, ἄρτι τοῦ ἡλίου τῷ καρ- C κίνῳ προσεπιβαίνοντος, ὄμβρος ἐν Βυζαντίῳ κατεῤῥάγη καὶ τοῖς προσομοροῦσιν αὐτῷ, οἷον οὐ συνέβη κατενεχθῆναι τὸ πρότερον. κλινούσης γὰρ τῆς ἡμέρας (παρασκευὴ δὲ ἦν) ἀρξάμενον Fol. 291 r. τὸ δεινὸν εἰς ἐννάτην ὥραν κατέληγεν· οὕτω δὲ ῥαγδαία τις ἡ ὑέτισις κατεφέρετο, ὡς μὴ σταγόνας ὁρᾷν ὀμβριζομένας κατὰ τὸ σύνηθες, ἀλλά τινας ἐπικλύζοντας ὕδασιν ὀχετούς. οὐχ ὑπελείφθη γοῦν τῶν σηκῶν ἢ τῶν περιπύστων οἴκων, ὅστις ἄνωθεν ἐκ τῆς ὀροφῆς οὐκ ἐπληροῦτο τοῦ ὕδατος, καίτοι τῶν κατοίκων μόχθῳ ἀπαντλούντων αὐτὸ πρὸς τὰ ἄμφοδα· τὸ μὲν ἀπέῤῥεε, τὸ D δ' ἐπέῤῥεε, καὶ ἀκαταγώνιστον ἦν τὸ δεινόν. ἐπὶ τριῶν οὖν ὡρῶν διαστήματι κατέσχεν ὁ ὑετὸς, καὶ ἦν ὁρᾷν ποταμοὺς πελαγίζοντας διὰ τῶν τῆς πόλεως στενωπῶν, καὶ τὸ παρασυρόμενον τῶν ἐμψύχων διαφθείροντας. οἱ δὲ ἄνθρωποι ἐλεεινῶς ἀπεθρήνουν οἰμώζοντες, κατακλυσμὸν αὖθις ἐπισκῆψαι κατ' ἐκεῖνον τὸν τεθρυλλημένον ὑποτοπάζοντες· ἀλλ' ἡ συμπαθὴς καὶ φιλάνθρωπος πρόνοια ἶριν διὰ τῆς νεφέλης ἐρείσασα, τῇ ταύτης ἀναλάμψει τὴν τοῦ ὑετοῦ κατήφειαν διεσκέδασε, καὶ αὖθις τὸ τῆς φύσεως σύγκριμα ἐπὶ τὴν προτέραν κατάστασιν ἐπανήγετο. συνέβη P. 43 δὲ καὶ αὖθις ὄμβρον καταῤῥαγῆναι τεθολωμένον καὶ σύμμικτον

12. ἐπληροῦτο cod. Auctor fortasse scripserat ἐξεπληροῦτο sive ἐκπληροῖτο.

actibus abstinentes, ad laudabiles sese conferant. Sed Claudiopolis hoc, quem diximus, modo vi terraemotus a fundamentis eversa tunc tota est, atque confusa, irae divinae epotans merum poculum. Eodem anno, aestate plane media, sole iam cancrum ineunte, imber fuit Constantinopoli locisque finitimis, qualem nunquam antea contigit defluxisse. Etenim vergente die (erat autem dies Veneris) incipiens malum sub horam nonam desiit: tamque vehemens incubuit pluvia, ut non guttas videres, ut fit, delabentes, sed quasi quasdam aquis repletas fistulas. Neque profecto ullum templum neque omnino nobilium aedium ulla relicta est, quin superne ex tecto aqua impleretur; tametsi hanc quidem habitatores operose in vias transfundebant: sed quantum effluxerat, tantum denuo affluebat, ut sine remedio esset malum. Ita trium horarum spatio obtinuit imber: conspiciebantur amnes aestuantes per vicos urbis, et quicquid animantium secum raptaverant extinguentes. Homines autem miserabiliter flebant lamentantes, quod diluvium iterum ingruere quale nobile illud fuerat verebantur: verum commiserans hominumque amans providentia, arcu per nubem expanso, illo refulgente imbris tristitiam dissipavit, rursusque naturae fabricam in pristinum statum reduxit. Tametsi posterius quoque accidit, ut iterum imber deflueret

ἀταπείνωτον. Αὖθις δὲ κατὰ τῶν τὴν Συρίαν οἰκούντων Ἀγαρηνῶν ἐξήρτυε τὸν στρατόν.

A. M. 6476 θ'. Κατὰ δὲ τὸν αὐτὸν χρόνον, ἄρτι τῆς θερινῆς τροπῆς
Ind. 11
A. C. 967 μεταβαλλούσης ἐπὶ τὸ μετόπωρον, ἔσεισεν ὁ Θεὸς μέγα, ὡς καὶ
I. N. 5 οἰκίας καὶ ἄστη ἀνατραπῆναι. Κλαυδιούπολίν τε, τὸ εὐδαι-
P. 42 μονέστατον χωρίον τῶν Γαλατῶν, τότε συνέβη, κατεριπωθεῖσαν ἐκ τῆς ἀνυποστάτου κινήσεως καὶ ἐνόσεως, αἰφνίδιον τῶν οἰκητόρων τάφον γενέσθαι, καὶ πολλοὺς τῶν ἐπηλύδων παρατυχόντας ἐν ἀκαρεῖ διαφθαρῆναι. αἴτιον δὲ τῆς τοσαύτης ἐνόσεως καὶ κινήσεως ἀτμοὺς μὲν οἱ μαθηματικοὶ καὶ ἀναθυμιάσεις μυθολογοῦσί τινας, ἐναποκλειομένας τοῖς κόλποις τῆς γῆς, αὖθίς τε εἰς πνεῦμα καταιγίδος συνισταμένας, ἐπεὶ μὴ ἀθρόον συμβαίνει τὴν διαπνοὴν τούτων ἐκτρέχειν, διὰ τὴν τῶν πόρων στενότητα, συνειλεῖσθαί τε καὶ περιδινεῖσθαι, καὶ τὰ κοῖλα περιδονεῖν μετὰ σφοδρᾶς τῆς κινήσεως, καὶ τὸ ἐπιπροσθοῦν καὶ περιέ-
B χον ἅπαν σαλεύειν, ἕως ἂν ἐκ τοῦ τέως εἴργοντος διεκπνεύσωσι, καὶ πρὸς τὰ ἔξωθεν ἐξατμισθέντα εἰς τὸν ὁμογενῆ διασκεδασθεῖεν ἀέρα. ἀλλὰ ταῦτα μὲν ἡ τῶν Ἑλλήνων εἰκαιομυθία πρὸς τὸ ταύτῃ δοκοῦν ἐξηγήσατο. ἐγὼ δὲ τῷ θείῳ Δαβὶδ συνεπόμενος, ἐπισκοπῇ φαίην τοῦ Θεοῦ πρὸς ἡμᾶς τὸν τοσοῦτον κλόνον ἐγγίνεσθαι, ὅταν ἐπὶ τοῖς ἡμῶν ἐπαγρυπνήσῃ ἐπιτηδεύμασι, παρὰ τὸν θεῖον δρωμένοις θεσμὸν, εἴ πως ἀλλὰ ταύτῃ δείσαντες ἄνθρωποι τῶν μὲν φαύλων ἔργων ἀφέξοιντο, ἀνθέξοιντο δὲ τῶν

13. κόνων cod. 22. εἴ πως ἀλλὰ est iam supra 11, B. 23. ἀνθέξοντο cod.

lit. Ita rursus adversus Agarenos Syriam habitantes adornavit exercitum.

9. Eadem tempestate, inter solstitium aestivale et autumnum, terraemotus exstitit magnus, adeo ut aedes quoque et oppida everterentur. Atque evenit, ut Claudiopolis, ditissimus locus Galatiae, tunc intolerabili motu et quassatione diruta, simul et repentina civium sepultura fieret, et multos advenarum ibi deprehensos opprimeret. Cuius tam magnae commotionis quassationisque causam esse vapores atque halitus quosdam fabulantur mathematici, in gremio terrae conclusos: hos posthac in spiritum procellosum coëuntes, ubi non omnem simul contigerit perflatum emittere, ob spiraminum angustias, ideo constipari, circumagi, loca cava vehementi incitatione commovere, superiecta et circumiecta quaeque quatefacere, donec ex claustris perrumpentes forasque exhalati in cognatum sibi aërem diffundantur. Verum haec Graecorum vaniloquentia ex probabilitate eiusmodi explicavit. Equidem Davidem, divinum virum, consecutus, respectu dixerim Dei ad nos talem concussionem existere, quando nostrae invigilat vitae, divinae legi adversanti, si forte tunc saltem territi homines, pravis

A. M. 6476 Ind. 11 A. C. 967 I. N. 5

ἐπαινετῶν. ἀλλ' οὕτω μὲν ἡ Κλαυδιούπολις τῇ τοῦ σεισμοῦ βίᾳ ἐκ βάθρων ἀνετράπη τότε πᾶσα, καὶ συνεχύθη, τῆς ὀργῆς τοῦ Θεοῦ ἐκπιοῦσα τὸ ποτήριον ἄκρατον. παρὰ τοῦτον δὲ τὸν ἐνιαυτόν, θερείας ὥρας κατὰ τὸ μεσαίτατον, ἄρτι τοῦ ἡλίου τῷ καρ- C κίνῳ προσεπιβαίνοντος, ὄμβρος ἐν Βυζαντίῳ κατεῤῥάγη καὶ τοῖς προσομοροῦσιν αὐτῷ, οἷον οὐ συνέβη κατενεχθῆναι τὸ πρότερον. κλινούσης γὰρ τῆς ἡμέρας (παρασκευὴ δὲ ἦν) ἀρξάμενον Fol. 291 r. τὸ δεινὸν εἰς ἐννάτην ὥραν κατέληγεν· οὕτω δὲ ῥαγδαία τις ἡ ὑέτισις κατεφέρετο, ὡς μὴ σταγόνας ὁρᾷν ὀμβριζομένας κατὰ τὸ σύνηθες, ἀλλά τινας ἐπικλύζοντας ὕδασιν ὀχετούς. οὐχ ὑπελείφθη γοῦν τῶν σηκῶν ἢ τῶν περιπύστων οἴκων, ὅστις ἄνωθεν ἐκ τῆς ὀροφῆς οὐκ ἐπληροῦτο τοῦ ὕδατος, καίτοι τῶν κατοίκων μόχθῳ ἀπαντλούντων αὐτὸ πρὸς τὰ ἄμφοδα· τὸ μὲν ἀπέῤῥεε, τὸ D δ' ἐπέῤῥεε, καὶ ἀκαταγώνιστον ἦν τὸ δεινόν. ἐπὶ τριῶν οὖν ὡρῶν διαστήματι κατέσχεν ὁ ὑετός, καὶ ἦν ὁρᾷν ποταμοὺς πελαγίζοντας διὰ τῶν τῆς πόλεως στενωπῶν, καὶ τὸ παρασυρόμενον τῶν ἐμψύχων διαφθείροντας. οἱ δὲ ἄνθρωποι ἐλεεινῶς ἀπεθρήνουν οἰμώζοντες, κατακλυσμὸν αὖθις ἐπισκῆψαι κατ' ἐκεῖνον τὸν τεθρυλλημένον ὑποτοπάζοντες· ἀλλ' ἡ συμπαθὴς καὶ φιλάνθρωπος πρόνοια ἶριν διὰ τῆς νεφέλης ἐρείσασα, τῇ ταύτης ἀναλάμψει τὴν τοῦ ὑετοῦ κατήφειαν διεσκέδασε, καὶ αὖθις τὸ τῆς φύσεως σύγκριμα ἐπὶ τὴν προτέραν κατάστασιν ἐπανήγετο. συνέβη P. 43 δὲ καὶ αὖθις ὄμβρον καταῤῥαγῆναι τεθολωμένον καὶ σύμμικτον

12. ἐπληροῦτο cod. Auctor fortasse scripserat ἐξεπληροῦτο sive ἐκπληροῖτο.

actibus abstinentes, ad laudabiles sese conferant. Sed Claudiopolis hoc, quem diximus, modo vi terraemotus a fundamentis eversa tunc tota est, atque confusa, irae divinae epotans merum poculum. Eodem anno, aestate plane media, sole iam cancrum ineunte, imber fuit Constantinopoli locisque finitimis, qualem nunquam antea contigit defluxisse. Etenim vergente die (erat autem dies Veneris) incipiens malum sub horam nonam desiit: tamque vehemens incubuit pluvia, ut non guttas videres, ut fit, delabentes, sed quasi quasdam aquis repletas fistulas. Neque profecto ullum templum neque omnino nobilium aedium ulla relicta est, quin superne ex tecto aqua impleretur; tametsi hanc quidem habitatores operose in vias transfundebant: sed quantum effluxerat, tantum denuo affluebat, ut sine remedio esset malum. Ita trium horarum spatio obtinuit imber: conspiciebantur amnes aestuantes per vicos urbis, et quicquid animantium secum raptaverant extinguentes. Homines autem miserabiliter flebant lamentantes, quod diluvium iterum ingruere quale nobile illud fuerat verebantur: verum commiserans hominumque amans providentia, arcu per nubem expanso, illo refulgente imbris tristitiam dissipavit, rursusque naturae fabricam in pristinum statum reduxit. Tametsi posterius quoque accidit, ut iterum imber deflueret

τέφρα, ὡς ἐπὶ καμιναίας αἰθάλης, καὶ χλιαρὰν δὲ παρεῖχε τοῖς ἐπαφωμένοις αὐτοῦ τὴν ποιότητα.

A. M. 6476 Ind. 11 A. C. 968 I. N. 5 ι'. Ὁ δὲ βασιλεὺς Νικηφόρος (αὖθις γὰρ ὁ λόγος ἐπάνεισιν, ἔνθεν τὸ ἴχνος ἀπέκλινε), τὴν Ῥωμαϊκὴν ἀνειληφὼς δύναμιν, ἐπὶ τὴν ἐπὶ Συρίας Ἀντιόχειαν ἔθει, καὶ χάρακα ταύτῃ πηξάμενος, ἐπείπερ ἀποχρώντως ἔχουσα τῶν ἀναγκαίων ἐτραχηλία, καὶ γαυρουμένη ἐκ τοῦ εὐθέος σπείσασθαι οὐκ ἠνείχετο, μὴ βουλόμενος B αὐτὴν ἑλεπόλεσι κατεριπῶσαι· ᾔδει γὰρ κατὰ μικρὸν τροπαίοις καὶ μηχαναῖς ταύτην παραστησόμενος, ὀλίγον αὐτῇ καιρὸν παρακαθισάμενος, καὶ ταῖς φάλαγξι καὶ τῷ κόσμῳ τῶν ὅπλων τοὺς ἔνδον καταπλήξας οὐχ ἥκιστα· ἐκεῖθεν ἀπάρας τὴν μεσογαίαν διῄει, ἣν καὶ Παλαιστίνην καλοῦσιν, εὐδαίμονα πᾶσαν καὶ ῥέουσαν μέλι καὶ γάλα, κατὰ τὴν θείαν γραφήν· ἐν δεξιᾷ δὲ τὴν Κιλικίαν εἶχε καὶ τὰ παράκτια. τὴν Ἔδεσσαν οὖν κατειληφώς, κἀν τῷ σηκῷ τῶν θείων Ὁμολογητῶν εἰσεληλυθὼς καὶ τὸ θεῖον ἐξευμενισάμενος, τὴν στρατιὰν διανέπαυεν. ἠκηκόει γάρ, τὴν ἐν κεράμῳ τοῦ Σωτῆρος καὶ Θεοῦ ἐκτυπωθεῖσαν μορφὴν ἐν τῷδε τῷ C φρουρίῳ παρακατέχεσθαι. ἐκτυπωθῆναι δέ φασι τοῦτον τὸν τρόπον. Θαδδαίου τοῦ ἀποστόλου Ἀβγάρῳ πρὸς τοῦ Σωτῆρος τῷ τῆς Ἐδέσσης ἀποσταλέντος τοπάρχῃ, ὡς αὐτὸν τῆς συνεχούσης παρέσεως διὰ τοῦ θεανδρικοῦ ἀπαλλάξειεν ἐκτυπώματος, ἐνταυθοῖ παροδεύοντος τὸν πέπλον, ᾧ τῆς αὐτοῦ μορφῆς τὸ εἶδος

19. Αὐγάρῳ cod. 22. παροδεύοντος τ. πέπλ. Soloecismum, quem a Leone admissum non dubito, tollere possis virgula posita post τὸν τρόπον et puncto post παροδεύοντος: cum *Thaddaeus — a Servatore missus — ibi praeteriret. Sudarium* etc.

turbidus favilla quasi ex fornacium fuligine mixtus, tepidamque declararet tangentibus suam naturam.

10. Nicephorus autem Imperator (iam enim oratio eo revertitur, unde vestigium inflexerat), Romanis assumtis copiis, ad Antiochiam in Syria magnis itineribus contendit; castrisque ad urbem positis, cum necessariis rebus abunde instructa superbiret, praeque arrogantia evestigio deditionem facere recusaret, ipse vero nollet eam machinis admotis diruere, sciens brevi se illam victoriis apparatuque bellico obtenturum, si modo exiguo temporis spatio obsideret, copiisque atque ordine exercitus oppidanos vehementius terruisset: inde motis castris regionem mediterraneam pervasit, quam item Palaestinam vocant, opimam totam, mel et lac fluentem, secundum sacram Scripturam: a dextra autem habuit Ciliciam, oramque maritimam. Ibi cum Edessam occupasset, atque, in templum divinorum Confessorum ingressus, numen prece placasset, exercitum refecit. Audiverat enim effigiem Servatoris ac Dei nostri, tegulae impressam, hoc in oppido asservari. Quam expressam esse aiunt hunc in modum. Thaddaeus, divinus duodecimvir, cum a Servatore ad Abgarum Edessae regulum esset missus, ut eum a diuturno languore per deohumanam impressam effigiem liberaret,

ἀῤῥήτως ὁ Χριστὸς ἀνετύπωσε, κεράμοις ἐν ἀποκειμένοις πρὸ A. M. 6476
τοῦ ἄστεος κατακρύψαι, ὡς ἐς τὴν ὑστεραίαν ἐναποληψομένους Ind. 11 A. C. 968
τοῦτον ἐκεῖθεν. συνέβαινε δὲ κατὰ πᾶσαν τὴν νύκτα φωτὶ τοὺς L. N. 5
κεράμους ἀμηχάνῳ καταλάμπεσθαι. πρωῒ δὲ τὸν μὲν Θαδδαῖον Fol. 291 v.
ἀνειληφότα τὸν πέπλον ὁδοῦ τῆς προκειμένης ἔχεσθαι· τὸν δὲ κέραμον, οὗπερ ἔτυχε προσψαύσας ὁ πέπλος, τὸν θεανδρικὸν τοῦ D
Σωτῆρος τύπον ἀκραιφνῶς ἐναπομάξασθαι. τοῦτον ἀνειληφότες οἱ βάρβαροι ἐν θαύματι καὶ σεβάσματι παρὰ τὸ φρούριον διεφύλαττον. τότε δὲ Νικηφόρος ὁ βασιλεὺς, ἐξελὼν τὸ ἄστυ, τὸν τοιοῦτον σεπτὸν κέραμον ἐκεῖθεν ἀνείληφε, καὶ χρυσῷ καὶ λίθοις θήκην διασκευάσας μετέπειτα, καὶ ταύτῃ περιστείλας τοῦτον σεπτῶς, ἐν τῷ τῆς Θεομήτορος ναῷ, τῷ κατὰ τὴν βασίλειον ὄντι ἑστίαν, ἀνέθηκεν. ἐπεὶ δὲ τὸ Μέμπετζε παρείληφε φρούριον, τὸν Λίβανον τὸ ὄρος ἐγκαρσίως ὑπερβὰς, τῇ Τριπόλει προσέσχεν, ἣν ἐχυρὰν καὶ δυσάλωτον τῶν ἄλλων πόλεων διαφερόντως ἰδὼν, P. 44
ἐπεὶ καὶ αἱ νῆες αὐτῷ ἀντιπνοίαις ἀνέμων ἐκκρουόμεναι καθυστέρησαν, ταύτην παραδραμὼν τὸ Ἄρκα φρούριον ἔγνω πολιορκεῖν, χρῆμα πλούτου κατέχον ἔνδον ἀμύθητον. ἐντεῦθεν τρισὶ χάραξι περιζώσας αὐτὸ, ἐπολιόρκει ἐῤῥωμενέστατα, καὶ ταῖς ἑλεπόλεσι τὰ τούτου πυργώματα καθελὼν, ἐφ' ὅλοις ἡλίοις ἐννέα ἐπόρθησέ τε, καὶ ἀμύθητον ἐκεῖθεν πλοῦτον συνεξεφόρησε· καὶ ἄλλα δὲ φρούρια πλεῖστα εἷλεν αὐτοβοεί.

1. Fort. ἐνετύπωσε. 2. ἐναποληφομένους. Sic cod. 14. Τρίπολι cod. mendose. Fort. Leo, ut est poëticarum formarum studiosus, scripserat Τριπόλι.

ibi praeteriens sudarium, cui Christus suae figurae imaginem ineffabili miraculo impresserat, in tegulis loco remoto iacentibus pro oppido fertur abdidisse, ea mente, ut postridie eius diei id inde reciperet. Accidit autem, ut per totam noctem fulgore incredibili tegulae collucerent. Mane Thaddaeum resumto sudario perrexisse tenere suam viam; tegulam, quam casu sudarium contigisset, deohumanam Servatoris effigiem incorrupte expressam retinuisse. Illam ipsam, sublatam, barbari cum admiratione atque cultu in castro asservaverant. Tunc vero Nicephorus Imperator capto oppido eandem venerandam tegulam inde abstulit, auroque atque gemmis capsam fabricatus posterius, tegulam ibi reverentia adhibita inclusit, inque Deiparae templo, quod in aedibus Palatinis est, consecravit. Ipse postquam Mempetze arcem in deditionem acceperat, Libanum montem transverso itinere transgressus ad Tripolim exercitum admovit: quam ubi munitam atque expugnatu praeter caetera oppida difficilem vidit, simul quod naves reflantibus ventis reiectae morabantur, eam cursu praetervectus Arca castrum oppugnare statuit, quod copiam divitiarum incredibilem continebat. Ita oppidum tribus castris circumdatum acerrime adortus, postquam machinis muros deiecerat, per novem totos dies vastavit, atque ineffabiles inde exportavit opes. Item alia castella plurima primo impetu cepit.

A. M. 6477 ια'. Ἐν ᾧ δὲ ταῦτα τῷ βασιλεῖ κατὰ τὴν Συρίαν ἐπράττετο,
Ind. 12 A. C. 968 ἔκλειψιν συνέβη περὶ χειμερινὰς τροπὰς τοῦ ἡλίου γενέσθαι, οἵαν
I. N. 6 μηδέπω συνέβη γενέσθαι τὸ πρότερον, πλὴν ἐκείνην τὴν ἐπὶ τοῦ
B δεσποτικοῦ πάθους προβᾶσαν διὰ τὴν τῶν Ἰουδαίων ἀπόνοιαν,
ἣν ἐπλημμέλησαν, σταυρῷ τὸν τῶν ὅλων δημιουργὸν προσηλώ-
σαντες. τὸ δὲ τῆς ἐκλείψεως εἶδος τοιοῦτον συνέβαινεν. εἰκάδα
δευτέραν ἤλαυνεν ὁ Δεκέμβριος, τετάρτῃ δὲ τῆς ἡμέρας ὥρᾳ,
σταθηρᾶς αἰθρίας οὔσης, σκότος ἐπέσχε τὴν γῆν, καὶ οἱ διαφα-
νεῖς τῶν ἀστέρων ἅπαντες κατεφαίνοντο. ἦν δὲ ὁρᾷν τὸν τοῦ
C ἡλίου δίσκον ἀλαμπῆ καὶ ἀφώτιστον, αἴγλην δέ τινα ἀμυδρὰν
καὶ ἰσχνήν, ταινίας δίκην λεπτῆς, κατὰ τὸ ἄκρον κυκλόθεν τὸν
δίσκον περιαυγάζουσαν. κατὰ μικρὸν δὲ τὴν σελήνην παραμείβων
ὁ ἥλιος (ὡρᾶτο γὰρ αὕτη κατὰ κάθετον αὐτὸν ἀντιφράττουσα)
τὰς ἰδίας ἀκτῖνας ἐξέπεμπε, καὶ φωτὸς αὖθις ἐπλήρου τὴν γῆν.
τῷ καινῷ οὖν καὶ ἀσυνήθει τοῦ ὁράματος ἐκδειματωθέντες οἱ
ἄνθρωποι, τὸ θεῖον ἱκετηρίαις, ὡς τὸ εἰκός, ἐξιλάσκοντο. τότε
καὶ αὐτὸς ἐγὼ τῷ Βυζαντίῳ ἐπεχωρίαζον, μετιὼν τὴν ἐγκύκλιον
παίδευσιν. ὁ δὲ βασιλεὺς (δεῖ γὰρ τὸν λόγον τοῦ εἱρμοῦ ἐκτρα-
πέντα ἐπ' αὐτὸν τοῦτον αὖθις ἐπαναγαγεῖν), ἐπεὶ τὰ τῶν ἐναν-
D τίων φρούρια εἷλεν ἀκονιτί, ἐπὶ τὴν Ἀντιόχου ἐπορεύετο παμ-
Fol. 292 r. πληθεί, καὶ πρὸ τῶν τειχῶν αὐτῆς πηξάμενος χάρακα, τοὺς
στρατηγοὺς καὶ λοχαγοὺς συναγηοχώς, ἐν περιωπῇ τε κατὰ τὸ
ὕπαιθρον στάς, ἔλεξε ταῦτα· „τὰ μὲν ἐπέκεινα ταύτης ἀνῳκι-

18. παίδευσιν. Vid. supra 40. A. B. 23. ταῦτα. Alius auctor dixisset τάδε.

11. Haec dum ab Imperatore in Syria geruntur, sub solstitio hiberno solis fuit defectio qualis nunquam antea accidit, praeter illam quae in passione dominica terris inducta est ob Iudaeorum dementiam, qua occaecati aedificatorem universi cruci affixerunt. Defectus specie tali erat. Vicesimus secundus dies agebatur mensis Decembris hora diei quarta, coelo sereno, cum tenebrae terrae offusae sunt, stellaeque lucidiores omnes se aperuerunt. Poterat videre unusquisque solis orbem sine splendore, lucis expertem, fulgoremque aliquem obscurum ac tenuem, fasciae angustae instar, extremis partibus per oram orbis circumlucentem. Paulatim vero sol praetergrediens lunam (apparebat enim haec ad perpendiculum illum obducens) pristinos radios emisit, luceque denuo complevit terram. Quo novo atque insolito spectaculo conturbati homines, numen, ut par erat, supplicibus votis placabant. Eadem tempestate ipse quoque Constantinopoli commorabar, operamque liberalibus disciplinis dabam. Imperator autem (oportet enim orationem e contextu egressam ad illum rursus reducî), adversariorum castellis nullo negotio captis, cum omnibus copiis Antiochiam profectus est, castrisque ad murum positis, tribunis centurionibusque convocatis, cum loco conspicuo sub divo constitisset, eiusmodi concionem habuit: „Remota

σμένα τῆς πόλεως φρούρια τῇ τῆς προνοίας ῥοπῇ καὶ τῇ σφῶν ἐμ- A. M. 6477
πειρίᾳ μετὰ τῆς προσούσης ἀνδρείας εἵλομεν, ὡς ἴστε, συστρα- Ind. 12 A. C. 968
τιῶται, παρὰ πᾶσαν ὑπόνοιαν. καὶ χάριν ὁμολογῶ πλείστην I. N. 6
ὑμῖν, ὅτι πρὸς ἐμὲ τὸν ὑμῶν ἀφορῶντες ἡγεμόνα, οὐκ ὠκλάσατε περί τε τῶν ἀηδῶν, ἃ πλεῖστα καὶ ἀπηχῆ ἐπιφέρειν οἶδεν ὁ πόλεμος, ἀλλ᾽ οὕτω μετὰ προθυμίας καὶ λελογισμένης ῥώμης διηγω- P. 45
νίσασθε, ὥστε μηδὲν, οἷς προβάλομεν τῶν φρουρίων, ὑπέρτερον γενέσθαι τῆς ὑμῶν ἀρετῆς, καὶ καταλειφθῆναι ἀνάλωτον. οἶδα δὲ καὶ τὸ πρὸς τὴν κατασκαφὴν ταυτησὶ τῆς πόλεως πρόθυμον ὑμῶν, ὅπως ὀργᾶτε καὶ σφαδάζετε ἡ στρατιὰ, ταύτην κατερειπώσειν καὶ δῃώσειν πυρί. ἀλλ᾽ οἶκτός μέ τις ὑπεισέρχεται ταύτης, εἰ τρίτη τῶν περὶ τὴν οἰκουμένην τελοῦσα πόλεων, τῷ τε κάλλει καὶ τῷ μεγέθει τῶν περιβόλων (ὁρᾶτε γὰρ εἰς ὅσον ὕψος ἐπανατείνονται οὗτοι), ἔτι δὲ πλήθει τοῦ δήμου καὶ τῶν οἰκιῶν ἀμηχάνοις κατασκευαῖς, ἐρείπιον κείσεται, καθά τι φρούριον πενιχρόν. τὸ δὲ τὴν Ῥωμαϊκὴν στρατιὰν κατὰ τὴν ταύτης κατατρί- B
βειν ἐκπόρθησιν, καὶ τὰ ὑμῖν ὑποποιηθέντα τῷ πολεμεῖν αὖθις διαφθείρειν τε καὶ ληλατεῖν, οὔ μοι νοῦν ἔχειν δοκεῖ. ἐγὼ γὰρ ἐκεῖνον μάλιστα φαίην κηδεμονικὸν στρατηγὸν, τὸν ταῖς ἐπεξελάσεσι καὶ διαμελλήσεσι τὴν τῶν ἐναντίων κακοῦντα χώραν καὶ διαφθείροντα· τὸν δέ γε τὴν οἰκείαν ταῖς τῆς στρατιᾶς ἐκδρομαῖς καὶ αὖθις κατὰ χώραν ἀναστροφαῖς παραπολλύοντα καὶ ἐκτρίβον-

7. Leg. προσεβάλομεν, vel certe aut προυβάλομεν aut προβάλλομεν. 11. δωήσιν (sic) cod.

ultra hanc urbem castella providentiae nutu usuque vestro in re militari, cum virtute coniuncto, expugnavimus, ut scitis, commilitones, praeter omnem opinionem. Quapropter gratiam me habere vobis plurimam confiteor, quod in me, ducem vestrum, intuentes ulli labori non succubuistis, quos plurimos molestosque imponere solet bellum, quodque potius tanta cum alacritate, consilio, fortitudine, rem gessistis, ut nullum cui nos admovimus castellum virtutem vestram superaverit, relictumque sit quin expugnaretur. Neque minus perspecta mihi est vestra exscindendae huius urbis cupiditas, quantopere expetatis optetisque vos, legiones, diruere illam incendioque vastare. Verum commiseratio me quaedam subit eius, si quidem urbs, quae tertium locum in orbe terrae obtinet, seu pulchritudinem atque magnitudinem moenium (videtis enim in quantam altitudinem ea surgunt), sive multitudinem populi aediumque infinitam supellectilem aspexeris, ruderibus obtecta iacebit, quasi castellum pauperculum. Neque magis exercitus Romani in ea evertenda commoratio, ut quae a nobis domita iam bello sint pessundentur iterum diripianturque, videtur mihi rationem habere. Etenim ego hunc potissimum dixerim diligentem ducem, qui irruptionibus, qui stativis adversariorum loca vexat atque perdit: sed si quis suos fines cum excursionibus tum domum reversionibus copiarum pessundat at-

A. M. 6477 Ind. 12 A. C. 968 I. N. 6

τα, τοῦτον ἀνόητον, μᾶλλον δὲ κακονούστατον ὀνομάζειν οὐκ ἂν ἀποκνήσαιμι· παρόμοιόν τι διεργαζόμενον τῶν τῇ παροιμίᾳ κωμῳδουμένων κυνῶν, οἳ τοὺς λύκους τῶν προβάτων ἀποσοβεῖν ἐπο- C φείλοντες, καὶ τὰ βοσκήματα φυλάττειν ἀνεπιβούλευτον, οἱ δέ, πρὸς τῷ μὴ ἀποσοβεῖν, μᾶλλον τῶν θηρίων αὐτοὶ διακόπτουσι καὶ διασπαράττουσιν. εἰ οὖν δοκεῖ καὶ πείθεσθέ μοι, ἐπείπερ ὁ λόφος ὀχυρώτατος οὑτοσὶ καταφαίνεται, καὶ κατάῤῥυτός ἐστιν ὕδασιν, ὡς ὁρᾶτε, τοῦτον δὴ τειχιστέον ἐξαυτῆς, καὶ ἴλην ἱππέων καὶ σπεῖραν πεζῶν ἐν αὐτῷ ἐατέον· ὥστε καθ' ἑκάστην ἐπεξελάσεσι καὶ καταδρομαῖς, καὶ τῶν ἐπιτηδείων διαρπαγαῖς τὴν Ἀντιόχου ταπεινώσωσι, καὶ εἰς ἀμηχανίαν δεινὴν κατακλείσαντες καὶ Fol. 292 v. ἄκουσαν ἀναγκάσωσι, Ῥωμαίοις γενέσθαι ὑπόσπονδον." εἶπεν ὁ βασιλεύς, καὶ λίθον ἐπωμισάμενος (ἦν γὰρ περὶ τὰ τοιαῦτα με- D τριοπαθής τε καὶ ταπεινός), ἄνεισι ἐπὶ τὸν λόφον, πάσῃ τῇ στρατιᾷ οὕτω ποιεῖν διακελευσάμενος. ἦν οὖν ἰδεῖν ἐν τρισὶν ἡμέραις ἄστυ ἀνῳκισμένον ἐπὶ τὸν λόφον, εὐερκές τε καὶ ὀχυρώτατον. φάλαγγα τοιγαροῦν πεντακοσίων ἱππέων, καὶ σπεῖραν χιλίων πεζῶν ἐν τῷ φρουρίῳ καταλιπών, καὶ ἀποχρῶσαν χιλὸν αὐτοῖς ἀποσιτισάμενος, ἐντειλάμενός τε ὁσημέραι ἐκδρομὰς κατὰ τῆς Ἀντιοχείας ποιεῖν, καὶ τὸ παρατυχὸν μαχαίρας ἔργον καὶ προνομῆς ἀπεργάζεσθαι, αὐτὸς ἐκεῖθεν ἀπάρας πρὸς τὴν βασιλεύουσαν ἐπανέζευξε, καὶ μεγαλοπρεπῶς πρὸς τῶν ἀστικῶν ὑποδεχθεὶς ἐκεῖσε διέτριβεν.

que conterit, hunc nulla vel potius mala mente praeditum dicere non reformido. Similiter enim facit ut canes in fabula notati, qui cum lupos ab ovibus repellere debeant, pecudesque ab insidiis tueri, praeterquam quod lupos non repellunt, ipsi magis quam hae belluae pecudes conscindunt atque dilaniant. Proinde, si vobis videtur mihique creditis, quandoquidem hic tumulus firmissimus videtur, irriguusque aquis est, illum evestigio communiamus, ala equitum et cohorte militum ibi relicta: ut quotidianis eruptionibus, decursionibus, alimentorum direptionibus, fractam Antiochiam, in angustiasque summas compulsam, vel invitam cogamus Romanorum se permittere ditioni." Hac oratione habita, Imperator, lapidem in humeros extollens (erat enim popularis in eiusmodi rebus ac modestus), ascendit in tumulum, toto exercitu idem facere iusso. Apparebat igitur trium dierum spatio castellum in tumulo exaedificatum, bene septum et munitissimum. Quo in castello postquam praesidium quingentorum equitum cohortemque mille militum cum cibariis idoneis reliquerat, iubens ut quotidie excursiones Antiochiam versus facerent, atque obvia quaevis caedibus rapinisque exinanirent, ipse inde castris motis ad urbem imperatoriam rediit, splendideque a civitate receptus ibi est commoratus.

# ΛΕΟΝΤΟΣ ΔΙΑΚΟΝΟΥ

## ΙΣΤΟΡΙΑΣ Ε.

# LEONIS DIACONI HISTORIAE

## LIBER V.

### ARGUMENTUM.

*Nicephorus captos in Sicilia Romanos a Saracenis exposcit. Calocyres imperium affectat (Cap. 1). A quo excitati Russi Bulgariam invadunt (2). Nicephorus legatos mittit ad Bulgaros (3). Antiochia vi expugnata (4). Imperator funesto vaticinio commotus. Bardas, Nicephori pater moritur. Theophano insidias struit adversus coniugem (5). Ioannes Tzimisces in urbem arcessitus. Coniuratio ad caedem Imperatoris perpetrandam (6). Nicephorus crudeliter occisus (7). Eius ingenium et indoles (8). Ioannes Tzimisces rerum potitur. Nicephori corpus in regio sepulcro conditur (9).*

α΄. Ἀλλ' οὕτω μέν, ᾗπέρ μοι ἤδη ἐῤῥήθη, ὁ αὐτοκράτωρ Νι- A. M. 6477
κηφόρος Συρίαν καὶ τὰ παράκτια ταύτης καταδραμών, καὶ τὸ Ind. 12 A. C. 969
ἀντίξουν ἅπαν ἐκποδὼν ποιησάμενος, καὶ λείαν Μυσῶν θέμενος, I. N. 6
καὶ πλεῖστα πτολίσματα καθελών, κἀν τοῖς ἐπικαιροτάτοις τῆς P. 46
μεγάλης Ἀντιοχείας φρούριον ἐρυμνὸν δομησάμενος ἐν τρισὶν ἡμέραις καὶ πολίσας, ἐς τὸ Βυζάντιον ἐπανέζευξεν. Ἐντεῦθεν παρὰ τὸν τῶν Καρχηδονίων ἀγὸν διεκηρυκεύετο, καὶ τὸ τοῦ ἐναγεστά-

7. τόν] τῶν cod.

1. Ita eo quo supra demonstratum est modo Nicephorus Imperator, Syriam oramque eius maritimam emensus, postquam obiecta omnia vel summoverat vel Mysorum praedam, ut aiunt, duxerat, plurimisque oppidis excisis in opportunissimis ad magnam Antiochiam locis castellum trium dierum spatio exaedificaverat atque instruxerat, Constantinopolim rediit. Inde ad Carthaginiensium praetorem oratores legans impurissimi atque impiissimi

A. M. 6477 Ind. 12 του καὶ ἀσεβεστάτου Μωάμεδ ξίφος δῶρον ἐξέπεμπεν, ὅπερ λάφυρον ἔκ τινος τῶν κατὰ Παλαιστίνην ἁλόντων φρουρίων ἀνείB ληφε, καὶ τὸν Πατρίκιον ἐξῄτει Νικήταν, ὃν συνέβη τὸ πρότερον ἐν τῷ περὶ Σικελίαν τῶν Ῥωμαίων πταίσματι δορυάλωτον ληφθέντα, τῷ τοιούτῳ τῶν Ἄφρων παραπεμφθῆναι κατάρχοντι, ὡς ὁ λόγος ἐδήλωσε. διὰ γραμμάτων οὖν ἐπέσκηπτεν, ὡς, εἰ ἐνδοιάσῃ πρὸς τὴν τοῦ Πατρικίου ἀπόδοσιν, καὶ οὐκ ἐξαυτῆς τοῦτον ἀνήσοι τε τῶν δεσμῶν, καὶ ὡς αὐτὸν παραπέμψῃ, πόλεμον ἀκήρυκτον ἥτω προσδοκῶν, καὶ πᾶσαν τὴν αὐτοῦ ἐπικράτειαν ἀνεκτριβῆναι, τοῖς Ῥωμαϊκοῖς δῃϊουμένην στρατεύμασι. ταῖς τοιαύταις οὖν ὁ Καρχηδόνιος ἐκδειματωθεὶς ἀγγελίαις, ὡς ἄλλαις τισὶ, κατὰ τὴν παροιμίαν, ἀπὸ Σκυθῶν ῥήσεσι, τόν τε C Πατρίκιον Νικήταν καὶ τοὺς σὺν αὐτῷ ληφθέντας δορυαλώτους, καὶ ὅσους Ῥωμαίων ἐκ διαφόρων χώρων ἐν εἱρκταῖς πεδήτας παρακατεῖχε, δῶρον τῷ βασιλεῖ Νικηφόρῳ ἐξέπεμπε· δέος γὰρ αὐτὸν ὑπεισῄει, ἐκστρατείαν καὶ ἔκπλουν τούτου ἐνωτισάμενον. τὸ γὰρ ἀκαταγώνιστον τοῦ ἀνδρὸς, κἂν ταῖς μάχαις ἀνυπόστατον καὶ ἀπρόσιτον, καὶ ὅπως εὐπετῶς τὸ ἀντίπαλον ἅπαν ὡς ἔκ τινος θείας ῥοπῆς εὐείκτως κατεστρέφετο, ἔφριττόν τε πάντα ἔθνη P. 47 καὶ ἐτεθήπεσαν, καὶ οὐ πολέμιον ἔχειν, ἀλλὰ φίλον καὶ δεσπόFol. 293 r. την ἠπείγοντο. οὕτω μὲν δὴ ὁ Πατρίκιος Νικήτας καὶ οἱ λοιποὶ τῶν Ῥωμαίων αἰχμάλωτοι τῶν δεσμῶν ῥυσθέντες καὶ τῆς εἱρκτῆς, πρὸς τὸ Βυζάντιον ἐπανῄεσαν. ὁ δὲ βασιλεὺς Νικηφόρος ἥσθη

8. ἀνήσοι. Sic cod. Fort. ἀνῇ. 9. ἥτω. Sic cod. imperative: verti ac si esset ἤτο. 12. ἀπὸ Σκυθῶν ῥήσεσι. Vid. supra 28. A.

Moamethis gladium misit, quem pro manubiis ex aliquo captorum in Palaestina castellorum abstulerat. Simul Nicetam patricium repetit, cui prius contigerat, ut in Siciliensi Romanorum clade captivus factus huic Afrorum principi transmitteretur, sicut narratio significavit nostra. Litteris autem denunciat, si cunctaretur patricium restituere, neque evestigio illum vinculis solutum ad se mitteret, ut bellum infinitum exspectaret, finesque ipsius omnes, a Romanis exercitibus direptos, vastatum iri. Quibus nunciis Carthaginiensis exterritus, quasi quibusdam Scythicis iussionibus, ut in proverbio est, tum Nicetam patricium, tum qui una cum illo captivi facti fuerant, et omnino Romanos quoscunque diversis locis in custodia vinctos asservabat, Nicephoro Imperatori dono misit. Formido enim illum incesserat, de terrestri navalique apparatu nostro audientem. Quippe invictam Imperatoris vim, intolerabile in praeliis atque inaccessum robur, quemadmodum nullo negotio adversarios quoslibet quasi divino quodam impulsu promte subigeret, verebantur omnes nationes atque obstupescebant, neque hostem habere illum, verum amicum ac dominum properabant. In hunc modum Nicetas patricius caeterique captivi Romani e vinculis eque custodia Constantinopolim reverterunt. Nicephorus autem Imperator, laetatus, ut par

τε, ὡς τὸ εἰκὸς, καὶ ἡμέραν ἦγεν ἑόρτιον, καὶ τὰς εὐχαριστηρίους τῷ Θεῷ ἐπὶ τῇ τῶν ὁμοφύλων ἀπολυτρώσει ἀπεδίδου εὐχάς. A. C. 969 I. N. 6 ἐν ᾧ δὲ ταῦτα κατά τε τὴν Συρίαν καὶ τὸ Βυζάντιον τῷ βασιλεῖ διεπράττετο, ὁ πρὸς τοὺς Ταυροσκύθας σταλεὶς βασιλικῷ νεύματι Καλοκύρης ὁ Πατρίκιος, κατὰ τὴν Σκυθίαν γενόμενος, καὶ τῷ τῶν Ταύρων κατάρχοντι φιλιωθεὶς, δώροις τε τοῦτον διαφθείρας B καὶ λόγοις καταγοητεύσας ἐπαγωγοῖς (φιλοκερδὲς δὲ ἅπαν ἐκτόπως τὸ Σκυθικὸν, καὶ λίχνον ὅτι μάλιστα, καὶ ἐπιῤῥεπὲς πρὸς λημμάτων ὑπόσχεσιν καὶ ἀνάληψιν) ἐνέπεισε στρατιὰν συναγηοχότα βαρεῖαν, ἐλαύνειν κατὰ Μυσῶν· τούτους δὲ καταγωνισάμενον ὑποποιήσασθαι μὲν τὴν χώραν καὶ ταύτην παρακατέχειν εἰς ἴδιον ἐνδιαίτημα· αὐτῷ δὲ κατὰ Ῥωμαίων συνάρασθαι, ὅπως κατάσχοι τὴν βασιλείαν, καὶ τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἐπιτεύξοιτο. μεγάλας δὲ καὶ ἀνεκδιηγήτους τὰς ὠφελείας αὐτῷ πράξειν καθυπισχνεῖτο, ἐκ τῶν βασιλικῶν ταμείων συνεκφορήσαντα.

β'. Τούτων τῶν λόγων ὁ Σφενδοσλάβος ἀκουτισθεὶς (τοῦτο C γὰρ πρὸς τῶν Ταύρων κατωνομάζετο) οὐχ οἷός τε ἦν ἐπισχεῖν τὴν ὁρμήν· ἀλλὰ, μετέωρος ταῖς ἐλπίσι τοῦ πλούτου γενόμενος, ὀνειροπολῶν τε τὴν τῆς χώρας κατάσχεσιν τῶν Μυσῶν, καὶ ἄλλως δὲ θερμουργός τε ὢν καὶ θρασὺς, ἀλκιμός τε καὶ ῥέκτης ἀνὴρ, πᾶσαν ἡβηδὸν ἡλικίαν τῶν Ταύρων πρὸς τὴν ἐκστρατείαν κατήπειγεν. ἑξήκοντα τοιγαροῦν χιλιαδῶν ἀκμαίων ἀνδρῶν στρατιὰν συναγείρας, ἐκτὸς τοῦ θητικοῦ, ἅμα τῷ Πατρικίῳ Καλο-

22. χιλιαδῶν. Sic cod.

erat, diem egit festum, gratasque Deo ob popularium liberationem persolvit preces. Haec dum in Syria atque in urbe ab Imperatore geruntur, Calocyres patricius, qui augusto nutu ad Tauroscythas missus fuerat, cum in Scythiam pervenisset, Taurorum Regi amicitia iunctus muneribus eum corrupit, verbisque blandis fascinato (lucri enim cupida est extra modum universa Scytharum natio, avidaque in primis, ac proclivis, sive promittas quaestum, sive suppedites) auctor fuit, ut gravi coacto exercitu contra Moesos proficisceretur: quibus debellatis ut regionem suae potestatis faceret, eaque pro domicilio ipse uteretur, sibi vero adversus Romanos opem ferret, ut imperio potiretur, Romanorumque principatum obtineret. Id si praestaret, magna et quae nec verbis exprimi possint emolumenta pollicetur se in illum ex sacro aerario collaturum.

2. Hanc orationem ubi Sphendoslabus audivit (sic enim a Tauris nominabatur), animi impetum cohibere non potuit: sed, divitiarum spe suspensus, agri Moesici possessionem somnians, cum alioquin ferventis animi esset et audax, fortis item et industrius vir, Taurorum pubem omnem ad eam expeditionem excitavit. Sexaginta igitur millium vigentium virorum conducto exercitu, extra impedimenta, una cum Calocyro patricio, quem

A. M. 6477 κόρῃ, ὃν καὶ ὅμαιμονα προσήκατο φιλίας θεσμοῖς, ἐχώρει κατὰ
Ind. 12 Μυσῶν. ἄρτι δὲ παραπλέοντος τὸν Ἴστρον, καὶ πρὸς τὴν ἐπὶ
D τῆς ἠπείρου ἀπόβασιν ἐπειγομένου, αἰσθόμενοι τὸ δρώμενον οἱ
Μυσοί, εἰς τρισμυρίων ἀνδρῶν συναγομένην φάλαγγα συνασπί-
σαντες ὑπηντίαζον. ἀλλ' ἐῤῥωμενέστατα τῶν πορθμείων ἀπο-
βάντες οἱ Ταῦροι, τά τε σάκη προβαλόντες, καὶ τὰ ξίφη σπα-
σάμενοι, ἐπιστροφάδην ἔπληττον τοὺς Μυσούς. οἱ δέ, μηδὲ
τὴν πρώτην ῥοπὴν ἐνεγκόντες, εἰς φυγαδείαν ἐτράποντο καὶ πρὸς
τὸ Δορύστολον (ἐχυρὸν δὲ φρούριον τοῦτο Μυσῶν) ἀγεννῶς συν-
P. 48 εκλείοντο. τηνικαῦτα δὴ λέγεται καὶ Πέτρον, τὸν ἡγήτορα τῶν
Μυσῶν, ἄνδρα θεοφιλῆ καὶ σεβάσμιον, τῷ ἀπροσδοκήτῳ τῆς
τροπῆς περιαλγήσαντα, ἐπιληψίας πάθος περιπεσεῖν, καὶ ὀλίγον
ἐπιβιώσαντα, τῶν τῇδε ὑπαπελθεῖν. ἀλλὰ ταῦτα μὲν κατὰ τὴν
Fol. 293 v. Μυσίαν ἐπράττετο ὕστερον· ὁ δὲ τῶν Ῥωμαίων αὐτοκράτωρ Νι-
κηφόρος, τὰ περὶ τῶν Ταύρων διαγνούς, καὶ ἄλλως δὲ παρὰ
πᾶσαν αὐτοῦ τὴν βιοτὴν μεμεριμνημένος τις ὤν, καὶ ἐγρηγορώς,
καὶ μὴ νευστάζων, μηδέ τισιν ἡδοναῖς ὅλως δουλούμενος (οὐδὲ
γάρ ἔχοι τις λέγειν, ὡς ἴδοι τοῦτον κωμάσαντα κἂν ἐν νεότητι),
τότε παντοδαπός τις ἦν, καὶ τὴν πεζικὴν στρατιὰν ἐξήρτυε, καὶ
B τοὺς λόχους καθώπλιζε, καὶ τὴν ἱππικὴν φάλαγγα ἐς βάθος διέ-
ταττε, καὶ πανσιδήρους ἱππότας ἀπέφαινε. τάς τε μηχανὰς τὰς
ἑφετηρίους τεκταινόμενος ἐπὶ τῶν τῆς πόλεως πυργωμάτων κα-
θίδρυε, καὶ σειρὰν βαρυτάλαντον ἐκ σιδήρου πεποιημένην ἐπὶ

9. Δορύστυλον cod. 12. πάθος. Melius πάθει, nam περιπίπτω cum accusativo soloecismum arbitror. 22. Leg. ἀφετηρίους.

fratrem quoque amicitiae vinculis sibi adiunxerat, adversus Moesos movit. Ita cum iam ad Istrum appelleret, in terramque exscensionem pararet, re cognita Moesi exercitu ad triginta millia hominum confecto obviam venerunt. At animosissime e naviculis exscendentes Tauri, proiectis scutis gladiisque districtis, strenue ceciderunt Moesos. Hi, ne primam quidem impressionem ferentes, in fugam versi Dorystolum (munitum id oppidum Moesorum) flagitiose conclusi sunt. Quo eodem tempore Petrum dicunt, ducem Moesorum, virum religiosum atque venerabilem, nec opinata fuga gravius commotum, in morbum comitialem incidisse, cumque paulisper superfuisset ex hac vita migrasse. Verum haec in Moesia posterius acciderunt: Nicephorus autem Romanorum Imperator, ubi illa de Tauris intellexit, ut fuerat alioquin tota sua vita laboriosus, erectus, somno minime connivens, neque voluptatibus omnino serviens (neque enim quisquam potest dicere, se eum vel in adolescentia comessantem vidisse), tunc plurimis negotiis simul se dedit: pedestres copias instruebat armabat manipulos, equestrem aciem in altitudinem disponebat, cataphractis obtegebat equites. Item machinas missiles fabricatus per urbis propugnacula collocat, catenamque ponderosissimam e ferro factam ad turrim alligans, quam Centena-

τὸν πύργον ἐνδησάμενος, ὃν Κεντηνάριον κικλήσκειν εἰώθασιν, A. C. 969
ἐπὶ φιτρῶν τε μεγίστων ἐφαρμοσάμενος, κατὰ τὸν Βόσπορον I. N. 6
ἔτεινε, καὶ πρὸς τὸ τοῦ καταντιπέρας Καστελλίου πύργωμα ἀνῆψε.
δραστήριος δὲ ὤν, καὶ βαθυγνώμων, εἰ καί τις ἄλλος, ὧν ἴσμεν,
ἀνήρ, ἀξύμφορον εἶναί οἱ διελογίζετο, εἰ πρὸς ἀμφότερα τὰ
ἔθνη τὴν διαμάχην ἄροιτο. ξυνοῖσον οὖν ἐδόκει εἶναι αὐτῷ, εἰ
τὸ ἓν ὑποποιήσῃ τῶν ἐθνῶν. οὕτω γὰρ ἐδόκει ῥᾷστα περιέσε- C
σθαι τοῦ ἑνός, καὶ αὐτὸ θᾶττον καταγωνίσασθαι.

γ΄. Ἐντεῦθεν, ἐπεὶ τὸ παρὰ τῶν Ταύρων ἀπεγνώκει δια-
κηρυκεύεσθαι (ᾔδει γὰρ τὸν Πατρίκιον Καλοκύρην ἅπαξ τῆς εὐ-
θείας ἐκκλίναντα καὶ τῆς τούτου κυρίας ἀφηνιάσαντα, καὶ μέγα
παρὰ τῷ Σφενδοσλάβῳ δυνηθέντα, μὴ εὐείκτως τῷ τούτου θε-
λήματι σπείσασθαι), πρὸς τοὺς ὁμοθρήσκους Μυσοὺς ἐβουλεύσα-
το μᾶλλον πρεσβείαν στείλασθαι. καὶ δῆτα πρέσβεις ὡς αὐτοὺς
ἔστελλε, τόν τε Πατρίκιον Νικηφόρον, ᾧ τὸ ἐπώνυμον Ἐρωτι-
κός, καὶ Φιλόθεον, τὸν τῶν Εὐχαΐτων πρόεδρον, καὶ τῆς τε D
θρησκείας αὐτοὺς ὑπεμίμνησκε (τὰ Χριστιανῶν γὰρ ἀναντιῤῥή-
τως πρεσβεύουσιν οἱ Μυσοί), καὶ παρθένους τοῦ βασιλικοῦ γέ-
νους ἐξῄτει, ὡς συνάψῃ ταύτας τοῖς τοῦ αὐτοκράτορος Ῥωμανοῦ
παισί, καὶ ἀδιάῤῥηκτος ἐκ τοῦ κήδους ἥ τε πρὸς Ῥωμαίους καὶ
τοὺς Μυσοὺς καταλλαγὴ καὶ φιλία ἐμπεδωθῇ. οἱ δὲ Μυσοὶ
ἅσμενοι τὴν πρεσβείαν ἐδέχοντο, καὶ κόρας ἐξ αἵματος τοῦ βασι-

3. καταστελλίου cod. Sed est Castellum Galaticum: vid. Constantinop. Christian. 9. C., quod Theophanes Chronograph. 331. C. καστέλλιον τῶν Γαλάτων (sic) vocat. 4. εἰ καί τις] ἱκέτις cod. 9. ἐπεγνώκει cod. 12. εὐήκτως cod. 20. ἥ τε] εἴτε cod.

rium vocare solent, in palos praegrandes impositam per Bosporum tetendit, adque propugnaculum Castelli, quod e regione est, applicuit. Tamen nihilominus, ut erat impiger et in consiliis peracutus, si quis alius, de quibus accepimus, mortalium, haud ex re sua existimavit, si adversus utramque nationem bellum susciperet. Commodum ergo illi visum est, earum nationum alteram sibi conciliare. Sic enim existimabat, se parvo negotio superiorem fore contra alteram, eamque se brevi debellaturum.

3. Hinc, quandoquidem de compositione cum Tauris desperabat (sciebat enim patricium Calocyrem, qui a recta via semel declinasset, ipsiusque dominatum excussisset, cum multum apud Sphendoslabum posset, non facile ipsius voluntati morem gesturum), ad Moesos potius, iisdem atque ipse religionibus deditos, legare constituit. Proinde oratores ad illos misit, Nicephorum patricium, cognomento Eroticum, et Philotheum, Euchaitarum antistitem, communisque persuasionis eos commonefecit (Christianorum enim fidem citra controversiam colunt Moesi), virginesque generis regii ab iis poposcit, quas Romani Augusti filiis collocaret, ut ex affinitate inviolabilis inter Romanos ac Moesos conciliatio atque amicitia firmaretur. Moesi hilare legatione accepta puellas ex sanguine regio plaustris imposi-

A. M. 6477 λικοῦ ἐπὶ ἁμαξῶν ἀναβιβάσαντες (εἰθισμένον δὲ γυναιξὶ Μυσῶν,
Ind. 12 ἐφ' ἁμαξῶν ὀχεῖσθαι), τῷ αὐτοκράτορι Νικηφόρῳ ἐξέπεμπον,
ἀπαμῦναι σφίσιν ὅτι τάχιστα ποτνιώμενοι, καὶ τὸν τοῖς αὐχέσιν
P. 49 αὐτῶν ἐπικείμενον πέλεκυν τῶν Ταύρων ἀποτρέψαι καὶ κενὸν
ἀπεργάσασθαι. καὶ κἂν ἐπήμυνε τούτοις, καὶ τρόπαια κατὰ τῶν
Ταύρων ἐστήσατο, ἐπεὶ καὶ κατὰ πάντων, πρὸς οὓς ἂν τὴν Ῥω-
Fol. 294 r. μαϊκὴν ἀντεπήνεγκε δύναμιν. ἀλλ' ἀπὸ μικρᾶς ῥοπῆς αἰωρούμε-
να τὰ ἀνθρώπινα, καὶ ὡς ἔκ τινος εἰπεῖν λεπτῆς κρόκης ἐκκρε-
μαννύμενα, καὶ εἰς τὸ ἐναντίον εἴωθε περιχωρεῖν. ἀνεπισφαλῶς
γάρ τινες οἴονται νέμεσίν τινα θείαν καὶ φθόνον ἀνθρώπινον τοῖς
ἐπισήμοις καὶ ἀλκιμωτάτοις ἀνδράσι προσίστασθαι, σφάλλοντα
τούτους, καὶ περιτρέποντα, καὶ εἰς τὸ μηδὲν συνελαύνοντα.
B οἷα δὴ καὶ τότε τῷ αὐτοκράτορι Νικηφόρῳ, κατὰ ῥοῦν αὐτῷ
φερομένων τῶν πραγμάτων, καὶ ὡς οὐκ ἄλλῳ τῶν πρὸ αὐτοῦ
ἡγεμονευσάντων, συμβέβηκεν. ἐγὼ δὲ τοῦτό φημι, ὅτι ἀμη-
χάνῳ τοῦ κρείττονος προμηθείᾳ ἤδη τοῖς ἀνθρώποις εὐροοῦντα τὰ
πράγματα εἰς τοὐναντίον ἀντιπεριΐσταται, ὡς ταύτῃ παιδευθεῖεν
θνητοὶ ὄντες καὶ πρόσκαιροι, καὶ μὴ περαιτέρω φυσῷεν τοῦ
προσήκοντος. ἤδη γάρ τινες εὐπραγίαις ἐπιβάντες καὶ κατὰ τὰς
μάχας εὐδοκιμήσαντες, θεοὺς ἀνειπεῖν αὐτοὺς οὐκ ἐνάρκησαν,
εἰς αὐτὴν τὴν πρόνοιαν ἐξυβρίσαντες. παράδειγμα τούτων οἱ
τοῦ Ἀλωέως παῖδες Ὦτος καὶ Ἐφιάλτης, εἰς οὐρανοὺς κατὰ
C τὸν μῦθον πειρώμενοι ἀνελθεῖν, καὶ Ναβουχοδονόσορ ὁ Βαβυ-

5. ἐπίμυναι cod. 8. λεπτῆς] λευτῆς cod. 13. αὐτῶν cod. 14. φαιρομένων cod. Deinde post ἡγεμονευσάντων videtur deesse verbum. 20. ἂν εἰπεῖν cod.

tas (consueverunt autem mulieres Moesorum plaustris vehi) Nicephoro Imperatori miserunt: orant, quamprimum sibi subveniret, securim Taurorum, suis cervicibus impendentem, averteret, irritamque redderet. Ac profecto si opitulatus esset illis, item tropaea de Tauris constituisset, ut de omnibus, quibus Romana signa intulerat. Verum enimvero parvo momento suspensae res humanae, tenuique filo, ut ita dicam, sublatae, in contrariam quoque partem solent inclinari. Recte enim nonnulli opinantur, sicut malevolentiam quandam numinis, item invidiam hominum clarissimis potentissimisque viris adversari, eosque decipere, evertere, ad nihilum redigere. Quod idem tunc quoque Nicephoro Imperatori, cum secundo cursu illi omnia fluerent, magis quam ulli eorum qui ante principatum obtinuerint, accidit. Ego vero illud dico, singulari numinis providentia hominum secundas res in contrarium verti, uti sic discant, mortales se esse atque caducos, neque plus inflentur quam sit satis. Iam enim quidam prosperitatibus usi praeliisque clari Deos se praedicare non sunt veriti, ipsam providentiam lacessentes. Cuius rei exempla sunt Aloei filii Otus et Ephialtes, in coelum, si fabulam audimus, ascendere conati, et Nabuchodonosor Ba-

λώνιος, εἰκόνα στησάμενος ἑαυτοῦ, καὶ ὁ Φιλίππου Ἀλέξαν- A. C. 969
δρος, Ἄμμωνος υἱὸς ἀξιῶν ὀνομάζεσθαι. εἰκότως οὖν τρεπτὰ I. N. 6
καὶ παλίντροπα καθέστηκε τοῖς ἀνθρώποις τὰ πράγματα, οἷα δὴ καὶ τότε Ῥωμαίοις συνέβαινεν, ἀποβαλοῦσι μετὰ μικρὸν ἡγεμόνα τὸν ἑαυτῶν, οἷον οὐκ ἔσχεν ἄλλον ἡ Ῥωμαϊκὴ δυναστεία τὸ πρότερον. εἰ γὰρ μὴ τῇ τούτου ἀναιρέσει εἰς τὸ ἔμπαλιν ἡ τύχη τούτοις ἀπέτρεχεν, οὐδὲν ἐνέδει, ἐπιβιοῦντος ἐκείνου, μὴ τὰ ὅρια πήξασθαι τῆς σφῶν ἐπικρατείας πρὸς ἀνίσχοντα ἥλιον κατὰ τὴν Ἰνδικὴν, καὶ αὖθις ἐπὶ δυόμενον πρὸς αὐτὰ τῆς οἰκουμένης τὰ τέρματα. ἀλλὰ γὰρ ἐπανακτέον τὸν λόγον, ὅθεν ἀπέκλινε τοῦ εἱρμοῦ. D

δ'. Οἱ μὲν δὴ Μυσοὶ χεῖρας ἱκέτιδας ἐφήπλουν, ἐπαμῦναι σφίσι δυσωποῦντες τὸν αὐτοκράτορα. ἐν ᾧ δὲ πρὸς τὴν ἐκστρατείαν διεσκευάζετο, ἡ τῆς μεγάλης Ἀντιοχείας ἅλωσις ἐπηγγέλλετο, ἄρτι κατὰ τὰς ἐκείνου ὑποθήκας ἁλοῦσα, ἃς δὴ τοῖς καταλειφθεῖσι πρὸς αὐτοῦ εἰς τὸ ταύτην λεηλατεῖν στρατιώταις ἐπέσκηπτε. λέγεται γὰρ, ὡς, ἐπείπερ ταῖς καθ' ἡμέραν καταδρομαῖς εἰς ἀμηχανίαν καὶ σπάνιν τῶν ἀναγκαίων ἐσχάτην συνηλαύνετο, τὸν Πατρίκιον Πέτρον καὶ στρατοπεδάρχην, τομίαν μὲν ὄντα, ῥέκτην δὲ τὴν ἄλλως καὶ ῥωμαλεώτατον, κατατρέχοντα P. 50
Συρίαν, ἐκεῖσε μετὰ τῆς δυνάμεως ἀφικέσθαι, καὶ Μιχαὴλ ἐκεῖνον, ἐν ταξιάρχοις τελοῦντα, ᾧ Βούρτζης ἐπώνυμον, ἐπὶ κατασκοπὴν ἐκπέμψαι τῆς πόλεως. τὸν δὲ μετὰ καὶ ἄλλων λογάδων ἀγχοῦ ταύτης γενόμενον, τὸν ἐπίβατον τοῦ τείχους περισκοπῆ- Fol. 294 v.

24. ἐπίβατον. Sic cod.

bylonius, statuam ponens sibi, et Alexander Philippi F. qui Ammonis filium voluit se nominari. Haud iniuria igitur mutabiles vicissitudinisque plenae sunt res mortalium, velut tunc quoque Romanis usu venit, cum post paulo principem ipsorum amitterent, qualem nunquam antea habuit Romanum imperium. Quod si huius caede non retro se tulisset eorum fortuna, nihil aberat, quin illo superstite fines ditionis versus orientem solem in India, versus obeuntem ad ipsos mundi fines constituerent. Verum reducenda est unde e contextu declinavit oratio.

4. In hunc modum Moesi manus supplices pandebant, obsecrantes Imperatorem, ut sibi subveniret. Qui dum se ad expeditionem comparat, Antiochiae magnae expugnatio nunciata est, iam iuxta mandata ipsius facta, quae relictis a se ad eam vexandam militibus dederat. Dicitur enim, cum quotidianis decursionibus in angustiam inopiamque rerum necessariarum ultimam compulsa esset, Petrum patricium castrisque praefectum, qui, quamvis spado, strenuus tamen alioqui esset atque fortissimus, Syriam pervadentem, eo cum copiis pervenisse, Michaëlemque illum ex tribunis, cui Burtzae cognomen, ad explorandam urbem emisisse: Michaëlem una cum aliis electis hominibus, ubi propius accessisset, ascensu muri inspecto in castra

A. M. 6477 Ind. 12 A. C. 969 I. N. 6

σαι, καὶ ὀπισθόρμητον ἀπαλλαγῆναι πρὸς τὸ στρατόπεδον, κλίμακάς τε ἀναλόγους τῷ ὕψει τῶν πύργων τεκτήνασθαι· κἀν τοῖς ἀχθοφόροις ζώοις ταύτας ἐπιφορτίσασθαι, καὶ μετὰ λεγεῶνος γενναιοτάτων στρατιωτῶν ἤδη μέσων νυκτῶν τὸν τῆς Ἀντιο- B χείας περίβολον αὖθις καταλαβεῖν, ἤρεμά τε ταύτας προσερεῖσαι τῷ τείχει καὶ ἀνιέναι διὰ τῶν κλιμάκων· τοὺς δὲ φύλακας τῶν Ἀγαρηνῶν, βαθεῖ τῷ ὕπνῳ καθεύδοντας, τοῖς ξίφεσι διαχρήσασθαι. ἐγκρατεῖς δὲ τῶν τειχῶν τὸν τρόπον τοῦτον Ῥωμαίους γεγενημένους καταβῆναί τε τῶν πύργων, καὶ τετραχῶς τὸ ἄστυ πυρπολεῖν· Ἀντιοχεῖς δὲ, τῷ ἀπροσδοκήτῳ καταπλαγέντας, εἰς οἰμωγὰς καὶ θρήνους τραπῆναι καὶ ἀμηχανίαν δεινὴν, διενθυμουμένους ὅ,τι καὶ δράσαιεν. ἤδη δὲ πρὸς ἀλκὴν ὁρμᾶν διαλογιζομένων, καὶ ῥωμαλέως τοῖς ἐναντίοις συστάδην ἀντικαθίστασθαι, τῆς ἕω τηλαυγῶς ὑπαυγαζούσης, προέφθασε C τὴν ἐκείνων ὁρμὴν ὁ στρατοπεδάρχης Πέτρος, μετὰ τῆς δυνάμεως εἰς τὴν πόλιν διὰ τῶν πυλῶν εἰσελάσας, ἃς οἱ προκατασχόντες τὸ ἄστυ Ῥωμαῖοι αὐτῷ ἀνεπέτασαν. Ἀντιοχεῖς δὲ πρὸς τοσαύτην στρατιὰν μηδὲ ἀντωπεῖν ἐξισχύοντες, τὰ ὅπλα ῥίψαντες, εἰς ἱκετείαν ἐτράποντο. οὓς ὁ στρατοπεδάρχης ἀνδραποδισάμενος, καὶ τὴν πυρκαϊὰν ἀποσβέσας, καὶ τῶν σύλων ἐξελὼν τὰ πρωτόλεια, τήν τε πόλιν κατὰ κράτος κατεῖχε, καὶ τῶν τειχῶν τὰ ἐπισφαλῆ ἐκρατύνετο.

A. M. 6478 Ind. 13 A. C. 969 I. N. 7

ε΄. Ἀλλ' οὕτω μὲν ἡ περιφανὴς καὶ μεγάλη Ἀντιόχεια πρὸς τῶν Ῥωμαίων ἥλω τε καὶ ἐπορθήθη. τὴν γοῦν ταύτης ὁ αὐτοκράτωρ διακούσας κατάσχεσιν, ἐγεγήθει τε, καὶ τῷ κρείττονι

5. ἤρεμα. Sic cod. pro ἠρέμα.

reversum scalas altitudini turrium respondentes fabricasse; hisque in sarcinaria iumenta impositis, cum legione fortissimorum militum iam media nocte ad Antiochiae moenia iterum se contulisse, scalisque silentio ad muros positis per eas evasisse: excubitores Saracenorum, alto somno sepultos, gladiis confecisse. Ita Romanos murorum hoc modo potitos demisisse sese ex turribus, oppidum ubique incendisse: Antiochenos, improviso malo conturbatos, ad gemitus, eiulatus, desperationem summam venisse, quaesivisse, quid iam sibi esset agendum. Iam vero cum animo statuissent ad virtutem confugere, acriterque adversariis pede collato obsistere, ubi mane clarum subluxit, praecidit eorum impetum Petrus castrorum praefectus, cum exercitu in urbem per portas se inferens, quas prius oppidum ingressi Romani illi aperuerant. Antiochenses, cum adversus tantas copias ne suspicere quidem possent, abiectis armis ad preces supplices se converterunt. Quibus in servitutem datis restinctoque incendio, praetor, manubiis e praeda delectis, oppidum vi tenuit, in murisque quod erat labefactatum communivit.

5. Nobilis atque magna Antiochia hunc in modum a Romanis capta et vastata est. Cuius de expugnatione cum Imperator audisset, rem laete

εὐχαριστήρια ἔθυσεν. ἔτυχε δὲ τότε τὴν τῶν Ἀσωμάτων ἀπαν- A. M. 6478
τῆσαι σύναξιν, ἐν ᾗ καὶ μοναχόν τινα λέγεται τῶν ἐρημικῶν ἐπι- Ind. 13 A. C. 969
στόλιον ἐπιδόντα τῷ βασιλεῖ, ἐκποδὼν ἐξαυτῆς οἴχεσθαι. τὸν I. N. 7
δὲ ἀνελίξαί τε τοῦτο, καὶ τὸν νοῦν αὐτοῦ ἀναλέξασθαι· εἶναι δὲ D
τὴν τούτου ἔμφασιν τοιαύτην· „ἐμοὶ τῷ σκώληκι παρὰ τῆς προ-
νοίας ἀπεκαλύφθη, βασιλεῦ, μεταναστῆναί σε τῶν τῇδε τῷ μετὰ
τὸν παρελθόντα Σεπτέμβριον τρίτῳ μηνί." πολλὰ τοίνυν ἀναψη-
λαφήσας ὁ βασιλεύς, οὐχ εὗρε τὸν μοναχόν. ἐντεῦθεν ἐν κατη-
φείᾳ διῆγε καὶ σκυθρωπότητι· ἐπὶ κλίνης τε τὸ παράπαν ἔκτοτε P. 51
οὐκ ἐβουλήθη διαναπαύσασθαι, ἀλλ᾽ ἐπ᾽ ἐδάφους ὑποστρων-
νύων δέρμα παρδάλεως, καὶ κοκκοβαφῆ πῖλον, ἐπὶ τούτων ἐκά-
θευδε, μανδύῃ τῷ τοῦ μοναχοῦ Μιχαὴλ καὶ θείου αὐτοῦ, ᾧ Μα-
λεῖνος ἐπώνυμον, ἄνωθεν ἐπικαλύπτων αὐτοῦ τὸ σωμάτιον· ἐν
οἷς εἴθιστο καθεύδειν, ὁπηνίκα τῶν δεσποτικῶν ἑορτῶν τις εἰσή- Fol. 295 r.
λαυνε, καὶ τῶν μυστηρίων Χριστοῦ τῶν ἀχράντων ἠβούλετο
μετασχεῖν. κατὰ ταύτας δὲ τὰς ἡμέρας συνέβη καὶ τὸν Καίσαρα
Βάρδαν, τὸν τοῦ αὐτοκράτορος Νικηφόρου πατέρα, τοῦ βίου
μεταναστῆναι, ὑπὲρ τὰ ἐννενήκοντα ἔτη διαβιώσαντα, κἀν τοῖς
στρατιωτικοῖς καταλόγοις ἐξ αὐτῆς ἥβης καταγηράσαντα, καὶ B
πολλὰ τρόπαια καὶ νίκας ἐν τοῖς κατὰ πόλεμον ἀνδραγαθήμασιν
ἀναδησάμενον. ὃν ἐπένθησεν ὁ βασιλεὺς τεθνηκότα, ὡς τὸ εἰκός,
ἐκ τῶν ἀνακτόρων τε καὶ μέχρι τῆς ἑστίας αὐτοῦ κατὰ μεσημ-
βρίαν κειμένης τοῦ ἄστεος, πρὸς τὸ κάταντες τῆς ἐπὶ θάλασσαν

11. κοκκηβαφῆ cod. Sed κοκκοβαφῆ infra 53. A. 12. Μαλεῖνος. Sic cod.

tulit, numinique gratulationem fecit. Forteque evenit, ut tunc Angelorum synaxis interveniret: ibi monachum dicunt ex iis qui vitam solitariam agunt, codicillos tradidisse Imperatori, continuoque e conspectu evanuisse. Illos cum explicasset Imperator, argumentumque intellexisset, fuisse eorum significationem eiusmodi: „Mihi, tametsi vermis sum, a providentia patefactum est, Domine, a vita te recessurum mense tertio post Septembrem modo praeterlapsum." Neque Imperator, quamvis multum investigans, reperire potuit hunc monachum. Atque inde in moerore versatus est ac squalore; omninoque in lecto cubare eo ex tempore noluit: sed super pelle pantherina crassoque coactili coccino humi stratis dormiebat; pallio autem Michaëlis monachi, patrui ipsius, cui Maleino cognomen fuerat, superne contegebat sibi corpus: quibus in rebus pernoctare consueverat, quoties, imminente dominica solemnitate aliqua, intemeratis Christi mysteriis constituerat frui. Iisdem prope diebus accidit, ut Bardas Caesar, Nicephori Imperatoris pater, ex hac vita migraret, natus annos amplius nonaginta, cum in numeris militaribus ab ipsa pubertate consenuisset, triumphos atque victorias facinoribus bellicis complures adeptus. Hunc Imperator mortuum, ut par erat, luxit: eque palatio usque ad domum eius, in parte australi urbis sitam, in clivo viae qua ad mare itur, Sophiaeque portus

A. M. 6478 Ind. 13 φερούσης ὁδοῦ, ἵνα ὁ τῆς Σοφίας λιμὴν ἥπλωται, τὸν τούτου νεκρὸν προέπεμψε, καὶ τῇ σορῷ περιέστειλε. μετὰ δέ τινας ἡμέρας τοῦ ἐπὶ τῷ πατρὶ πένθους τῷ βασιλεῖ ὑπολωφήσαντος, εὐκαιρίας ἡ Αὐγούστα Θεοφανὼ δραξαμένη, πρόσεισι τούτῳ καταμόνας, πολλὴν συνείρουσα λόγων πειθὼ, Ἰωάννην τε τὸν Μάγιστρον, C ᾧ Τζιμισκῆς τὸ ἐπώνυμον, οὐκ ἀνίει ἐξαιτουμένη, προσλιπαροῦσά τε καὶ ποτνιωμένη. καὶ δικαίαν δῆθεν τὴν σκῆψιν προτεινομένη, καὶ, „ἵνα τί πάντα μέτρῳ καὶ σταθμῷ ῥυθμίζων τὰ σὰ, βασιλεῦ, ὡς ἀκριβῆ στάθμην εἶναί σε καὶ κανόνα σωφροσύνης εὐθύτατον, παρορᾷς ἄνδρα γενναῖον οὕτω καὶ νεανικὸν, ἀριπρεπῆ τε κατὰ τὰς μάχας τυγχάνοντα καὶ ἀκαταγώνιστον, ἐγκυλινδεῖσθαι τῷ βορβόρῳ τῶν ἡδονῶν, καὶ βίον μεταδιώκειν παρεξηυλημένον καὶ ἄνετον, σφριγῶντα καὶ αὐτὴν τῆς ἡλικίας ἄγοντα τὴν ἀκμὴν, καὶ ταῦτα αὐτανεψιὸν τοῦ σοῦ πεφηνότα κράτους, λαμπράν τε τοῦ γένους ἕλκοντα τὴν σειράν; ἀλλ', εἰ δοκεῖ, κέ- D λευε τὴν ταχίστην, τῶν χώρων ἵνα διατρίβει ἀπάραντα, ἀφικέσθαι τε πρὸς ἡμᾶς καὶ συζύγῳ τῶν εὐγενῶν ἁρμοσθῆναι. τὴν γὰρ ἤδη νόμῳ γάμου προσαρμοσθεῖσαν αὐτῷ ὁ πικρὸς, ὡς οἶσθα, καὶ λυσιμελὴς ἐξεθέρισε θάνατος. εἶξον λοιπὸν, βασιλεῦ, καὶ εἰσηγουμένῃ τὰ δέοντα πείσθητι, καὶ μὴ προκείσθω ταῖς ἀκολάστοις γλώσσαις κωμῳδία καὶ σαρκασμὸς ὁ ἐκ τοῦ σοῦ γένους ἀναδραμὼν, κἂν ταῖς τῶν πολέμων ἀνδραγαθίαις παρὰ πάντων μεγαλαυχούμενος."

P. 52 ς'. Τούτοις τοῖς λόγοις μετελθοῦσα τὸν αὐτοκράτορα καὶ,

8. ἵνα τί. Videtur hic deesse φησί. 10. ἀριτρεπῆ cod. 11. ἐγκαλινδεῖσθαι cod. 19. λυσιμενὴς cod.

panditur, corpus eius prosecutus est, et in arca composuit. Aliquot post diebus, cum esset paululum levata Imperatoris de patre aegritudo, Theophano Augusta, opportunitate usa, secreto eum adiit, multamque connectens in verbis suaviloquentiam, pro Ioanne Magistro cognomento Tzimisce deprecari implorando atque obtestando non intermisit. Speciosam nimirum causam praetexens, „Cur", inquit, „tu qui modo et ratione omnia facis, Domine, adeo ut sis consummatum exemplum ac norma acerrima temperantiae, nullo loco numeras, virum tam fortem et animosum, clarum bello atque invictum, volutari in luto voluptatum, vitamque agere extorrem et otiosam? Et tamen viget ille ipso aetatis robore, tum etiam consobrinus tuae maiestatis est, illustrem trahit generis seriem. Verum, si videtur, iube illum quamprimum, rure ubi est relicto, ad nos venire, et uxorem aliquam e patriciis ducere. Quam enim prius in matrimonio habebat, acerba, ut scis, ac membra solvens mors perculit. Cede igitur, Domine. Quod suadeo, rectum est. Gere mi morem. Ne iaceat ad ludibrium et irrisionem linguarum petulantium qui et genere te attingit, et ob bellica facinora ab omnibus praedicatur."

6. His vocibus insectans Imperatorem et, ut fit, fascinans (studebat

ὡς τὸ εἰκὸς, καταγοητεύσασα (εὔνοιαν γὰρ ὑπὲρ τὸ προσῆκον [A. C. 969] παρεῖχεν αὐτῇ, ἐκτόπως τῆς ὥρας ταύτης ἡττώμενος), ἀνέπεισεν [I. N. 7] εἰσκαλέσαι τὸν Ἰωάννην, καὶ θᾶττον ἀπαντῆσαι πρὸς τὸ Βυζάντιον. ὁ δὲ πρὸς τὴν βασιλεύουσαν εἰσελάσας καὶ τῷ βασιλεῖ παραστὰς, ἐπείπερ ἐπισκήψεις ἐδέξατο τοῖς βασιλείοις ὁσημέραι φοιτᾷν, τότε μὲν ἐφ᾽ ἑστίας εὐθὺς ἀπηλλάττετο· μετέπειτα δὲ παρὰ τὴν βασίλειον αὐλὴν οὐ διελίμπανεν ἀνιών. ἅτε δὲ θερ- [Fol. 295 v.] μουργός τις ἀνὴρ πεφυκὼς, καὶ τολμήσας εἴ καί τις ἄλλος, καὶ πράγμασιν ἐπιχειρεῖν ἀλλοκότοις παραβολώτατος, ἐξεῦρε μηχανὴν, ὥστε διά τινων ἀφανῶν εἰσόδων πρὸς τῆς Αὐγούστης ἑτοιμασθεισῶν ὑποδύεσθαί τε καὶ εἰς λόγους ταύτῃ συνέρχεσθαι, καὶ [B] τὴν τοῦ αὐτοκράτορος Νικηφόρου τῶν ἀνακτόρων μελετῆσαι καθαίρεσιν. ἐντεῦθεν ἄνδρας ῥωμαλέους καὶ νεανικοὺς τὰ πολέμια ἐκ διαλειμμάτων πρὸς αὐτὸν ἐξέπεμπεν, οὓς ὑποδεχομένη ἐν οἰκίσκῳ σκοταίῳ παρ᾽ αὐτῇ παρεφύλαττεν. ἐπεὶ δὲ πόνον ἡ τούτων ἐπὶ κακῷ συλλαβοῦσα συμφωνία καὶ δεινὴν ἀδικίαν ὠδίνασα, τὴν πονηρὰν τεκεῖν ἀνομίαν ἠπείγετο, συνελθόντες αὖθις ἀλλήλοις κατὰ τὸ σύνηθες, τὸν αὐτοκράτορα Νικηφόρον τῆς ἀρχῆς κατασπᾶσαι διέγνωσαν, ἐκεῖθεν ἐφ᾽ ἑστίας ὁ Ἰωάννης ἀπαλλαγεὶς, Μιχαήλ τε, τὸν καλούμενον Βούρτζην, καὶ Λέοντα τὸν Πεδιάσιμον εἰσκαλέσας καὶ τὸ δωμάτιον κλείσας, τὴν τοῦ αὐτο- [C] κράτορος Νικηφόρου μετ᾽ αὐτῶν ἐσκαιωρεῖτο ἀναίρεσιν. μὴν ἐφειστήκει τότε Δεκέμβριος, δεκάτην ἐλαύνων ἡμέραν. λέγεται

5. Vel ἐπισκήψεις vertendum est *interdicta*, vel deest post βασιλείοις negatio μὴ seu οὐχ. Vid. Cedrenum 662. B. 8. Fort. τολμητίας, ut 23. C. 36. B. C. 12. Fort. ἀνακτορίων. Vid. notas. 14. αὐτόν. Leg. αὐτήν.

enim Augustae plus quam attinebat, eratque forma eius mirabiliter captus), persuasit illi ut Ioannem accerseret, quo Constantinopolim protinus is se conferret. Eo cum pervenisset, ad Imperatorem admissus, postea quam vetitus fuerat singulis diebus in palatium venire, tunc quidem evestigio domum se recepit: deinde tamen aulam frequentare non intermisit. Nam cum esset vir fervida natura, et confidens, si quis fuit unquam, et ad res immanes tentandas audacissimus, modum reperit, quemadmodum per quosdam occultos aditus ab Augusta paratos clam introiret, in eiusque veniret colloquium, et Imperatoris Nicephori remotionem a principatu meditaretur. Proinde homines robustos ac bello strenuos ex intervallis ad Augustam submisit, quos illa receptos in cella tenebricosa prope ipsam collocavit. Postquam vero eorum conspiratio, concepta in nefas facto, calamitatem et truculentum scelus parturiens, atrocem impietatem iam erat prolatura, iterum inter se ex more convenientes Nicephorum Imperatorem de imperio detrudere statuerunt. Ita Ioannes domo egressus Michaëlem cognomento Burtzam et Leonem Pediasimum introvocat: clausa cella cum his Nicephori Augusti caedem machinatur. Agebatur tunc mensis Decembris dies deci-

A. M. 6478 Ind. 13 δὲ κατὰ τὴν ἑσπέραν παρὰ τὸν καιρὸν τῆς ὑμνῳδίας κληρικόν τινα τῆς βασιλείου αὐλῆς λίβελλον ἀναδοῦναι τῷ βασιλεῖ, ἐν ᾧ ταῦτα ἐγέγραπτο· „γνωστὸν ἔστω σοι, βασιλεῦ, ὡς ὄλεθρός σοι ταύτῃ τῇ νυκτὶ ἐπικαττύεται χαλεπός. ὅτι δὲ ἀληθῆ ταῦτα, ἡ γυναικωνῖτις ἐρευνηθήτω, ἐν ᾗ ἄνδρες ἔνοπλοι καταληφθήσονται, οἱ τὴν σὴν μέλλοντες αὐτουργῆσαι σφαγήν." τὸν γοῦν λί- D βελλον ὁ βασιλεὺς ἀναγνοὺς, Μιχαὴλ τῷ τοῦ κοιτῶνος κατάρχοντι ἔρευναν ἀκριβῆ τῶν ἀνδρῶν ποιῆσαι παρεκελεύσατο· ὁ δὲ, εἴτε τὴν Αὐγοῦσταν καταιδεσθεὶς, εἴτε μελλήσει χρησάμενος, ἢ καὶ θεοβλαβείᾳ παρενεχθεὶς, παρῆκε τὸ δωμάτιον, ἐν ᾧ τὸ τῶν φόνων τῶν ἀνδρῶν καθῆστο στῖφος, ἀνεξερεύνητον. ἤδη δὲ τῆς νυκτὸς ἐπελθούσης, κατὰ τὸ εἰθισμένον ἡ βασιλὶς πρὸς τὸν αὐτοκράτορα εἰσφοιτήσασα, λόγους διῄει περὶ τῶν ἐκ Μυσίας νεωστὶ ἀφιγμένων νυμφῶν, ὅτι, „ἄπειμι τὰ πρὸς θεραπείαν αὐτῶν ἐπισκήψασα, ἔπειτα δὲ φοιτήσω πρὸς σέ· ἀλλ' ἠνεῳγμένος ὁ κοι- P. 53 τωνίσκος ἔστω, καὶ μὴ κλεισθήτω τὰ νῦν· παλινοστήσασα γὰρ ἐγὼ τοῦτον κλείσω λοιπόν." ταῦτα προσειποῦσα ἐκεῖθεν ἐξῄει. ὁ δὲ βασιλεὺς δι' ὅλης μὲν τῆς φυλακῆς τῆς νυκτὸς τὰς συνήθεις εὐχὰς ἀνέπεμπε τῷ Θεῷ, καὶ τῇ μελέτῃ τῶν θείων γραφῶν διεσχόλαζεν. ἐπεὶ δὲ τὸν ὕπνον ἡ φύσις ἀπῄτει, πρὸ τῶν σεπτῶν εἰκόνων τῆς τε θεανδρικῆς τοῦ Χριστοῦ μορφῆς, καὶ τῆς Θεομήτορος, καὶ τοῦ θείου προδρόμου καὶ κήρυκος, παρὰ τὸ παρδάλειον δέῤῥος καὶ τὸν κοκκοβαφῆ πῖλον, ἐπ' ἐδάφους διανεπαύετο.

11. φόνων τῶν. Fort. φονευτῶν s. φονευτικῶν.

mus. Vespera fertur sub tempus precum clericus quidam ex aula palatina libellum porrexisse Imperatori, quo in libello scripta erant haec: „Notum sit tibi, Domine, mortem parari tibi hac nocte atrocem. Quod autem vera sunt haec, iube gynaeceum inspiciatur, in quo homines armati deprehendentur, qui effecturi sunt tuam caedem." Lecto libello Imperator Michaëlem, cubiculi praefectum, inquisitionem diligentem horum virorum facere iussit: is vero, sive Augustam veritus, sive tarditate usus, vel etiam sinisteritate praetergressus, cellam, in qua percussorum manus consederat, inexploratam reliquit. Ubi iam nox supervenit, Augusta, ut consueverat, ad Imperatorem introivit, ac sermonem orsa de sponsis, quae ex Moesia modo venerant, „Vado," inquit, „cultum harum curatura; posthaec revertar ad te: at sodes sine apertum cubiculum, ne sit clausum in praesenti; quando revenero, tum ego claudam." Haec ad eum fata it foras. Imperator per totam noctis vigiliam consuetas preces ad numen sublime misit, inque meditatione sacrorum voluminum est versatus. Ubi vero somnum natura postulavit, pro venerandis imaginibus deivirilis formae Christi, itemque Deiparae et divini praecursoris atque praeconis, humi, super pelle pantherina et coactili coccino, quieti se tradidit.

ζʹ. Οἱ δὲ πρὸς τῆς Αὐγούστης ὑποδεχθέντες ὑπηρέται τοῦ A. C. 969 Ἰωάννου, τοῦ δωματίου ξιφήρεις ἐκπηδήσαντες, τὴν ἐκείνου ἄφι- I. N. 7 Fol. 296 r ξιν προσεδέχοντο, περὶ τὰ ὕπαιθρα τῶν βασιλείων ὑπερῴων κα- B τασκοπούμενοι. πέμπτην τῆς νυκτὸς ὥραν ὁ γνώμων ἤδη κατεπηγγέλλετο· δριμεῖα δέ τις βορέου αὖρα τὸ τοῦ ἀέρος ἐπεῖχε κατάστημα, καὶ χιὼν ἐχεῖτο πολλή· καὶ ὁ Ἰωάννης ἀφίκετο μετὰ τῶν συνωμοτῶν, ἐπὶ λέμβου τὸν αἰγιαλὸν παραπλέων, καὶ τῆς ἠπείρου προσεπιβαίνων, ἵνα ὁ λίθινος λέων τὸν ταῦρον ζωγρεῖ (Βουκολέοντα τὸν τόπον κέκληκεν ἡ συνήθεια)· ὃς τοῖς ἄνωθεν ἐπὶ τῶν ὑπαίθρων προκύπτουσιν ὑπηρέταις συρίττων ἐπεγινώσκετο. τοιοῦτον γὰρ τοῖς παλαμναίοις ἐδέδοτο σύνθημα. κόφινον οὖν καλωδίοις ἐξηρτημένον χαλάσαντες ἄνωθεν, καθ' ἕνα τοὺς C συνωμότας πρότερον ἅπαντας ἀνιμήσαντο, ἔπειτα δὲ καὶ τὸν Ἰωάννην αὐτόν. ἀνελθόντες οὖν παρὰ πᾶσαν ἀνθρωπίνην ὑπόνοιαν, καὶ τὰ ξίφη γυμνώσαντες, εἰς τὸν βασιλικὸν εἰσελαύνουσι θάλαμον, καὶ τὴν κλίνην κατειληφότες, καὶ ταύτην εὑρόντες κενὴν καὶ μήτινα ἐν αὐτῇ διαναπαυόμενον, ἐπεπήγεσαν ἀπὸ τοῦ δέους, καὶ καταχρημνίζειν αὐτοὺς ἐπειρῶντο πρὸς θάλασσαν. ἀλλ' ἀνδράριόν τι τῶν ἐκ τῆς γυναικωνίτιδος ἰταμῶν, αὐτῶν ἡγησάμενον, ὑποδεικνύει τὸν βασιλέα καθεύδοντα, ὃν κύκλῳ περιστάντες ἔνυττον τοῖς ποσὶν ἐναλλόμενοι. διυπνισθέντα δὲ τοῦτον καὶ τὴν κεφαλὴν ἐπ' ἀγκῶνος ἐρείσαντα, ξίφει βιαίως D παίει Λέων ὁ Βαλάντης ὀνομαζόμενος. ὁ δὲ περιαλγήσας τῷ

3. προσεδέχετο cod. 6. ἀφίκετο. Cod. plusquamperfecto, ἀφῖκτο, ut infra 69. B. 21. ἐναλλόμενον cod.

7. Inter haec Ioannis administri, quos Augusta receperat, e cella cum gladiis emersi adventum eius praestolabantur, e solario fastigiorum palatii speculantes. Iamque quintam noctis horam gnomon indicabat: gelida aquilonis aura regiones perflabat aërias, nix autem delabebatur plurima: cum Ioannes advenit cum coniuratis, in navicula littus legens, atque ubi leo lapideus taurum capit (Bucoleonem locum vocant vulgo), in terram exit; estque ab adiutoribus, superne e solario intentis, sibilo agnitus. Eiusmodi enim impiis datum erat signum. Proinde sporta per restes alligatas desuperne demissa, primo coniuratos omnes sigillatim attraxerunt, deinde ipsum quoque Ioannem. Ita cum praeter omnem opinionem humanam evasissent, destrictis gladiis irrumpunt in Imperatoris cubiculum, lectumque invadunt: quem cum inanem invenissent, neque quenquam in eo quiescentem, obriguerunt pavore, seseque praecipitare in mare conati sunt. Verum homuncio aliquis de scurris e gynaeceo, qui eos duxerat, submonstrat iis Imperatorem dormientem: quem in orbe circumstantes pedibus feriunt, supraque eum insiliunt. Excitatum ex somno et caput cubito sustinentem Leo, nomine Balantes, vehementer gladio percutit. Percitus dolore

A. M. 6478 Ind. 13 τραύματι (μέχρι τῆς ὀφρύος καὶ τῆς βλεφαρίδος τὸ ξίφος καθίκετο, ἀπαράξαν μὲν τὸ ὀστοῦν, μὴ πλῆξαν δὲ τὸν ἐγκέφαλον), „Θεοτόκε, βοήθει," ἐκέκραγε γεγωνοτέρᾳ φωνῇ· ἐῤῥεῖτο δὲ πανταχόθεν τῷ αἵματι καὶ κατεφοινίσσετο. ὁ δὲ Ἰωάννης, ἐπὶ τῆς βασιλικῆς καθίσας στρωμνῆς, ἑλκύειν ὡς αὐτὸν τὸν βασιλέα παρεκελεύσατο. ὃν ἑλκυσθέντα, ὀκλάζοντά τε καὶ ἐπὶ τὸ ἔδαφος διαῤῥέοντα (οὐδὲ γὰρ οἷός τε ἦν ἐπὶ γόνυ ἀνίστασθαι, καταβλη- P. 54 θείσης αὐτῷ τῆς γιγαντώδους ἰσχύος τῇ τοῦ ξίφους πληγῇ), ἀνηρώτα τοῦτον μετὰ ἀπειλῶν, καί, „λέγε μοι, ἀγνωμονέστατε σὺ καὶ βάσκανε τύραννε, οὐ δι' ἐμοῦ τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἐπέβης, καὶ τὴν τοσαύτην δυναστείαν ἀνείληφας; πῶς οὖν, τῆς τοιαύτης ἀλογήσας εὐεργεσίας, καὶ φθόνῳ καὶ μανίᾳ οἰστρηλατηθείς, τῆς τῶν στρατευμάτων καθαιρήσειν ἀρχῆς τὸν σὸν εὐεργέτην ἐμὲ οὐκ ἐνάρκησας; ἀλλὰ κατ' ἀγροὺς σχολάζειν διαφῆκας μετὰ τῶν γεωργῶν, ὡσεί τινα ἄτιμον μετανάστην, ἄνδρα γενναῖον οὕτω, καὶ νεανικὸν ὑπὲρ σέ· ὃν τὰ τῶν ἐναντίων φρίττει στρατόπεδα, καὶ οὗ τῶν χειρῶν οὐκ ἔστιν ὅστις σε ῥύσεται νῦν. εἰπὲ τοίνυν, εἴ τίς σοι πρὸς ταῦτα δικαιολογίας ἀντιλογία ὑπολέλειπται."

Fol. 296 v. η'. Ὁ δὲ βασιλεύς, λειποθυμῶν ἤδη καὶ μὴ ἔχων τὸν αὐτῷ B ἐπαμύνοντα, τὴν Θεοτόκον ἐκάλει ἐπίκουρον. Ἰωάννης δὲ τὸν πώγωνα τούτου δραξάμενος ἀνηλεῶς ἔτιλλε, καὶ οἱ συνωμόται ταῖς λαβαῖς τῶν ξιφῶν τὰς αὐτοῦ σιαγόνας ὠμῶς καὶ ἀφιλαν-

1. Fort. *μέχρι γάρ*. *βλεφαρίδος*] *φλεβαρίδος* cod. 12. *οἰστρηλαθεὶς* cod.

vulneris (nam usque ad supercilia et palpebras gladius penetraverat, osque resciderat, illaeso tamen cerebro), clamabat elata voce, „Deipara, iuva:" diffluens undique sanguine et cruentus. At Ioannes, qui in augusto lecto consederat, trahi ad se Imperatorem iussit. Raptum, cum solutis membris ad solum collaberetur (nec enim genu niti poterat, insigni eius robore plaga gladii fracto), interrogat cum minis, et, „Dic mihi," inquit, „stolide et invide tyranne, an non per me ascendisti ad principatum Romanum? Non per me hoc tantum imperium suscepisti? Qui igitur, eiusmodi beneficii immemor, invidia et furore abreptus, non dubitasti exercituum praefecturam abrogare mihi, optime de te merito? sed amandasti me, ut languerem in agro cum rusticis, tanquam aliquis infamis exul, vir fortis adeo, et strenuus plus quam tu: quem adversariorum verentur castra, et cuius ex manibus non est qui nunc te liberet. Sed tamen dic, ad haec si qua excusationis ratio tibi relicta est."

8. Imperator autem, animo iam deficiens, auxiliatore destitutus, Deiparae invocabat opem. Tum Ioannes invadens barbam crudeliter vellicavit, coniuratique gladiorum capulis genas eius dire atque inhumaniter tun-

ϑρώπως ἔνυττον, ὡς διασαλεῦσαί τε τοὺς ὀδόντας καὶ παρακι- A. C. 969 I. N. 7 νῆσαι αὐτοὺς τοῦ φατνώματος. ἐπεὶ δὲ προσκορεῖς ἦσαν τοῦτον ποινηλατούμενοι, κατὰ τῶν στέρνων ὁ Ἰωάννης παίει ποδὶ, τό τε ξίφος ἀνατείνας κατὰ μέσον διήλασε τοῦ κρανίου, πλήττειν τὸν ἄνδρα καὶ τοῖς ἄλλοις ἐγκελευσάμενος. οἱ δὲ κατεσπάϑιζον τοῦτον ἀνηλεῶς, καί τις ἀκουφίῳ τὸ μετάφρενον αὐτοῦ πλήξας C διαμπερὲς ἐπὶ τὰ στέρνα διήλασε. τὸ δὲ τοιοῦτον ὅπλον σιδήρειον ἐπίμηκες πέφυκεν, ἐρωδιοῦ ῥάμφει προσεοικὸς ἀτεχνῶς· παρὰ τοσοῦτον δὲ διαλλάττει τοῦ ῥάμφους κατὰ τὸν σχηματισμὸν, παρ᾽ ὅσον ἐκεῖνο μὲν ἰϑυτενὲς ἡ φύσις ἐκλήρωσε τῷ πτηνῷ, τὸ δὲ εἰς καμπὴν ἠρέμα μετρίαν ἐκτείνεται, ὀξεῖαν ἐπιεικῶς προβαλλόμενον τὴν ἀκμήν. τοιαύτην μὲν δὴ Νικηφόρος ὁ αὐτοκράτωρ τὴν τοῦ βίου εὗρε καταστροφὴν, πάντα μὲν τὸν τῆς ζωῆς χρόνον πεντήκοντα καὶ ἑπτὰ ἔτη διαβιοὺς, ἓξ δὲ καὶ μόνους ἐνιαυτοὺς πρὸς μησὶ τέσσαρσι τὴν τῆς βασιλείας ἰϑύνας ἀρχήν· ἀνὴρ ἀνδρείᾳ καὶ σώματος ῥώμῃ πᾶσαν ἀδηρίτως ὑπερβαίνων τὴν κατ᾽ αὐτὸν γε- D νεὰν, ἐμπειρότατός τε καὶ δραστικώτατος τὰ πολέμια, καὶ πρὸς πᾶσαν ἰδέαν πόνων ἀνένδοτος, καὶ σώματος ἀμείλικτος καὶ ἀκολάκευτος ἡδοναῖς· μεγαλόφρων τε καὶ μεγαλοφυὴς τὰ πολιτικὰ, ἐννομώτατα δικάζων, καὶ νομοϑετῶν ἀσφαλῶς, καὶ μηδενὸς τῶν ἐν τούτοις κατατριβέντων ἡττώμενος· ἐν δὲ ταῖς εὐχαῖς καὶ ταῖς παννύχοις πρὸς Θεὸν στάσεσιν ἄκαμπτός τε καὶ ἀδαμάντινος, ἀμετεώριστον ἐν ταῖς ὑμνῳδίαις τὸν νοῦν συντηρῶν, καὶ πρὸς τὰ μάταια μηδόλως ῥεμβόμενον. ἐλάττωμα δὲ τοῦτο προσῆπτον P. 55 οἱ πολλοὶ τῷ ἀνδρὶ, ὅτι τε ἀπαρεγχείρητον ἐβούλετο πρὸς ἀπάν-

debant, ut dentes concussi loculamentis eliderentur. Denique, cum saturati essent eius cruciatibus, pectus Ioannes pede percutit, alte vibrato gladio calvariam eius mediam disiiciens, itemque reliquos ferire iubet miserum. Ita saevum in modum gladiis illum confecerunt, atque aliquis, per dorsum acuphium adigens, penitus eum ad pectus usque transiecit. Id telum ex ferro est, praelongum, rostro ardeae plane simile: nisi tamen a rostri forma hoc differt, quod id rectum natura avi tribuit, illud in flexum modicum leviter porrigitur, et acuminatam plane cuspidem protendit. Eiusmodi Nicephorus Imperator invenit vitae exitum, cum omnino annos vitae complesset septem et quinquaginta, imperio praefuisset duntaxat annos sex, menses quatuor: vir omnibus suae aetatis hominibus et virtute et corporis firmitate sine controversia antecellens, summa in bellis cum peritia tum alacritate, ad omne genus laborum obdurans, voluptatibus corporis incorruptus et indelectatus; liberalis praeterea et magnificus in administratione civili, iudex iustissimus, legislator firmus, neque ulli eorum, qui his in rebus versati sunt, postponendus. In precibus autem pernoctibusque ante numen stationibus severus erat atque adamantinus, inturbatam in canticis mentem servans, ad vanitates haudquaquam delabentem. Nihilominus hoc vitium exprobrabant in illo vulgo, quod ab omnibus in-

A. M. 6478 Ind. 13 των συντηρεῖσθαι τὴν ἀρετὴν, καὶ μὴ παραχαράττεσθαι τὴν τοῦ δικαίου ἀκρίβειαν. διὸ καὶ ἀπαραίτητος ἦν εἰς τὴν τούτων ἐκδίκησιν, καὶ τοῖς ὀλισθαίνουσιν ἀδυσώπητος καὶ φορτικὸς ἐδόκει, καὶ ἐπαχθὴς τοῖς ἀδιάφορον ἀντλεῖν τὸν βίον ἐθέλουσιν. ἐγὼ δέ φημι, ὡς εἰ μή τις κατὰ ῥοῦν φερομένοις τοῖς πράγμασι βάσκανος νεμεσήσασα τύχη τὸν ἄνδρα τοῦτον ταχὺ τοῦ βίου ἀπήγαγε, μεγίστην ἂν ἡ τῶν Ῥωμαίων ἡγεμονία καὶ οἵαν οὐκ ἄλλοτε εὔκλειαν ἀπηνέγκατο. ἀλλὰ γὰρ ἡ πρόνοια, τὰ σκληρὰ καὶ ὑπέρ- B αυχα τῶν ἀνθρώπων ἀποστυγοῦσα φρονήματα, κολούει τε καὶ Fol. 297 r. περιστέλλει καὶ εἰς τὸ μηδὲν συνωθεῖ, οἷς οἶδεν ἀνεφίκτοις κρίμασι πρὸς τὸ συμφέρον τὸ τοῦ βίου πορθμεῖον εὐθύνουσα.

θ'. Ὁ δέ γε Ἰωάννης, ἐπεὶ τὸ τοιοῦτον θεοστυγὲς καὶ ἀνόσιον μῦσος εἰργάσατο, ἐπὶ τὸν λαμπρὸν οἶκον τῆς βασιλικῆς ἑστίας παρελθὼν (Χρυσοτρίκλινον τὸν δόμον κατονομάζουσι), τό τε πέδιλον τὸ ἐρυθρὸν τοῖς ποσὶν ἐνηρμόσατο, καὶ παρὰ τὸν θρόνον κεκάθικε τὸν βασιλικὸν, καὶ περὶ τῶν κοινῶν πραγμάτων ἐφρόντιζεν, ὅπως τούτων ἐγκρατής τε γένοιτο, καὶ μήτις αὐτῷ διαστασιάσοι τῶν ἐξ αἵματος προσηκόντων τῷ αὐτο- C κράτορι. οἱ δὲ τοῦ Νικηφόρου ὑπασπισταὶ, ὀψέ ποτε τὴν ἀναίρεσιν τούτου ἐνωτισθέντες, ὥρμησαν ἐπαμῦναι αὐτῷ, ὑποτοπάζοντες, ἐν τοῖς ζῶσιν ἔτι περιεῖναι τὸν ἄνδρα, καὶ τὰς σιδηρέας πύλας παντὶ σθένει ἀναμοχλεύειν ἐπειρῶντο. ἀλλὰ ὁ Ἰωάννης τὴν κεφαλὴν ἐνεχθῆναι τοῦ Νικηφόρου ἐνεκελεύσατο, καὶ

5. φερόμενος cod. 21. σιδηρέας πύλας. Ex Homero, ut puto, Iliad. Θ. 15. ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός.

corruptam virtutem coli, neque omnino a summa aequitate recedi vellet. Quocirca inexorabilis erat in vindicando, delinquentibusque durus videbatur atque gravis, molestusque illis, qui liberiorem vitam agere cupiebant. Ego vero dico, nisi rebus sic secundo cursu fluentibus per invidiam indignata fortuna hunc virum citius e vita sustulisset, maximum splendorem res Romana, et qualem nunquam alias, obtinuisset. Sed providentia, duros atque elatos hominum animos male osa, frangit comminuitque eos ad nihilumque redigit, incomprehensibilibus, quae novit, iudiciis ad commoda nostra cymbam vitae dirigens.

9. Ioannes, patrato eiusmodi numini exoso atque impio facinore, magnificum oecon palatii ingressus (Chrysotriclinium id conclave vocant), calceamenta rubra pedibus aptavit, in solioque sedens imperatorio ad summam rerum animum convertit, quo pacto ea potiretur, seditionemque eorum praeveniret, qui Imperatorem cognatione attingebant. Inter haec Nicephori protectores, fato eius tardius cognito, ad opem ferendam proruperunt, quod superstitem etiamnunc esse eum suspicabantur, omnique vi emoliri ferreas conati portas sunt. Tum Ioannes caput Nicephori proferri, per-

ταύτην ὑποδειχθῆναι διὰ τρυμαλιᾶς τοῖς ἐκείνου σωματοφύλαξι. A. C. 969
παρελθὼν δέ τις, Ἀτζυποθεόδωρος καλούμενος, ἐξέτεμέ τε τὴν I. N. 7
κεφαλήν, καὶ τοῖς στασιάζουσιν ὑπεδείκνυεν. οἱ δέ, τὸ ἀλλό-
κοτον καὶ ἄπιστον ἀθρήσαντες θέαμα, τά τε ξίφη τῶν χειρῶν
μεθῆκαν, καὶ παλινῳδίαν ᾖσαν, καὶ τὸν Ἰωάννην αὐτοκράτορα
Ῥωμαίων ὁμοφώνως ἐκήρυττον. ὁ δὲ τοῦ Νικηφόρου νεκρὸς κατὰ D
τὸ ὕπαιθρον ἐπὶ τῆς χιόνος πανημέριος ἔκειτο· ἑνδεκάτη ἦν τοῦ
Δεκεμβρίου μηνὸς ἡμέρα, σαββάτῳ· ὃν πρὸς ἑσπέραν βαθεῖαν
τῇ ὁσίᾳ παραπεμφθῆναι ὁ Ἰωάννης προσέταξε. θήκῃ οὖν σχε-
διασθείσῃ ξυλίνῃ ὡς ἔτυχε περιστείλαντες, μέσον τῶν νυκτῶν
λαθραίως εἰς τὸν θεῖον τῶν Ἀποστόλων σηκὸν ἐξεκόμισαν, καὶ
κατὰ τὸ ἡρῷον, ἔνθα τὸ τοῦ θείου καὶ ἀοιδίμου Κωνσταντίνου
σῶμα κατάκειται, ἐν μιᾷ τῶν βασιλικῶν σορῶν ἐκήδευσαν. ἀλλὰ
γὰρ οὐκ ἐπενύσταξεν ἡ δίκη τῇ μιαιφονίᾳ τῶν ἀλαστόρων ἐκείνων
ἀνδρῶν, μετῆλθε δὲ πάντας ποινηλατοῦσα μετέπειτα, καὶ δη- P. 56
μευθέντες, κατὰ τὰ ἔσχατα πενητεύσαντες, κακοὶ κακῶς τοῦ
ζῆν ἀπηλλάγησαν, ὅσοι τῆς ἐκείνου σφαγῆς αὐτόχειρες ἐξεγένοντο.
ἀλλ' ἀποχρώντως γὰρ εἰρῆσθαί μοι δοκεῖ περὶ τῶν πεπραγμένων
τῷ αὐτοκράτορι Νικηφόρῳ, καὶ τῆς αὐτοῦ βιοτῆς καὶ καταστρο-
φῆς. τὸ δὲ πέρα τοῦ μετρίου κατατρίβειν τὸν λόγον καὶ κατα-
τείνειν ἐκεῖ, πολυπραγμόνων ἡγοῦμαι τὸ πάθος καὶ τῆς γραφῆς
ὑπερβαινόντων τὸ πλήσιμον, οἷς μηδὲ τὸ τυχὸν παρεῖται ἀνεξε- B
ρεύνητον. δέον οὖν εἶναί μοι δοκεῖ, ταύτην τὴν περὶ ἐκείνου

9. προσέταξε. Additum hic est secunda manu ταφῇ. 14. ἐπενύ-ξεν cod.

que foramen protectoribus ostendi iussit. Ita accedens aliquis, Atzypotheodorus nomine, id praecidit, et tumultuantibus exhibet. Qui obiecta immani atque inopinata specie gladios emiserunt de manibus, et mutata iam voce Ioannem Imperatorem Romanorum una consensione renunciaverunt. In nive autem sub divo iacuit Nicephori corpus toto eo die, qui dies erat undecimus Decembris, sabbato: donec illi ad multum vesperum Ioannes iusta solvi iussit. Ita in loculo ligneo raptim facto ut unus de multis compositus, media nocte clam in sanctum Apostolorum templum elatus est, in sepulcroque illo, ubi divini hymnisque celebrati Constantini corpus iacet, in una ex imperatoriis arcis conditus. At enim post nefariam caedem ab his devotis capitibus patratam non obdormivit iustitia, verum vindicta assecuta omnes posthac est: adeo ut quicunque manum ad occisionem illius praebuerunt, ii omnes bonis publicatis ad summam indigentiam redacti exitiales exitus habuerint. Verum de rebus gestis Nicephori Imperatoris, deque vita et fato eius, satis abundanter, ut arbitror, demonstratum est. Nam extra modum commorari atque dilatare orationem hoc in loco, hominum opinor nimis curiosorum esset vitium, qui, finem transeuntes scribendi, ne minima quidem relinqui vellent inexplorata. Tempus igitur iam mihi videtur,

A. M. 6478 καὶ τῶν αὐτῷ πραχθέντων διήγησιν περιστείλαντα, καὶ περὶ
Ind. 13
A. C. 969 τῶν τῷ Ἰωάννῃ πραχθέντων, ὃς κατ᾽ ἐπίκλησιν Τζιμισκῆς ἐκα-
I. N. 7 λεῖτο (τοῦτο δὲ τὸ τῆς Ἀρμενίων διαλέκτου πρόσρημα ὄν, εἰς
Fol. 297 v. τὴν Ἑλλάδα μεθερμηνευόμενον μουζακίτζην δηλοῖ· βραχύτατος
γὰρ τὴν ἡλικίαν τελῶν ἐπωνυμίαν ταύτην ἐκτήσατο), κατὰ τὸ
ἐνὸν ἐξειπεῖν, ὡς ἂν μὴ λήθης βυθοῖς παραῤῥυῇ ἔργα βιωφελῆ
καὶ μνήμης ἐπάξια.

narratione de illo et actionibus illius coarctata, de rebus gestis Ioannis, cognomento qui Tzimisces perhibebatur (haec linguae Armeniae appellatio graece conversa muzacitzen valet: id autem, quia erat statura brevissimus, cognomen invenit), pro facultate dicere, ut res scitu utiles et memoria dignae oblivionis voraginibus ne summergantur.

# ΛΕΟΝΤΟΣ ΔΙΑΚΟΝΟΥ

## ΙΣΤΟΡΙΑΣ ϛʹ.

# LEONIS DIACONI HISTORIAE

## LIBER VI.

### ARGUMENTUM.

*Ioannes Tzimisces a Basilio Notho Imperator renunciatus (Cap. 1). Leo Curopalates, Nicephori frater, Methymnam relegatus (2). Ioannis Tzimiscae forma et statura, virtutes et vitia (3). Polyeuctus eum ab aditu S. Sophiae arcet; mox imperatis defunctum coronat (4). Ioannes bona, quae privatus possederat, pauperibus distribuit (5). Theodorus Coloniensis patriarcha Antiochiae constitutus. Polyeucti mors (6). Basilii patriarchae creatio (7). Legatio ad Sphendoslabum, Russorum principem (8). Bulgarorum origines (9). Sphendoslabi responsum et minae (10). Bardae Scleri et Petri Patricii expeditio contra Russos (11). Ioannes Alacas speculatum mittitur. Bardas et Petrus cum Russis confligunt (12). Bardae Scleri insignis virtus. Fuga Russorum (13).*

αʹ. Τοῦ δὲ αὐτοκράτορος Νικηφόρου τὸν τρόπον, ὃν εἴρηταί A. M. 6478
μοι, ἀναιρεθέντος, τὰς τῆς βασιλείας ἡνίας Ἰωάννης, ὁ κατ᾽ Ind. 13 A. C. 969
ἐπίκλησιν Τζιμισκῆς, ὑποζώννυται. ἤδη δὲ τετάρτης φυλακῆς I. I. 1
τῆς νυκτὸς ἀρχομένης, ἑβδόμης ἡμέρας διαφανούσης, ἑνδεκά- P. 57
της τελούσης τοῦ Δεκεμβρίου μηνὸς, κατὰ τὴν τρισκαιδεκάτην
ἴνδικτον τοῦ ἑξακισχιλιοστοῦ τετρακοσιοστοῦ ἑβδομηκοστοῦ ὀγδόου
ἔτους, λογάδων ἀνδρῶν στίφος, διὰ τῶν ἀγυιῶν τοῦ ἄστεος διερ-

4. Leg. διαφανούσης, ut 25. A.

1. Nicephoro Augusto sic, quemadmodum exposui, de medio sublato, rerum habenas Ioannes, cognomento Tzimisces, suscepit. Iam quarta noctis vigilia ineunte, sabbato dilucescente, die mensis Decembris undecimo, indictione decima tertia anni sexies millesimi quadringentesimi septuagesimi octavi, lectorum virorum cuneus, per urbis compita circumcursans, Ioannem Impera-

A. M. 6478 Ind. 13 χόμενον, αὐτοκράτορα Ῥωμαίων τὸν Ἰωάννην σὺν τοῖς τοῦ ἤδη βασιλεύσαντος Ῥωμανοῦ παισὶν ἀνηγόρευον· οἷς ἐκ διαστήματος B ἐφείπετο Βασίλειος ὁ Νόθος, Ῥωμανοῦ τοῦ πάλαι αὐτοκράτορος ἐκ Σκυθίδος υἱός, τῷ τοῦ προέδρου ἐκδιαπρέπων ἀξιώματι. Νικηφόρος δέ, μόνος τῶν λοιπῶν σεβαστῶν, ἐς γέρας τῷ ἀνδρὶ ταύτην ἐκαινοτόμησε τὴν τιμήν· ὅσπερ, εἰ καὶ ἐκτομίας ἐτύγχανεν, ἀλλὰ τὴν ἄλλως δραστήριός τε καὶ ἀγχίνους ὑπῆρχεν ἀνήρ, εὐφυῶς τοῖς πράγμασιν ἐν περιστάσεσιν ἁρμοττόμενος. συνωμότης δὲ ὢν Ἰωάννῃ, καὶ λίαν ἐκτόπως αὐτῷ φιλικῶς διακείμενος, ἐσκήπτετο πρότερον νοσεῖν, κἄπειτα πονήρως εἶχε, καὶ κλινοπετὴς ἦν. C νύχιον οὖν τὴν τοῦ Νικηφόρου μεμαθηκὼς ἀναίρεσιν, τῷ προειληφότι στίφει μετὰ σπείρας γενναίων νεανίσκων ἐπισπόμενος, σεβαστὸν βασιλέα Ῥωμαίων τὸν Ἰωάννην ἀνεκήρυττεν· εἰς τὰ βασίλειά τε αὖθις ἀνῄει, καὶ περὶ τῶν κοινῶν Ἰωάννῃ συνέπραττε, τὴν τοῦ παρακοιμωμένου πρὸς ἐκείνου τιμὴν εἰληφώς. περὶ τῶν ξυνοισόντων οὖν αὐτοῖς βουλευσάμενοι, ἐντάλματα καὶ προστάγματα διὰ παντὸς τοῦ ἄστεος αὐθωρὸν ἔστελλον, μὴ ἐξεῖναί τινι νεωτεριεῖν, ἢ ἐπὶ διαρπαγὰς ἀποκλίνειν· κίνδυνον γὰρ P. 58 εἶναι τῷ τοιουτότροπόν τι τολμήσαντι, ἀφαιρεῖσθαι τῆς κεφαλῆς. τοῦτο τὸ παράγγελμα ἐπιεικῶς Βυζαντίους ἐξεδειμάτωσε, καὶ οὐδεὶς ἐτόλμα νεοχμῶσαί τι παρὰ τὸ προσταχθέν. εἰώθεσαν γὰρ ἐν ταῖς τοιαύταις μεταβολαῖς οἱ ἀργοὶ τοῦ δήμου, καὶ ἄποροι, ἐς διαρπαγὰς χρημάτων καὶ κατασκαφὰς οἴκων, ἔσθ᾽ ὅτε καὶ τῶν

8. Mendose εὐφυῦς (sic) cod. 18. νεωτεριεῖν. Vid. infra 71. D.

torem Romanorum, adiunctis Romani haud ita pridem Augusti liberis, renunciabat: quos ex intervallo subsequebatur Basilius Nothus, Romani quondam Augusti ex Scythica femina filius, praesidis dignitate decoratus. Hoc munus Nicephorus primus omnium Imperatorum in honorem hominis creaverat: qui, quamvis spado, alias industrius et ingeniosus erat vir, negotiorum pro temporibus bene gerens. Hic cum Ioanne conspiraverat, summa necessitudine ei adiunctus, primumque simulata valetudine postea aegrotus erat, lectoque affixus. Is, ut noctu de Nicephori caede cognoverat, antecedentem cohortem cum globo strenuorum adolescentium insecutus, Ioannem Augustum Imperatorem Romanorum renunciavit: quo facto in palatium rediit, summamque rerum cum Ioanne administravit, a quo praefecturam Cubiculi accepit. Ipsi, de his quae e re sua forent deliberatione habita, mandata et edicta per totam urbem illico emittunt, „turbas ciere, direptionem facere ulli ne liceret: quod si quis eiusmodi aliquid ausus fuerit, poena esto, ut caput ei amputetur." Quod edictum non mediocrem terrorem Constantinopolitanis iniecit, nec quisquam contra mandatum ad nova consilia animum inducere est ausus. Nam solebant in huiusmodi rerum mutationibus ex plebe homines, otio egestateque perditi, ad expilationes bonorum domuumque eversiones converti, interdum quoque ad ci-

ὁμοφύλων σφαγὰς τρέπεσθαι, καθά που καὶ ἐν τῇ ἀναῤῥήσει τοῦ αὐτοκράτορος Νικηφόρου συμβέβηκεν. ἀλλὰ τὴν τοιαύτην ἀκάθεκτον τοῦ ἀγοραίου ὄχλου φορὰν προφθάσας ἀνέστειλε τὸ τοῦ Ἰωάννου διάγγελμα. A. C. 969 L. L 1 Fol. 298 r.

β'. Ἐν τούτοις τῶν πραγμάτων ἠωρημένων, Λέων Κουροπαλάτης, ὁ τοῦ Νικηφόρου σύναιμος, ἐφ' ἑστίας καθεύδων, τὴν τοῦ ἀδελφοῦ σφαγὴν διενηχηθεὶς, δέον αὐτῷ, χρυσοῦ θησαυροὺς κεκτημένῳ πολυταλάντους, κατὰ ἄμφοδον διασπείρειν, καὶ τούτοις τοὺς ἀστικοὺς δεξιούμενον, εἰς ἐκδίκησιν κατὰ τῶν τυράννων παρακαλεῖν (εἰ γὰρ οὕτω διενοήθη, τάχ' ἂν ἀναιμωτὶ τὸν Ἰωάννην τῶν ἀρχείων κατέσπασεν· ὅτι τε οἱ τὰς τῆς πολιτείας ἐγκεχειρισμένοι ἀρχὰς πρὸς τοῦ Νικηφόρου ταύτας εἰλήφεσαν· καὶ ὅτι στρατιωτικὸν ἀξιόχρεων τῶν ὑπ' ἐκείνῳ τεταγμένων τῷ Βυζαντίῳ ἐπεχωρίαζεν· οἳ πάντες αὐτῷ βουληθέντι, καὶ πρὸς ἀλκὴν καὶ νεωτερισμὸν ὡρμηκότι, συνήραντο ἄν)· ἀλλὰ γὰρ, τῷ μεγέθει τοῦ πάθους τὰς φρένας ἐκθροηθεὶς, τοῦτο μὲν οὐδ' ἐπὶ νοῦν ἔλαβεν, ὡς εἶχε δὲ δρόμων τὸν περίπυστον τῆς τοῦ Θεοῦ Σοφίας καταλαμβάνει σηκὸν, τῇ τύχῃ καὶ τῇ φορᾷ τῶν πραγμάτων ταῦτα καταλιπών. ὁ δέ γε Ἰωάννης, πρὶν τηλαυγῶς τῇ γῇ τὰς ἀκτῖνας προσυφαπλῶσαι τὸν ἥλιον, ταῖς μεγίσταις τῆς πολιτείας ἀρχαῖς οἰκείους ἄνδρας ἀποκαθίστησι, Πραίτωρα, καὶ τοῦ πλωΐμου Δρουγγάριον, τῆς τε βίγλης, καὶ ὃν καλοῦσι νυκτέπαρχον, τοὺς τοῦ Νικηφόρου, B C

5. ἠωθημένων cod. 12. ἐγχειρισμένοι cod. 17. ἔλαβεν. Fort. ἔβαλεν. Odyss. Λ. 201. 202. ὡς ἐνὶ θυμῷ Ἀθάνατοι βάλλουσι.

vium caedem, ut in renunciatione Nicephori Augusti evenerat. Sed hunc forensis colluviei coecum impetum Ioannis edictum praeveniendo compressit.

2. Rebus ita suspensis, Leo Curopalates, Nicephori frater, domi dormiens, cum debuisset, simul ut de caede fratris audiverat, auri thesauros, quos pergrandes habebat, per viam spargere, plebemque urbanam, ea re excitatam, ad ultionem in tyrannos impellere (quod si iniisset consilium, forsan sine sanguinis effusione Ioannem imperio pellere potuisset: quod qui tunc magistratus maiores gerebant, eos a Nicephoro acceperant: tum quia haud aspernandus miles ei subditus Constantinopoli erat: qui universi, dummodo consilium capere, acrique animo res novas moliri voluisset, ei praesto fuissent): ille, ob magnitudinem calamitatis mente turbatus, nihil tale ne animo quidem complexus, quam potuit contentissimo cursu in nobilem divinae Sapientiae ecclesiam se coniecit, fortunae casuique haec committens. Interea Ioannes, antequam clare in terram radios sol diffuderat, ad summas imperii dignitates suos homines extollit; praetorem, officii maritimi drungarium, vigilum praepositum, et quem noctis praefectum vocant, Nicephorianos, ab Rep. removet: hos, et quicunque illi propinqui-

A. M. 6478 Ind. 13 παραιτησάμενος· οὓς ἅμα τοῖς ἐξ αἵματος ἐκείνου ἀνήκουσιν ἐν τοῖς σφετέροις ἀγροῖς διατρίβειν παρέπεμψε. πίστεις τε τῷ τοῦ D αὐτοκράτορος Νικηφόρου ὁμαίμονι Λέοντι τῷ Κουροπαλάτῃ, καὶ Νικηφόρῳ Πατρικίῳ, τῷ υἱῷ τοῦ τοιούτου Λέοντος, περὶ τῶν σφῶν σωμάτων ἀπαθείας δοὺς, ἐς Μήθυμναν, τὴν ἐν Λέσβῳ τῇ νήσῳ κατῳκισμένην, περιορίζει· τούς τε τοπάρχας τῶν χώρων ἁπάντων μεθίστησι, καὶ οἰκείους ἀντ' ἐκείνων ἀποκαθίστησι. τότε δὴ καὶ Βάρδαν, τὸν τοῦ Κουροπαλάτου Λέοντος υἱὸν, ἐν πατρικίοις τελοῦντα, καὶ τὴν τοῦ Δουκὸς ἀξίαν ὑπεζωσμένον, κἀν τοῖς τῆς Χαλδαίας ὁρίοις διατρίβοντα, τῆς ἀρχῆς παγανώσας, εἰς Ἀμάσειαν περιορίζει. ἱκανὴν οὖν ἐντεῦ-P. 59 θεν ἀσφάλειαν ἑαυτῷ τε καὶ τοῖς πράγμασιν ἐπιβραβεύσας, καὶ ἅπαν τὸ ὕποπτον τῆς πολιτείας ἀνακαθάρας, ἐν τοῖς βασιλείοις διέτριβε. πέμπτον καὶ τεσσαρακοστὸν ἔτος ἦν αὐτῷ τῆς ἡλικίας, ὅτε τῆς βασιλείου ἐπέβη ἀρχῆς.

γ'. Τὴν δὲ ἰδέαν τοιόσδε ἦν· λευκὸς μὲν τὴν ὄψιν, καὶ εὔχρους, τὴν κόμην φέρων ξανθὴν καὶ ἀραιὰν ἐπὶ μέτωπον· ὀφθαλμοὶ τούτῳ ἀνδρώδεις καὶ χαροποί· ῥὶς λεπτή τε καὶ σύμμετρος· γένυς ἡ ἄνωθεν πυρσὴ, καὶ εἰς πλαίσιον καθειμένη παρὰ τὸ μέτριον, ἡ δὲ κάτωθεν μεμετρημένη ὡς τὸ εἰκὸς, καὶ B μήτι ἐνδεῶς ἔχουσα. τὴν δὲ ἡλικίαν βραχύς τις ἦν, εἰ καὶ στέρνον εὐρὺ καὶ μετάφρενον εἶχε· γιγαντώδης δὲ τούτῳ ἐνῆν ἰσχὺς, Fol. 298 v. καὶ ταῖς χερσὶν εὐαγωγία, καὶ ἀλκή τις ἀνανταγώνιστος· ἡρωϊκὴ γὰρ αὐτῷ ἀνεκέκρατο, ἀδεής τε καὶ ἀκατάπληκτος, ἐν οὕτω

4. περί. Malim περὶ τῆς. 19. καθημένη cod.

tatibus coniuncti erant, ad praedia eorum rustica, ut ibi degerent, amandat. Fratrem Nicephori, Leonem Curopalatam, et Nicephorum Patricium, Leonis F., de corporis incolumitate fide data, Methymnam, quod est in Lesbo insula oppidum, relegat: praefectos omnium provinciarum devocat, suos homines in eorum locum substituit. Eodemque tempore Bardam, alterum Leonis Curopalatae F., e patriciorum numero, Ducis dignitate ornatum, tuncque apud Chaldaeum limitem agentem, demto ordine discinctum, Amasiam in exilium mittit. Cum ergo tum sibi, tum rebus suis, satis prospexisset, ac quicquid suspectum videbatur, e civitate amolitus esset, in palatio morabatur. Annum tum aetatis agebat quintum supra quadragesimum, cum rerum summam capessivit.

3. Quod ad speciem eius attinet, talis erat: vultus candidus, probi coloris: coma flavens, rara per frontem: oculi acres, caerulei: nasus gracilis et iustae magnitudinis: barba in superiore labro rufa et ad latus nimio plus depressa, in inferiore bonae convenientisque mensurae, nihil decurtatum habens. Quod ad staturam, pectore licet et dorso bene latis, pusillus tamen videbatur: sed erat in homine giganteum robur, in manibus agilitas et vis quaedam, contra quam resistere vanum fuisset: haec, tanta quanta in heroibus fuisse dicitur, animo eius admista, metu carens, adver-

βραχεῖ σώματι ἀποδεδειγμένη τόλμαν ὑπερφυῆ. ἐς ὅλην γὰρ A. C. 969
ἀντίπαλον φάλαγγα οὐκ ἀπεδειλία μόνος ὁρμᾷν, πλείστους τε I. I. 1
κατακταίνων, ἀπτερώτῳ τάχει πρὸς τὸν οἰκεῖον αὖθις συνασπισμὸν διανέκαμπτε, κακῶν ἀπαθής· ἐν ἅλματι δὲ, καὶ σφαιρισμοῖς, καὶ ἀκοντισμοῖς, καὶ τόξων ἐντάσεσι καὶ βολαῖς, πάντων κατηυμεγέθει τῶν κατὰ τὴν αὐτὴν γενεάν. λέγεται, ὡς κέλητας ἵππους τέτταρας στοιχηδὸν ἱστὰς, ἐκ τοῦ θατέρου μέρους κα- C
θαλλόμενος, ἐπὶ τὸν πύματον ὥς τις πτηνὸς ἐφίζανε. βέλος τε ἀφιεὶς οὕτω κατεστοχάζετο τοῦ σκοποῦ, ὡς διὰ δακτυλίου ὀπῆς ἱέναι ἀπευθύνειν αὐτό· τοσοῦτον ὑπερέβαλλε καὶ τὸν παρ' Ὁμήρου μεγαλαυχούμενον νησιώτην, τὸν διὰ τῶν πελέκεων τὸν ὀϊστὸν διευθύναντα. σφαῖράν τε ἐκ σκύτους κατειργασμένην ὑελίνου σκύφους ἐν τῷ πυθμένι ἐπιτιθεὶς, μύωπί τε τὸν ἵππον κεντρίζων καὶ τὸν δρόμον ἐπιταχύνων, ῥάβδῳ παίων τὴν σφαῖραν, αὐτὴν μὲν ἀναθρώσκειν καὶ πέτασθαι κατειργάζετο· τὸ δὲ δὴ σκύφος ἀμετακίνητον καὶ ἄθραυστον κατὰ χώραν μένειν ἐλίμπανε. μεγαλόδωρός τε καὶ φιλοδωρότατος παρὰ πάντας ἦν· οὐδεὶς γὰρ αὐτὸν αἰτησάμενος τῶν ἐλπίδων κενὸς ἀπηλλάττετο. D
πᾶσι δὲ φιλαγάθως καὶ ἱλαρῶς ἐφιλανθρωπεύετο, προφητικῶς τὸ ἔλαιον τῆς εὐποιΐας κιχρῶν· καὶ εἰ μὴ Βασίλειος ὁ παρακοιμώμενος αὐτὸν ἐπεῖχε τῆς ἀπλήστου περὶ τὸ εὐεργετεῖν τοὺς ὁμοφύλους ῥοπῆς, κἂν τοὺς βασιλικοὺς θησαυροὺς εἰς τὴν τῶν δεομένων διανομὴν θᾶττον συνεξεφόρησεν. ἐλάττωμα δὲ Ἰωάννῃ

3. κατακταίνων, ἀπτερώτῳ. Sic cod. Fort. κατακτέννων, ἀπτέρῳ τῷ τάχει. Sic ἀπτέρῳ δὲ τάχει 70. B. 11. ὀϊστόν. ἱστὸν cod. 20. κιχρῶν. Conf. III. Reg. XVII. 16.

sis immota, incredibilem in tam exiguo corpore pariebat fidentiam. In confertam hostium frontem non timebat solus irrumpere, compluribusque interfectis praecipiti celeritate ad suorum aciem incolumis se recipiebat: saltu, pila, iaculatione, arcus intentione et iactu, omnes illius aetatis superabat. Ut fertur, equis desultoriis IV aequata fronte collocatis, ab una parte emicans, in novissimo, qui in altera parte erat, tanquam volucris aliquis subsedit. Spiculum emittens ita collimabat in scopum, ut per annuli foramen illud traiiceret: tanto superabat vel insularém illum ab Homero celebratum, per ascias sagittam transmittentem. Globum ex corio factum in vitrei scyphi fundum deponens calcarque equo subiiciens, citato cursu praetervectus, globum quidem, bacillo percussum, impellebat, ut de fundo exiliens per aërem ferretur: scyphum immotum, nedum incolumem, in eodem loco manentem reliquit. Donis magnificus et munificus supra omnes erat: quisquis enim ab eo petiisset, spe nunquam frustratus abibat. Ita cunctis benigne ac hilariter humanitatis officia praestabat, prophetae modo oleum beneficentiae commodans: ac nisi Basilius Cubiculi praefectus insatiabilem illum impetum cives demerendi retardasset, ipsos quoque imperii thesauros erogatione in egenos celeriter exhausisset. Hoc Ioanni vitium haerebat,

A. M. 6478 Ind. 13 τοῦτο προσῆν, ὅτι τε περὶ πότους ἔστιν ὅτε παρὰ τὸ προσῆκον ἐκώμαζε, καὶ περὶ τὰς τοῦ σώματος ἡδονὰς διεπτόητο.

P. 60 δ'. Ἀλλ' οὕτω μὲν ἐν ἡμέραις ἑπτὰ τὰ τῆς πολιτείας διοικησάμενος, καὶ τὴν ἀρχὴν ἑαυτῷ κρατυνάμενος, καὶ ὡς οὐκ ἄν τις ᾠήθη ποτὲ (ἐν γὰρ ταῖς μεγίσταις τῶν πραγμάτων μεταβολαῖς, πολλῆς, ὡς εἰκὸς, στάσεως ἀναῤῥιπιζομένης καὶ ταραχῆς, τότε, οὐκ οἶδ' ὅπως, παρατυχὸν εὐκοσμία τις καὶ βαθεῖα σιγὴ τὸν δῆμον κατέσχε, τοῦ αὐτοκράτορος Νικηφόρου ἀναιρεθέντος, καί τινος ἑνὸς τῶν ὑπασπιστῶν ἑτέρου μηδενὸς κἂν ἐπὶ κόῤῥης εἰληφότος κόνδυλον), ἐς τὸν θεῖον καὶ μέγαν τῆς τοῦ Θεοῦ Σοφίας σηκὸν εἰσφοιτᾷ, ὡς πρὸς τοῦ πατριάρχου κατὰ τὸ εἰθισμέ- B νον τῷ βασιλείῳ διαδήματι ταινιωθησόμενος. εἴθισται γὰρ τοὺς νέον τῆς Ῥωμαϊκῆς ἡγεμονίας προσεπιβαίνοντας ἐπί τε τὸν ἄμβωνα τοῦ νεὼ ἀνιέναι, καὶ πρὸς τοῦ κατὰ καιροὺς ἱεράρχου εὐλο- Fol. 299 r. γεῖσθαί τε, καὶ τῷ βασιλείῳ στέφει ταινιοῦσθαι τὴν κεφαλήν. ὁ δὲ Πολύευκτος τὸν τῆς πατριαρχίας τότε θρόνον κατεῖχε. θεῖός τέ τις ὢν καὶ ζέων τῷ πνεύματι, εἰ καὶ τὴν ἡλικίαν ἔξωρος ἦν, μὴ ἐξεῖναί οἱ ἐδήλου τῷ βασιλεῖ ἐς τὸ ἱερὸν εἰσελαύνειν, πρὶν ἂν τὴν Αὐγοῦσταν τῶν βασιλείων ἐξαγάγῃ, καὶ τὸν ἀναιρέτην τοῦ αὐτοκράτορος Νικηφόρου, ὅσπερ ἂν εἴη, καθυποδείξῃ· καὶ προσέτι τὸν τόμον τῇ συνόδῳ προσαποτίσῃ, ὃν ὁ Νικηφόρος παρὰ C τὸ εἰκὸς ἐνεώχμωσεν. ὁ γὰρ Νικηφόρος, εἴτε τὰ θεῖα πρός τινων τῶν ἱερέων κινούμενα βουλόμενος διορθοῦν, ὡς ᾤετο, εἴτε κατεξουσιάζειν καὶ τῶν ἱερῶν, ὅπερ ἔκσπονδον ἦν, τόμον σχεδιάσαι

19. ἐκαγάγοι cod. Fort. ἀπαγάγοι.

quod nimirum potibus, vinoque ac comessationibus quandoque plus aequo indulgebat, corporisque voluptatibus avide inhiabat.

4. Verum sic quidem septem dierum spatio composita illi Rep., assertoque imperio, qua nemo ratione unquam putaverit (cum enim in maximis rerum mutationibus magna plerumque seditio et turbatio suscitetur, tunc, fortuna nescio qua, modestia altumque silentium populum tenuit, sublato Nicephoro Augusto, cum praeterea nemo alius satellitum vel in genam pugnum accepisset), ad divinum magnumque Dei Sapientiae delubrum venit, ut a patriarcha ex more diademate caput cingeretur. Ita enim moribus receptum, ut qui Romanum imperium adeant, in templi ambonem ascendant, et ab eo qui pro tempore sacris praeest, bene ipsis apprecato, diadema capiti impositum accipiant. Polyeuctus tunc sedem patriarchalem tenebat. Is, vir sane divinus et spiritu fervens, quamvis aetate effoetus, Imperatori denunciat, non ei licere in ecclesiam ingredi, nisi antea Augustam aula expulerit, ac Nicephori Imperat. percussorem, quisquis ille esset, ostenderit: ad hoc, decretum synodo remitteret, quod praeter fas Nicephorus novasset. Is enim, sive eo animo, ut res sacras, a quibusdam sacerdotibus immutatas, ut sibi videbatur, restitueret, sive quod rem divinam quoque, quod nefas, subiicere sibi vellet, decretum conficere episcopos

τοὺς ἱεράρχας κατεβιάσατο, μήτι τῶν ἐκκλησιαστικῶν πραγμά- A. C. 969
τῶν ἐκτὸς τῆς ἐκείνου ῥοπῆς ἐνεργεῖν. ταῦτα μὲν ὁ Πολύευκτος I. I. 1
τῷ βασιλεῖ ποιεῖν εἰσηγεῖτο· ἄλλως γὰρ οὐχ οἷόν τε ἐξεῖναι αὐτῷ
ἐς τὰ θεῖα εἰσιτητέον ἀνάκτορα. ὁ δὲ, τὴν τοιαύτην φάσιν δεξά-
μενος, τήν τε Αὐγοῦσταν τῶν ἀνακτόρων κατήγαγε, καὶ κατὰ
τὴν νῆσον τὴν λεγομένην Πρώτην περιώρισε, τόν τε τοῦ Νικη-
φόρου τόμον τῇ συνόδῳ ἐπέδωκε, καὶ Λέοντα τὸν Βαλάντην
καθυπεδείκνυεν, αὐτόχειρα τοῦ Νικηφόρου καὶ αὐθέντην πεφη- D
νέναι τοῦτον, οὐκ ἄλλον, ἰσχυριζόμενος. οὕτως εἰς τὸν θεῖον
σηκὸν ὁ Ἰωάννης παραδεχθεὶς, καὶ πρὸς τοῦ Πολυεύκτου στε-
φθεὶς, ἐς τὴν βασίλειον ἑστίαν παλινοστεῖ, παρὰ παντὸς τοῦ τε
στρατιωτικοῦ πλήθους καὶ τοῦ δημοτικοῦ εὐφημούμενος.

ε. Ἐντεῦθεν ἐκεχειρίας μικρᾶς καὶ ῥᾳστώνης δραξάμενος,
τὴν προσοῦσαν αὐτῷ κτῆσιν ἀνέκαθεν δίχα διαιρήσας· πολλὴ δέ
τις ἦν ἔκ τε τῶν προγόνων αὐτῷ καταλειφθεῖσα (λαμπροτάτου
γὰρ γένους ὁ Ἰωάννης κατήγετο, πρὸς μὲν πατρὸς εὐγενὴς τῶν P. 61
ἀφ' ἡλίου ἀνατολῶν, ἐκ δὲ μητρὸς ἀνεψιὸς Νικηφόρου τοῦ
αὐτοκράτορος), καὶ ἐκ τῶν βασιλικῶν δωρεῶν, ἣν διὰ τὰ ἐν
πολέμοις αὐτοῦ τρόπαια φιλοτίμως ἀπεφέρετο· τὴν μὲν τοῖς ὁμό-
ροις καὶ ἀγχιτέρμοσι γεωργοῖς ἀφῆκε διανείμασθαι· τὴν δὲ τῷ
καταντιπέρας Βυζαντίου τῶν λελωβημένων νοσοκομείῳ ἠφώρισε,
προσεπιδομήσας τοῖς παλαιοῖς δόμοις τῶν τῇ ἱερᾷ νόσῳ καμνόν-
των καὶ ἑτέρας οἰκίας. καὶ τούτων τὸν ἀριθμὸν πολυπλασιάσας,

14. διαιρήσας. Sic cod. 16. εὐγενὴς — ἀνατολῶν. Ex Iobo I. 3. καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν. 21. ἠφώρισε. Sic cod. Vid. notas.

coëgerat, ne quid rerum ecclesiasticarum nisi eius nutu sibi permitterent. Haec Polyeuctus Imperatori ut faceret iniunxit: alioquin non licere in sacram intrare aedem. Is, illa accepta conditione, tum Augustam aula amovit, et in insulam, quam Proten vocant, relegavit: tum Nicephori decretum synodo remisit, Leonemque Balantem ostendit, illum, nec alium quenquam, Nicephori percussorem interfectoremque fuisse affirmans. In hunc modum Ioannes in ecclesiam admissus, et a Polyeucto coronatus, in palatium reversus est, ab omni militari urbanaque multitudine faustis acclamationibus acceptus.

5. Inde exiguum aliquid induciarum ac remissionis nactus, quas iam pridem possidebat fortunas bipartito distribuit: nam magnae illi erant, partim a maioribus relictae (quippe cum Ioannes clarissima ortus prosapia esset, paterna stirpe nobilis ex partibus Orientis, materna Nicephoro Augusto consobrinus), partim Impp. donationibus auctae, effusa in ipsum largitate ob tanta illius bellica tropaea: harum itaque partem alteram finitimis ac vicinis agricolis distribui sivit: alteram nosocomio leprosorum e regione Byzantii sito assignavit, vetustis aedificiis eorum, qui sacro morbo laborabant, novas structuras adiiciens. Ipsorumque numero multiplicato, atque

A. M. 6478 Ind. 13 A. C. 969 I. I. 1 ἀνιών τε καὶ ὡς αὐτοὺς παραγινόμενος, διένεμέ τε τούτοις χρυσόν, καὶ τὰ ἡλκωμένα καὶ τῇ νόσῳ κατειργασμένα τούτων μέλη οὐκ ἀπηξίου θεραπεύειν κατὰ τὸ ἐνόν, καίτοι ἁβρότατος ὢν καὶ B λίαν φιλόκαλος. τοσοῦτον εἶχε τὸ φιλοικτόν τε καὶ συμπαθὲς πρὸς τὸ κάμνον τῆς φύσεως, παρὰ φαῦλον, ὅτε πως τούτοις ἀπήντα, τόν τε τῆς βασιλείας ὄγκον καὶ τὸν ἐκ τῆς ἁλουργίδος Fol. 299 v. ἀποτικτόμενον τῦφον τιθείς. φόρων τε ἀτέλειαν τῷ τῶν Ἀρμενιακῶν θέματι παρέσχεν· ἐκεῖθεν γὰρ ὥρμητο. τῆς δὲ ῥόγας ἐνστάσης, ἣν ἥ τε σύγκλητος καὶ τὸ τῆς πολιτείας εὐγενὲς καὶ ἐλλόγιμον παρὰ τῆς βασιλικῆς χειρὸς ἀποφέρεται, πᾶσι τοῖς ἠξιωμένοις ταυτησὶ τῆς δωρεᾶς, προῖκα τὴν ῥόγαν ἐπηύξησε, C φιλοτίμῳ καὶ φιλαγάθῳ γνώμῃ κινούμενος.

A. M. 6478 Ind. 13 A. C. 970 I. I. 1 ϛʹ. Ἤδη δὲ τῆς πρὸς Ὀρόντῃ μεγάλης Ἀντιοχείας πρὸς τοῦ αὐτοκράτορος Νικηφόρου ἁλούσης, καὶ τοῦ ἱεραρχοῦντος χηρευούσης (ὁ γὰρ τὸ πρότερον κατάρχων ταύτης Ἀγαρηνὸς τὸν πατριάρχην Χριστοφόρον, ἀποστολικὸν ἄνδρα τε καὶ θεσπέσιον, ἀνεῖλεν, ἀκόντιον κατὰ τῶν στέρνων αὐτοῦ διελάσας, ἔγκλημα τἀνδρὶ εἰς τὸν σωτῆρα Χριστὸν ἐπάγων εὐσέβειαν), ταύτης τὸν συνοικισμὸν προὐργιαίτερον ὁ βασιλεὺς Ἰωάννης ποιούμενος, διὰ σπουδῆς εἶχε καὶ πολὺς ἦν ἐγκείμενος, τῆς ἱεραρχίας ταύτης τὸν ἄξιον εὑρεῖν. ἀλύοντι δὲ τούτῳ καὶ γνωματεύοντι, ἐπὶ νοῦν ἦλ- D θεν ὁ ἐκ Κολωνείας Θεόδωρος, ἀνὴρ ἐξ ὀνύχων τὸν ἐρημικὸν καὶ ἀπράγμονα βίον αἱρετισάμενος, καὶ πολλοῖς ἱδρῶσιν ἀσκητικοῖς τὸ σαρκίον καταδαμάσας. τρίχινον γὰρ ῥάκος ἐνδιδυσκό-

18. εἰς τόν. Sic cod. Fort. hic deest τήν. 21. δέ. Fort. δή.

ad eos ascendens et accedens, aurum erogabat, ulcerosaque atque morbo confecta eorum membra fovere, quatenus licebat, non recusabat; idque cum maxime delicatus, lautusque cumprimis esset. Tanta nimirum miseratione ducebatur, laborantique naturae condolebat, si quando illis occurreret, maiestatem imperii et fastum purpurae flocci pendens. Vectigalium quoque immunitatem Armeniorum themati dedit: inde enim oriundus erat. Cumque roga instaret, quam senatus ac Reipublicae nobiles proceresque ex Imperat. manu reportare solent, omnibus qui illa largitione dignabantur, sponte rogam auxit, animo gloriae et virtutis studioso inductus.

6. Antiochia magna ad Orontem a Nicephoro Augusto capta, cum esset antistite sacrorum viduata (nam qui ante in ea dominatus erat Saracenus Christophorum patriarcham, apostolicum ac divinum virum, pilo per pectus adacto interfecerat, crimini ei dans pietatem in servatorem Christum), illius coniugio consulere cupiens, Ioannes Imperator magno studio ad id incumbebat, ut aliquem amplissimo huic sacerdotio dignum inveniret. Qua de re cum multum diuque cogitasset, venit ei in mentem Theodorus Coloniensis, vir qui a teneris unguiculis, solitaria ac quieta vita electa, multis asceticis sudoribus animi appetitiones edomuerat. Cilicia enim indu-

μενος, καὶ τούτῳ περικαλύπτων τὸν σίδηρον, ὃν ἔφερε τυραν- A. M. 6478
νῶν τὸ σωμάτιον, οὐ πρότερον αὐτὸ ἀπεσκευάζετο, πρὶν ἂν Ind. 13 A. C. 970
διεῤῥύη τε ὅλον, καὶ εἰς οὐδὲν ἐχρημάτιζε. λέγεται δέ, τὸν τοι- I. I. 1
οῦτον μοναστὴν Νικηφόρῳ τε πρότερον, καὶ αὖθις Ἰωάννῃ, τὴν
τῆς βασιλείας θεοκλυτῆσαι ἀνάῤῥησιν. τοῦτον τῷ Βυζαντίῳ τότε
παρουσιάζοντα ὁ Ἰωάννης προσάγει τῷ Πολυεύκτῳ· ὁ δέ, ἅμα
τοῖς ἐνδημοῦσι τῶν ἐπισκόπων τὸν ἄνδρα ἐξητακώς, ἐφευρὼν
τε τὴν μὲν θύραθεν παιδείαν οὐ πάνυ ἠκριβωκότα, τήν γε μὴν P. 62
θείαν καὶ ἡμετέραν ἐξησκημένον φιλοτιμότατα, χρίει αὐτὸν πα-
τριάρχην Ἀντιοχείας. ὁ δὲ Πολύευκτος, μικρὰς ἡμέρας ἐπιβιοὺς
μετὰ τὴν Θεοδώρου προχείρισιν, μεταλλάττει τὸν βίον, μνη-
μεῖα τῇ ἐκκλησίᾳ καταλιπὼν τὰς τῶν ἀρετῶν εἰκόνας, καὶ τὴν
γνῶσιν τῆς θείας καὶ ἀνθρωπίνης σοφίας καὶ ἐπιστήμης, ἣν εἰς
ἄκρον ἐξήσκησε. τοῦ δὲ Πολυεύκτου ἐπὶ τρισκαίδεκα ἐνιαυτοὺς
τὰς τῆς πατριαρχίας ἡνίας ἰθύναντος, καὶ πρὸς τὴν μακαρίαν
μεταναστάντος κατάπαυσιν, σπουδὴ ἐξεγένετο τῷ αὐτοκράτορι
Ἰωάννῃ, εἰς τὸν τῆς ἱεραρχίας θρόνον ἄνδρα ἐπιβιβάσαι τὸν
ἀρεταῖς καὶ τρόποις τῶν πολλῶν ὑπερφέροντα. τῇ γοῦν ὑστε- B
ραίᾳ ἐς τὴν βασίλειον αὐλὴν τοὺς ἱεράρχας εἰσκαλεσάμενος καὶ
τὴν σύγκλητον, ἔφησε τοιαῦτα·

ζ. „Μίαν ἀρχὴν ἐξεπίσταμαι, τὴν ἀνωτάτην καὶ πρώτην, Fol. 300 r.
ἥτις ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸ τοῦ ὁρατοῦ καὶ ἀοράτου
κόσμου παρήγαγε σύστημα. δύο δὲ τὰς ἐν τῷδε τῷ βίῳ γινώσκω
καὶ τῇ κάτω περιφορᾷ, ἱερωσύνην καὶ βασιλείαν, ὧν τῇ μὲν

11. προχείρησιν cod.

tus tunicula, hanc ferro, quod ad cruciandum corpus ferebat, superiniectam, deponere non solebat, priusquam omnino difflueret, ad nihilumque redigeretur. Idem dicitur monachus Nicephoro primum, deinde Ioanni, imperium praedixisse. Hunc, cum tunc Constantinopoli esset, Ioannes adducit ad Polyeuctum: qui una cum episcopis in urbe praesentibus viri scientiam examinans, ubi saecularibus quidem litteris haud ita excultum, in divinis vero et nostris studiosissime exercitatum invenit, consecrat eum patriarcham Antiochiae. Porro Polyeuctus, cum paucos dies a Theodori ordinatione superstes fuisset, ex humanis migrat, pro monumento ecclesiae virtutum simulacris, divinaeque et humanae sapientiae scientiaeque notitia, qua ad summum excultus fuit, relictis. Polyeucto annos tres et decem patriarchatus gubernacula moderato atque ad beatam vitam translato, operam dedit Ioannes Imperator, ut in sacerdotali throno virum virtutibus atque moribus multitudini antestantem collocaret. Postridie igitur, convocatis in palatium episcopis et senatu, dicere sic est exorsus:

7. „Equidem unam potestatem cerno, summam illam et principem, quae ex nihilo ad essentiam produxit visibilis et invisibilis mundi fabricam. Sed in hac vita et in terrestri hoc errore duas novi, sacerdotium

A. M. 6478 Ind. 13 τὴν τῶν ψυχῶν ἐπιμέλειαν, τῇ δὲ τὴν τῶν σωμάτων κυβέρνησιν ἐνεχείρισεν ὁ δημιουργὸς, ὡς ἂν μὴ τούτων χωλεύσοιτο μέρος, C ἄρτιόν τε καὶ ὁλόκληρον διασώζοιτο. τοίνυν, ἐπεὶ τὸ χρεὼν ὁ τὴν ἐκκλησίαν ἰθύνων ἐξέτισεν, ἔργον μὲν τούτου τοῦ ἀλαθήτου πέφυκεν ὀφθαλμοῦ, τὸν κατευμεγεθοῦντα πάντων εἰς τὴν λειτουργίαν τῶν θείων παραγαγεῖν, ᾧ καὶ πρὸ τοῦ πλασθῆναι τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων διέγνωσται. αὐτὸς δὲ, οὗ πεῖραν ἀνδρὸς ἀναμφίλεκτον ἐκ τοῦ μακροῦ χρόνου παρείληφα, τοῦτον ἐπὶ τῶν θώκων ἀναβιβάζω τῶν ἐκκλησιαστικῶν· ὡς μὴ λάθοι κατὰ γωνίαν τὸν βίον διηντληκὼς ἄνθρωπος παντοδαποῖς προτερήμασι κλεϊζόμενος, ᾧ γε καὶ τὸ προορατικὸν ἐκ Θεοῦ δεδώρηται χάρισμα. πολλὰ γάρ μοι τῶν μελλόντων ἀνεῖλε θείᾳ ὀμφῇ, ἐκβάντα ἐν τοῖς καιροῖς αὐτῶν." εἶπεν ὁ βασιλεὺς, καὶ D εἰς μέσον παρήγαγε τὸν ἀναχωρητὴν Βασίλειον, ὃς ἐξ ὀνύχων τὸν μονήρη βίον αἱρετισάμενος, συχνοὺς ἀγῶνας ἱδρώτων ἀσκητικῶν ἐν ταῖς τοῦ Ὀλύμπου ἀκρωρείαις ἐπεδείξατο. τοῦτον ἐς τὴν πατριαρχικὴν ἑστίαν ἀνιέναι παρεκελεύσατο· τῇ δὲ ἐπιούσῃ (αὕτη δὲ ἦν ἀναστάσιμος ἡμέρα, καθ' ἣν τὴν ὀρθόδοξον πίστιν περὶ τῆς τῶν σεπτῶν εἰκόνων προσκυνήσεως οἱ θεῖοι πατέρες ἐκράτυναν) τὸ τῆς ἀρχιερωσύνης ὁ Βασίλειος χρίσμα δέχεται, καὶ οἰκουμενικὸς πατριάρχης ἀνακηρύττεται.

η'. Ἰωάννῃ δὲ τῷ αὐτοκράτορι πολλαῖς ταῖς φροντίσιν ἐτα- P. 63 λαντεύετο ἡ διάνοια, ποίᾳ δὴ προτέρᾳ δοίη τὴν ῥοπὴν ἐν τριόδῳ ἀπειλημμένος, καὶ μὴ παρενεχθείη τοῦ δέοντος. ἥ τε γὰρ σπάνις

atque imperium, quarum illi quidem animarum curam, huic corporum regimen tradidit opifex aedificatorque mundi, ut neutra pars his moderatoribus egeret, sed integra et incorrupta conservaretur. Nunc, quoniam fatale debitum is qui ecclesiam regebat, exsolvit, primo quidem ad illum oculum pertinet, cui abditum est nihil, et cui, vel antequam concepta sunt, studia hominum innotescunt, ut vir omnibus praestans ad rerum divinarum administrationem producatur. Ego vero virum, cuius a longo tempore indubitatum periculum feci, hunc in ecclesiasticam sedem proveho: ne lateat in angulo vitam tolerans vir omnis generis virtutum excellentiis clarus, cui et praenoscendi futura Deus donum concessit. Multa enim mihi eius generis divino edidit oraculo, quae temporibus suis evenerunt." Hac oratione habita, Imperator Basilium solitarium in medium produxit, qui, a tenero arrepta vita monastica, laborum asceticorum crebra certamina in verticibus Olympi ediderat. Hunc in patriarchales aedes iussit demigrare. Postridie eius diei (qui erat ea dominica, qua rectam fidem de cultu venerandarum imaginum sanxerunt divini patres) Basilius summi sacerdotii unctionem accipit, atque oecumenicus patriarcha renunciatur.

8. Ioanni vero Imperatori multis curis anceps pendebat animus, ad quam prius incumberet in trivio constitutus, neque a recto consilio aberra-

τῶν ἀναγκαίων καὶ ὁ λιμὸς ἐκβαθύνας, ἐπὶ τριετῆ καιρὸν τὴν A. C. 970 Ῥωμαϊκὴν ἀρχὴν ἐπεβόσκετο· ἐπέκειτο δὲ καὶ ἡ Ῥωσσικὴ κίνησις I. I. 1 οὐ χρηστὰς ὑποτιθεμένη ἐλπίδας, καὶ ἡ τῶν Καρχηδονίων καὶ Ἀράβων κατὰ τῆς ἐπὶ Συρίαν Ἀντιοχείας, ἄρτι προσκτηθείσης Ῥωμαίοις, καταδρομή. τὸ μὲν οὖν ἄμαχον κακὸν τοῦ λιμοῦ τῇ σιταγωγίᾳ, ἣν ἐκ τῶν ἁπανταχῇ ἐμπορίων προνοίᾳ διὰ τάχους συνήγαγε, διέλυσε, στήσας τὴν νομὴν τοῦ τοσούτου δεινοῦ. τὴν δέ γε ὁρμὴν τῶν Ἀγαρηνῶν τῇ τῶν Ἑῴων στρατευμάτων παρατάξει ἀνεχαίτισε, Νικολάου τοῦ Πατρικίου στρατηγοῦντος· ὅστε B οἰκεῖος ὢν σπάδων τῷ βασιλεῖ, ἐμπειρίαν ἐκ πολλῆς μελέτης τῶν ἀγώνων ἐκέκτητο. πρὸς μέντοι τὸν Σφενδοσλάβον, τὸν τῆς Ῥωσσικῆς πανοπλίας κατάρχοντα, ἔγνω διακηρυκεύεσθαι. καὶ δὴ Fol. 300 v. πρέσβεις ὡς αὐτὸν ἐκπέμπει, παραγγέλλων αὐτῷ, τὸν πρὸς τοῦ αὐτοκράτορος Νικηφόρου ἐπὶ τῇ καταδρομῇ τῶν Μυσῶν ὑπεσχημένον ἀνειληφότα μισθὸν, ἐπὶ τὰ σφῶν ἤθη καὶ τὸν Κιμμέριον μετανίστασθαι Βόσπορον, τὴν δὲ Μυσίαν παραλιπεῖν, Ῥωμαίοις προσήκουσαν, καὶ ἀπόμοιραν τελοῦσαν Μακεδονίας ἀνέκαθεν. λέγεται γὰρ Μυσοὺς ἀποίκους τῶν ὑπερβορέων Κοτράγων, C Χαζάρων τε καὶ Χουμάνων ὄντας, τῶν οἰκείων μεταστῆναι ἠθῶν· ἀλωμένους δὲ κατὰ τὴν Εὐρώπην, ταύτην κατειληφέναι καὶ κατοικῆσαι, Κωνσταντίνου, ᾧ Πωγωνάτος ἐπίκλησις, τότε Ῥωμαίων ἡγεμονεύοντος· ὁμωνύμως δὲ τὴν χώραν ἀπὸ Βουλγάρου (τοῦ σφῶν φυλάρχου) Βουλγαρίαν καλέσαι.

19. Χαράρων et Χουννάβων cod.

ret. Tunc enim annonae penuria, altaque fames iam triennium Romanum imperium depascebatur: imminebat Russorum motus, haud laetas spes ostendens, et Carthaginensium atque Arabum adversus Antiochiam Syriae incursus, quae Romanae ditioni nuper accesserat. Sed famis insuperabile malum commeatu ex omnibus ubique emporiis diligenter celeriterque subvecto dissolvit, gravis adeo mali vi inhibita. Saracenorum impetum Orientalium copiarum acie repressit, Nicolao Patricio duce: is, cum domesticus spado esset Imperatoris, multa exercitatione peritiam rei bellicae erat nactus. Cum Sphendoslabo, Russici exercitus principe, agere de pace statuit. Ita missis ad eum legatis denunciat, ut, accepta mercede invasionis Moesiacae a Nicephoro promissa, ad suas sedes et Cimmerium Bosporum se recipiat, Romanis Bulgariam, utpote ad ipsos attinentem, et quae antiquitus Macedoniae portio fuisset, relinquat. Nam dicuntur Bulgari, ex gentibus supra aquilonem habitantibus, Cotragis, Chazaris et Comanis, profecti, sedes patrias reliquisse, errantesque per Europam cepisse habitasseque eos fines tempore quo apud Romanos Constantinus cognomento Pogonatus imperabat, regionemque a Bulgaro (is genti praeerat) Bulgariam nominasse.

A. M. 6478 Ind. 13 θ'. Ἄιδεται καὶ ἕτερος περὶ τούτων λόγος, ὧδέ πῃ ἔχων· Ἰουστινιανοῦ, τοῦ Ῥωμαίων αὐτοκράτορος, ὑπὸ Λεοντίου ἐκτμηθέντος τὴν ῥῖνα καὶ κατὰ τὴν Χερσῶνα περιορισθέντος, ἐπεί- D περ ἐκεῖθεν αὐτῷ διαδράναι πολυτρόπως ἐγένετο, ἐς τὴν Μαιῶτίν τε ἀφικέσθαι, καὶ τὸ Μυσῶν ἔθνος προσεταιρίσασθαι, ἐφ' ᾧ, τήν τε βασιλείαν αὐτῷ ἀνασώσασθαι, καὶ μισθοὺς μεγάλους ἐναπολήψεσθαι. τοὺς δὲ ἕψεσθαί τε αὐτῷ, καὶ πρὸς αὐτοῦ, τῆς βασιλείας αὖθις ἐπειλημμένου, εἰληφέναι τὴν χώραν, ὅσην ὁ Ἴστρος ἐντὸς Μακεδόνων περιορίζει· καὶ τὴν μετοίκησιν ταύτῃ ποιήσασθαι, καὶ πολλὰ πολέμων ἔργα καὶ ἀνδραποδισμῶν προξενῆσαι Ῥωμαίοις, πολεμησείοντας ἀεὶ, καὶ τὰ Θρᾳκῷα κατατρέχοντας κλίματα. Ῥωμαίους δὲ ἀντεπιέναι τούτοις· τοὺς δὲ τὴν ἐκείνων οὐχ ὑφισταμένους ἀλκὴν, ἐπ' ἀμφιλαφῶν χωρίων λό- P. 64 χμας καταδύεσθαι, καὶ ταῖς δυσχωρίαις τούτους καταγωνίζεσθαι. πολλῶν τοιγαροῦν ἐκ τοῦ κατ' ἐκείνου καιροῦ καταῤῥαγέντων πολέμων, καὶ γενναίων στρατηγῶν ὀλωλότων, Νικηφόρου τε, τοῦ παλαιτάτου αὐτοκράτορος, πεσόντος πρὸς τῶν Μυσῶν, παρὰ μόνου Κωνσταντίνου λέγεται Κοπρωνύμου ἡσσηθῆναι Μυσοὺς, καὶ αὖθις παρὰ τοῦ ἐγγόνου αὐτοῦ Κωνσταντίνου τοῦ τῆς Αὐγούστης Εἰρήνης υἱοῦ, καὶ τὰ νῦν δὲ πρὸς Ἰωάννου τοῦ αὐτοκράτορος, ὃς τὰς τῶν Μυσῶν πόλεις αἰχμῇ παρεστήσατο· οὐχ ἱστόρηται δέ τις Ῥωμαίων ἕτερος, τούτους ἐπὶ τῆς σφετέρας γῆς καταγωνισάμενος. ἀλλὰ περὶ μὲν τούτων ἅλις.

7. ἕψεσθαι. Sic cod. Fort. ἑπέσθαι. 14. τούτοις cod. Sed vide supra 13. D. 14. B. 26. D. et paulo inferius lin. 12. item 65. C. Linea autem proxima forte scribendum κατ' ἐκεῖνο.

9. Commemoratur etiam altera de illis narratio, eiusmodi: Iustinianum, Romanorum Augustum, a Leontio naso amputato Chersonem relegatum, postquam, dolo inde evadendi facultatem nactus, ad Maeotidem appulisset, Bulgarorum nationem ad suas partes pertraxisse, „restituerent sibi imperium, praemia huius rei magna percepturos." Secutos Bulgaros ab ipso, cum iterum in imperium venisset, accepisse regionem, quantam Ister cis Macedoniam ambit: huc migrationem fecisse, moxque multa bellorum incommoda, hominibus in servitutem raptis, induxisse Romanis, animis semper ad bellum erectis, Thraciae agros incurrentes. Romanos quidem ivisse contra; sed Bulgaros, quod illorum virtutem sustinere non possent, spatiis silvestribus in insidias se abdidisse, fraudeque locorum nostros vicisse. Cumque iam usque ab illius temporibus multa ibi bella commissa sint, fortibus ducibus occisis, ita ut Nicephorus quoque antiquior ille Augustus in acie adversus Bulgaros caderet, a solo Constantino Copronymo, deinde ab huius nepote Constantino, Irenes Augustae F., denique nostra memoria ab Ioanne Augusto, qui Moesorum oppida vi expugnavit, victos Bulgaros perhibent: neque ullus alius Romanorum exstitisse traditur, qui illos in ipsorum regione debellarit. Sed de his satis.

ι'. Ὁ δὲ Σφενδοσλάβος, ταῖς κατὰ τῶν Μυσῶν νίκαις ἐπὶ A. C. 970 μέγα αἰρόμενος, καὶ τῇ βαρβαρικῇ αὐθαδείᾳ ὑπέροπλα βρενθυό- I. I. 1 B μενος (ἤδη γὰρ τὴν χώραν βεβαίως ἐκέκτητο), περιδεεῖς καὶ καταπλῆγας Μυσοὺς τῇ ἐμφύτῳ ἀπηνείᾳ κατεργασάμενος (φασὶ γὰρ τὴν Φιλίππου πόλιν τῷ πολεμεῖν ἑξελὼν, δισμυρίους τῶν ἐν τῷ ἄστει ληφθέντων ὠμῶς καὶ ἀπανθρώπως ἀνασκολοπίσαι, καὶ ταύ- Fol. 301 r. τῃ τὸ ἀντῖξουν ἅπαν ἐκδειματῶσαι καὶ θεῖναι ὑπόσπονδον), ὑπεραύχους καὶ αὐθάδεις τὰς ἀποκρίσεις τοῖς πρέσβεσι Ῥωμαίων ἐξέφερε· „μὴ γὰρ ἀφέξεσθαι τῆς χώρας, εὐδαίμονος οὔσης, εἰ μὴ ἐπὶ χρημάτων πολυταλάντων καταβολῇ, καὶ ἀπεμπολήσει τῶν τε πόλεων C καὶ τῶν ἀνδραπόδων, ὅσα τῷ πολεμεῖν ἐπεκτήσαντο. εἰ δ' οὐ βούλεσθαι Ῥωμαίους ταῦτα καταβαλεῖν, ἀλλὰ τῆς Εὐρώπης θᾶττον ἀφίστασθαι, ὡς μὴ προσηκούσης αὐτοῖς, καὶ πρὸς τὴν Ἀσίαν μετασκευάζεσθαι· ἄλλως γὰρ μὴ οἴεσθαι, Ταυροσκύθας εἰς σπονδὰς Ῥωμαίων ξυμβήσεσθαι." Ἰωάννης δὲ ὁ αὐτοκράτωρ, τὰς τοιαύτας ἀποκρίσεις τοῦ Σκύθου δεξάμενος, καὶ αὖθις τοῖς προαπεσταλμένοις ἀμείβεται τάδε· „τὴν ἐκ πατέρων ἐς ἡμᾶς διαβᾶσαν εἰρήνην ἀλώβητον καθ' ἣν Θεὸς ἐμεσίτευσεν, οὐ δεῖν οἰόμεθα λύειν αὐτοί· ἅτε πρόνοιαν εἶναι πιστεύοντες τὴν τὸ πᾶν διευθύ- D νουσαν, καὶ τὰ Χριστιανῶν πρεσβεύοντες ἔθιμα. διὰ ταῦτα εἰσηγούμεθά τε ὑμῖν ὡς φίλοις, καὶ συμβουλεύομεν, ἐξαυτῆς ἀπαίρειν τῆς μηδέν τι προσηκούσης χώρας ὑμῖν, καὶ μὴ διαμέλλειν, μηδ' ἀναδύεσθαι, εἰδότας, ὡς εἰ μὴ καταπειθεῖς ταύτῃ τῇ ὀνησιφόρῳ ξυμβουλῇ γένησθε, οὐχ ἡμᾶς, αὐτοὺς δὲ, λύειν τὰς

10. Sphendoslabus, Bulgarica victoria elatus, et barbara audacia magnos spiritus sumens (iam enim firme regionem tenebat), cum timidos Bulgaros attonitosque insita crudelitate reddidisset (nam, cum Philippopolim bello cepisset, hominum millia viginti in oppido comprehensorum crudeliter more barbaro palis suffixisse dicitur, sicque, quoscunque ad illum diem restitissent, vehementer perculsos in deditionem accepisse), superba et audacia responsa legatis Romanorum dedit: „Nunquam fore, ut regione fertili se abstineret, nisi post grandis pecuniae pensionem, factaque redemtione oppidorum et captivorum, quotquot bello cepissent. Quam si pecuniam Romani pendere nollent, quin decederent illico ex Europa, in quam ius haberent nullum, in Asiam transirent: non aliter sese putare, Russos cum Romanis pacem facturos." Ioannes Augustus ubi a Scytha hoc responsum tulerat, per remissos legatos haec renunciat: „Pacem iam usque a patrum tempore ad nos perductam, quamque inconcussam interventu suo Deus conservavit, minime a nobis arbitramur dissolvi debere: quod credimus providentiam esse cuncta administrantem, quodque Christianorum statuta profitemur. Quare suademus vobis ut amicis, et hortamur, e provincia neutiquam ad vos pertinente statim abeatis, sine ulla mora aut recusatione, persuasissimum habentes, salutari huic consilio si minus vos obsequentes exhibueritis, non nos, sed vosmetipsos, turbare pacem anti-

A. M. 6478 Ind. 13 ἀνέκαθεν συντεθείσας σπονδάς. καὶ μή γε δόξωμεν μεγαλαύχους ταύτας τὰς ἀποκρίσεις ποιεῖν. ἐν Χριστῷ γὰρ θαῤῥοῦμεν τῷ ἀθανάτῳ Θεῷ, ὡς, εἰ μὴ τῆς χώρας ἀπέλθοιτε, καὶ ἄκοντες παρ' ἡμῶν ταύτης ἀπελαθήσεσθε. οἶμαι γάρ σε μὴ λεληθέναι P. 65 τὸ τοῦ σοῦ πταῖσμα πατρὸς Ἴγγορος, ὅστε τὰς ἐνόρκους σπονδὰς παρὰ φαῦλον θέμενος, σὺν μεγάλῳ κινήματι καὶ μυρίοις σκάφεσι κατὰ τῆς βασιλευούσης ἐκπλεύσας, μόλις σὺν δέκα λέμβοις ἐς τὸν Κιμμέριον ἀφίκετο Βόσπορον, αὐτάγγελος τῶν οἰκείων γεγονὼς συμφορῶν. καὶ παρίημι τὸν αὖθις οἴκτιστον μόρον ἐκείνου, παρὰ τοὺς Γερμανοὺς ἐκστρατεύσαντος, καὶ πρὸς ἐκείνων ληφθέντος, καὶ φυτῶν στελέχεσι προσδεθέντος, καὶ εἰς δύο διαμερισθέντος τμήματα. καὶ σὲ γοῦν οὐκ οἶμαι πρὸς τὴν σὴν ἐπαναζεῦξαι πατρίδα, εἴ γε τὴν Ῥωμαϊκὴν παντευχίαν κατὰ σοῦ B χωρεῖν ἀναγκάσειας, ἀλλ' αὐτόθι διαφθαρήσεσθαι πανσυδεὶ, ὡς μηδὲ πυρφόρον ἐς Σκυθίαν ἀφικέσθαι, τὰς κατασχούσας ὑμᾶς ἀπευκταίους ἀπαγγελοῦντα τύχας." ὁ δὲ Σφενδοσλάβος, ἐπὶ ταῖς τοιαύταις ἀποκρίσεσι σχετλιάσας, τῇ τε βαρβαρικῇ μανίᾳ καὶ ἀπονοίᾳ παραφερόμενος, ἀντέλεξε τοιαῦτα· „οὐδεμίαν ἀνάγκην τὸν αὐτοκράτορα Ῥωμαίων ὡς ἡμᾶς ἀφικέσθαι ὁρῶ κατεπείγουσαν· διὸ μὴ κάμῃ, μέχρι τῆσδε τῆς γῆς ἀφικόμενος· Fol. 301 v. αὐτοὶ γὰρ ὅσον οὔπω πρὸ τῶν τοῦ Βυζαντίου πυλῶν πηξόμεθα τὰς σκηνὰς, καὶ καρτερὸν χάρακα ταύτῃ περιβαλοῦμεν, ἐξιόντα τε τοῦτον, εἴ γε καὶ καρτερήσει πρὸς τοσούτων πόνων διαγωνί-

1. Fort. μεγαλαύχως. 23. Leg. τοσοῦτον πόνον.

quitus confectam. Neque arrogantius hoc nos responsum reddere putandum est. Nam in Christo Deo immortali futurum esse confidimus, uti, nisi sponte ex regione decedatis, vel inviti inde a nobis eiiciamini. Nec te oblitum existimo cladis patris tui Ingoris, qui cum, iuratas pactiones pro nihilo putans, ingenti apparatu magnaque lintrium vi infesta navigatione petiisset reginam urbium, ipse domesticae cladis nuncius factus, aegre cum naviculis decem ad Cimmerium Bosporum est reversus. Praetereo luctuosum eius interitum, cum bello Germanis illato ab ipsis captus est, ad arborumque truncos alligatus in duas partes discerptus. Neque teipsum, si Romanam armaturam contra te proficisci coëgeris, domum reversurum esse reor, sed in illa ipsa regione una cum omnibus copiis deletum iri adeo, ut ne una quidem ignifera navis in Scythiam sit elapsura, quae diros casus vestros nunciet." Sphendoslabus, stomachatus tali responso, barbaricoque furore atque insania abreptus, ita respondit: „Nullam equidem necessitatem video Imperatorem Romanorum cogentem, ut ad nos veniat; quapropter ne defatigetur, in hanc terram proficiscens: namque ipsi mox ad Byzantii portas collocabimus tabernacula, munito vallo urbem cingemus, ipsum erumpentem, si pergit tantae aerumnae obniti, fortiter excipiemus, factis-

σασθαι, γενναίως ὑποδεξόμεθα, διδάξομέν τε τοῖς ἔργοις αὐ- A. C. 970
τοῖς, ὡς οὐ βάναυσοί τινες ἀποχειροβίωτοι, ἀλλ' αἱμάτων ἄν- L. I. 1 C
δρες τυγχάνομεν, τοῖς ὅπλοις τὸ δυσμενὲς καταγωνιζόμενοι· εἰ
καὶ αὐτὸς ἐξ ἀγνοίας κατὰ τὰ σκιατραφοῦντα γύναια τὴν Ῥωσσι-
κὴν ἡγεῖται ἀλκὴν, καὶ, ὥς τινα νήπια ὑπομάζια μορμολυκείοις
τισὶ, ταύταις ταῖς ἀπειλαῖς ἡμᾶς πειρᾶται δεδίττεσθαι."

ια'. Τούτων τῶν ἀπονενοημένων τοῦ ἐκεῖθεν λόγων ὁ βασι-
λεὺς διενηχηθεὶς, ἔγνω, μὴ διαμέλλειν, ἀλλὰ πάσῃ σπουδῇ τὰ
ἐς τὸν πόλεμον ἐξαρτύεσθαι, ὡς ἂν προτερήσοι τὴν πρὸς ἐκεῖνον
ἄφιξιν, ἐπιτειχίσοι τε τούτῳ τὴν κατὰ τῆς βασιλευούσης ἐπίθε-
σιν. εὐθὺς οὖν ἴλην γενναίων καὶ νεανικῶν ἀνδρῶν ἐκλεξάμενος,
ἀθανάτους τε τούτους κατονομάσας, περὶ αὐτὸν εἶναι διεκελεύ- D
σατο. ἐντεῦθεν τὸν Μάγιστρον Βάρδαν, ᾧ Σκληρὸς ἡ ἐπίκλησις,
ὁμαίμονα τῆς ἀποιχομένης Μαρίας, τῆς τοῦ τοιούτου βασιλέως
συνεύνου, τυγχάνοντα, δραστήριον ἄνδρα καὶ τὴν ἀλκὴν γεν-
ναιότατον· καὶ τὸν Πατρίκιον Πέτρον, τὸν πρὸς τοῦ αὐτοκρά-
τορος Νικηφόρου στρατοπεδάρχην προχειρισθέντα διά τε τὴν
προσοῦσαν αὐτῷ ἀρετὴν, καὶ τὰ κατὰ τοὺς πολέμους ἀνδραγα-
θήματα (λέγεται γάρ ποτε Σκυθῶν τὴν Θρᾴκην καταδραμόντων,
ἐπεὶ ἐξ ἀντιπάλου τὸν Πέτρον, καίτοι τομίαν ὄντα, μετὰ τοῦ
συνεπομένου στίφους ξυνέβαινεν αὐτοῖς ἀντιτάττεσθαι, τὸν τῶν P. 66
Σκυθῶν ἀγὸν, πελώριον ἄνδρα, καὶ ἐς τὸ ἀσφαλὲς τεθωρακι-
σμένον, παρὰ τὸ μεταίχμιον ἐξιππάσασθαι, κοντὸν ἐπιμήκη κρα-
δαίνοντα, προσκαλεῖσθαί τε τὸν βεβουλημένον αὐτῷ ἀντιτάττε-

2. κάνανσοι cod. 24. Fort. προκαλεῖσθαι.

que ipsis docebimus, non ex faece sellulariorum manibusque victitantium nos esse, sed viros sanguinis, armis hostes debellantes; si quidem iste per imprudentiam ex mulierculis per umbracula latitantibus Russicum robur existimat, utque lactentes pueros larvis nescio quibus, huiusmodi nos minis terrere tentet."

11. Imperator, cum illius tam vesanum responsum auribus accepisset, intellexit, non cunctandum esse, sed summo studio omnia ad bellum paranda, ut illius invasionem praeveniret, eique aditum praecluderet ad reginam urbium. Statim turma generosorum adolescentium eligitur: hos immortales nominat: ad latus sibi praesto esse iubet. Dein Magistrum militiae Bardam, cui Sclerus cognomen, fratrem Mariae, quae Imperatori nupta ante decesserat, virum strenuum singulari virtute: hunc et Petrum Patricium, iam a Nicephoro Augusto ob eius virtutem pulcherrimaque in bellis edita facinora castris praefectum (nam, cum Scythis Thraciam incursantibus cum legione sua Petrus, quamvis spado, se obiecisset, Scytharum dux, homo immani corpore, bene loricatus, trabalem hastam contorquens, in medium intra duas acies equo provectus ad pugnam provocasse dicitur, qui cum

A. M. 6478 Ind. 13 σθαι· τὸν δὲ Πέτρον, ἀλκῆς καὶ μένους παρ' ὑπόνοιαν ὑποπλησθέντα, τὸν ἵππον τε σφοδρῶς κεντρίσαι τοῖς μύωψι, καὶ τὸ δόρυ κραταιῶς διαγκυλησάμενον, ἀμφοτέραις ὦσαι κατὰ τοῦ στέρνου τὸν Σκύθην· οὕτω δὲ γενέσθαι τὴν ἀντέρεισιν καρτερὰν, ὡς ἀντιτορῆσαι, καὶ διαμπερὲς κατὰ τὸ μετάφρενον διαπτῆναι, μὴ ἀντισχόντα τὸν ἀλυσιδωτὸν θώρακα, ἀλλ' ἄναυδον τὸν πε- B λώριον ἐκεῖνον προσαραχθῆναι τῇ γῇ· καὶ τούτῳ τῷ καινῷ καὶ ξένῳ θεάματι καταπλαγῆναί τε τοὺς Σκύθας, καὶ πρὸς φυγὴν ἀπιδεῖν)· τούτοις τοῖς στρατηγοῖς παρήγγειλεν ὁ βασιλεὺς, τὰς δυνάμεις ἀνειληφότας ἐπὶ τὴν ὅμορον καὶ ἀγχιτέρμονα τῆς Μυ- Fol. 302 r. σίας διαβαίνειν· ἐκεῖ τε διαχειμάζειν, καὶ γυμνάζειν τὴν στρατιὰν, καὶ τὸν χῶρον περιέπειν, ὡς μή τις εἴη τούτῳ λώβη ταῖς ἐκδρομαῖς τῶν Σκυθῶν· ἔς τε τὰς ἐπαύλεις καὶ τὰ ἤθη τῶν δυσμενῶν διγλώσσους ἄνδρας ἐκπέμπειν Σκυθικὸν ἠμπισχημένους ἱματισμὸν, ὡς τὰ σφῶν διαβούλια γνοῖεν, καὶ βασιλεῖ ταῦτα κατάφωρα γίγνοιντο. τὴν τοιαύτην οὖν φάσιν πρὸς τοῦ βασιλέως C εἰληφότες, τὴν Εὐρώπην καταλαμβάνουσιν.

ιβ'. Ταυροσκύθαι δὲ, τὴν τούτων ἐνωτισθέντες διάβασιν, ἀπόμοιραν τῆς σφετέρας στρατιᾶς διαιρέσαντες, Οὔννων τε καὶ Μυσῶν πλῆθος ταύτῃ προσεταιρίσαντες, κατὰ Ῥωμαίων χωρεῖν ἐκπεπόμφεσαν. ἄρτι δὲ τὴν τούτων ἐπήλυσιν ὁ Μάγιστρος Βάρδας αἰσθόμενος, καὶ ἄλλως γενναῖός τε καὶ ῥέκτης τυγχάνων ἀνὴρ, τότε δὲ σφαδάζων θυμῷ καὶ ῥώμης ὁρμῇ, τοὺς ἀμφ' αὑ-

5. διαπτῆναι. Ex Iliad. E. 99. 13. ἤθη. Possis quoque scribere hic πλήθη, quod est infra D. lin. 1. Tamen nihil mutavi. 23. ἀφ' αὐτὸν cod.

eo congredi vellet: Petrum, robore assumto animique magnitudine, quae omnium exspectationem vinceret, calcaribus equo acriter admotis et lancea fortiter vibrata, ambabus eam manibus in Scythae pectus adegisse; itaque validum fuisse ictum, ut perforato corpore cuspis ad dorsum pervolaret, hamis conserta lorica haudquaquam prohibita, immanisque hostis nulla voce emissa humi sterneretur: quo novo miroque spectaculo territos Scythas fugam respexisse): hos duces Imperator iussit assumtis numeris in vicina et finitima descendere Moesiae, iisque in locis hiberna constituere: copias diligenter exercerent, obirent regionem, ne quid calamitatis ex Russorum incursionibus acciperet: per stationes et loca hostium viros utramque linguam callentes emitterent Scythico more vestitos, qui de eorum consiliis cognoscerent, unde ea patefierent Imperatori. Eiusmodi mandatis ab Imperatore acceptis, Europam legati ingrediuntur.

12. Russi, cum de eorum transitu audissent, partem exercitus, cui Hunnorum Bulgarorumque multitudinem adiunxerant, in Romanos praemittunt. Audito eorum adventu, Bardas Magister militum, cum et alias virum strenuum fortemque se exhibuisset, tum maxime ea occasione magno animo impetuque incitatus, coacto electorum circa se agmine, signa movit,

τὸν λογάδας συνειληφὼς, πρὸς τὴν τῶν ἐναντίων ἠπείγετο συμπλοκήν. A. C. 970 I. I. 1 καὶ δὴ Ἰωάννην τὸν Ἀλακᾶ εἰσκαλέσας, εἰς κατασκοπὴν ἀπέστειλεν, ἀθρῆσαί τε τοὺς Σκύθας, καὶ τὸ τοῦ πλήθους D εἰκάσαι ποσὸν, καὶ καθ' ὃν αὐλίζοιντο τόπον, καὶ ὅ,τι πράττοιεν· πέμπειν τε τὴν ταχίστην ὡς αὐτὸν, καὶ πάντα διαγγέλλειν, ὡς συσκευάσοι, καὶ ἐκτάξοι τὴν στρατιὰν πρὸς τὸν πόλεμον. Ἰωάννης δὲ, τοὺς ἑπομένους λογάδας ἀνειληφὼς, κατὰ τάχος ἐπὶ τοὺς Σκύθας ἱππάσατο· τῇ δὲ ὑστεραίᾳ παρὰ τὸν Μάγιστρον στέλλει, ἐπισπεύδων τοῦτον ἱκέσθαι μετὰ τοῦ πλήθους· μὴ πόῤῥω γὰρ, ἀλλ' ἐγγύθεν, τοὺς Σκύθας αὐλίζεσθαι. ὁ δὲ, τῶν τοιούτων λόγων διακούσας, τριχῇ διατάξας τὴν φάλαγγα, τῇ μὲν ἐφέπεσθαι παρήγγειλε κατὰ μέτωπον, ταῖς δὲ κατὰ τοὺς ἐγκαρσίους προλοχίζειν δρυμούς· τηνικαῦτα δὲ τῆς P. 67 ἐνέδρας διεκθέειν, ὁπηνίκα τῆς σάλπιγγος, τὸ ἐνυάλιον ἐπηχούσης, διακούσαιεν. ταῦτα τοῖς λοχαγοῖς παρακελευσάμενος, κατὰ στόμα τοῖς Σκύθαις ἀντεπῄει, κραταιῶς διαγωνιζόμενος. ἐπλεονέκτει δὲ πλήθει τὸ στράτευμα τῶν ἐναντίων, ὑπὲρ τοὺς τρισμυρίους τελοῦν· οἱ γὰρ τῷ Μαγίστρῳ συνεφεπόμενοι, μετὰ τῶν λόχων, οὐ πλέονες τῶν μυρίων ἐτύγχανον. τῆς δὲ συμπλοκῆς γενομένης παρ' ἀμφοτέρων, ἔπιπτον οἱ νεανικώτεροι. ἐνταῦθα δὴ λέγεται τῶν τινα Σκυθῶν, ἀλκῇ καὶ σώματος ὄγκῳ γαυρούμενον, τῆς ἀμφ' αὐτὸν ἀποκριθέντα φάλαγγος ἐξιππεῦσαί τε, καὶ τῷ Βάρδᾳ ἐπιδραμεῖν, καὶ ξίφει τοῦτον πλῆξαι κατὰ τῆς B κόρυθος· κενὴν δὲ γενέσθαι τὴν τοῦ ξίφους καταφορὰν, τοῦ

3. ἀθροῖσαί cod.

ut cum hostibus decerneret. Ioannemque Alaca advocatum speculandi gratia cum mandatis praemisit: „observaret Scythas, de eorum numero coniecturam faceret, et quo in loco consedissent, quidque agerent: quibus perspectis, mitteret quam celerrime ad se, remque omnem nunciaret, ut ipse conclamatis vasis pararet exercitum ad conflictum." Ioannes, assumtis electis, qui sequebantur, celeriter ad Scythas adequitat: postridie eius diei ad Magistrum militum mittit: hortatur, „veniat cum vi belli; non longe abesse Russos; propius castra habere." Quibus auditis, exercitum tripertitur Bardas: partem medio itinere sequi se iubet, duas alteras per nemora a latere obiecta locat: edicit, „ex insidiis erumpant, simul ac tubae, classicum canentis, sonitum audissent." Quae cum tribunis mandasset, recta in Russos vadit: fortiter praelium committit. Superabat multitudine hostilis exercitus, quippe in quo supra triginta millia bellatorum numerarentur: Bardae milites, cum his qui in insidiis latebant, ad decies mille erant, nec amplius. Iam inter duas acies cominus res gerebatur, caede fortiorum facta, cum Russorum aliquis (sic fama perhibet), viribus vastitateque corporis fisus, admisso equo ex turma sua procurrens, impetu in Bardam facto galeam eius gladio ferit: sed inanis evadit ictus, lamina in casside

A. M. 6478 Ind. 13 ἀθέρος ἀναγναμφθέντος τῇ κυνῇ, καὶ ἀλλαχόσε τῇ ταύτης στε-
γανότητι περιολισθήσαντος. Κωνσταντῖνος δὲ ὁ πατρίκιος, σύν-
αιμος τῷ Βάρδᾳ τελῶν, ἄρτι τῷ ἰούλῳ τὴν γένυν ἐπιχνοάζων,
πελώριός τε πεφυκὼς τῷ σώματι, καὶ τὴν ἰσχὺν δυσεκβίαστος
καὶ ἀκαταγώνιστος, τὸ ξίφος σπασάμενος ἵεται τὸν Σκύθην βα-
Fol. 302 v. λεῖν· ὁ δὲ, τὴν φορὰν αὐτοῦ ὑπειδόμενος, ἐκκλίνει τὴν πληγὴν,
κατ' ἰσχίον ὑπτιάσας τοῦ ἵππου. δέχεται δὲ ταύτην παρὰ τὸν
αὐχένα ὁ ἵππος, ὃν διαμπερὲς ἀποτέμνεται· ὁ δὲ Σκύθης, ἅμα
C τῷ ἵππῳ κατενεχθεὶς, πρὸς τοῦ Κωνσταντίνου ἐναποσφάττεται.

ιγ'. Τῆς δὲ μάχης τῇδε κἀκεῖσε μετακλινομένης, καὶ συχνὰς
καὶ ἀμφιταλάντους μεταβαλλούσης ῥοπὰς ἐφ' ἑκάτερα, τὸ ἐνυά-
λιον ὁ Βάρδας ἐνηχεῖν ἐγκελεύεται, τά τε τύμπανα θαμινὰ πα-
ταγεῖν· τῆς δὲ φάλαγγος ἐκ τῶν λόχων ἐξαναστάσης κατὰ τὸ
σύνθημα, καὶ κατὰ νώτου τῶν Σκυθῶν γενομένης, δέος τε αὐ-
τοῖς εἰσῄει καὶ πρὸς φυγαδείαν ἀπέκλιναν. μήπω δὲ γεγενημένης
λαμπρᾶς τῆς διώξεως, τῶν ἐπιφανῶν τις Σκυθῶν, μεγέθει σώ-
ματος καὶ ὅπλων λαμπρότητι πεφυκὼς τῶν ἄλλων ἀριπρεπὴς,
D κατὰ τὸ μεταίχμιον περιῄει, ἐπ' ἀλκὴν τοὺς ἑταίρους ἐπιῤῥων-
νύς. τοῦτον Βάρδας ὁ Σκληρὸς ἐξιππασάμενος παίει κατὰ τῆς
κεφαλῆς, καὶ μέχρι τοῦ ζωστῆρος τὸ ξίφος διήλασε, μήτε τοῦ
κράνους αὐτῷ ἐπαρκέσαντος, μήτε τοῦ θώρακος τὴν τῆς χει-
ρὸς ἐπισχόντος ἰσχὺν, ἢ τὴν τοῦ ξίφους τομήν. διχῇ δὲ τού-
του διατμηθέντος καὶ προσαραχθέντος τῇ γῇ, Ῥωμαῖοι μὲν
ὑφ' ἡδονῆς ἐπηλάλαξαν, καὶ πρὸς ἀλκὴν ἐπεῤῥώσθησαν· Σκύ-
θαι δὲ, τῷ καινῷ καὶ ἀλλοκότῳ τῆς πληγῆς ἀποδειλιάσαντες,
σὺν οἰμωγῇ τὸν συνασπισμὸν διαλύσαντες, εἰς φυγαδείαν ἐτρά-

retusa, et ob eius duritiem alia parte delabente. At Constantinus e patriciorum numero, Bardae frater, iam prima lanugine malas fuscans, grandi corpore adolescens, viribusque, vi et impetu omnia vincens, stricto mucrone invadit Scytham: is, illius plagam extimescens, corpore ad clunes equi resupinato, vitat ictum. Hunc equus collo accipit, quod totum resecatur: Scytha, una cum equo humi ruens, a Constantino conficitur.

13. Iam certamine modo huc modo illuc se inclinante, crebriusque mutante utrobique variam fortunam, classicum Bardas cani iubet, tympana ictu crebro pulsari: consurgit (id convenerat signum) ex insidiis acies, Scytharumque terga invadit, qui, timore perculsi, in conversionem inclinant. Necdum erat manifesta fuga, cum nobilis aliquis Russus, magnitudine corporis et armorum fulgore praeter alios excellens, inter infesta signa circumcursaret, ad virtutem suos cohortans. Huic Bardas Sclerus adequitans caput percussit, adque cinctum usque gladium adegit, neque galea eum repellente, neque thorace manus robur cohibente, gladiive secturam. Quo bifariam discisso humique deiecto, conclamant prae gaudio Romani, animosque sumunt: Russi, novo hoc portentosoque ictu territi, ululatu sublato

ποντο. οὓς ἐπισπόμενοι Ῥωμαῖοι μέχρι βαθείας ἑσπέρας ἀνῄ- A. C. 970
ρουν ἀνηλεῶς. κατὰ τοῦτον δὴ λέγεται τὸν ἀγῶνα πεντήκον- I. I. 1 P. 68
τα καὶ πέντε Ῥωμαίων ἄνδρας τεθνάναι, τραυματίας δὲ γε-
νέσθαι συχνούς, καὶ ἵππων κατακοντισθῆναι τοὺς πλείονας·
Σκυθῶν τε ὑπὲρ τοὺς δισμυρίους διαφθαρῆναι. ἀλλ' ἡ μὲν
πρὸς τοὺς Σκύθας γεγενημένη τότε Ῥωμαίων διαμάχη εἰς τοιοῦ-
τον ἐτελεύτα τὸ τέλος. Ἰωάννης δὲ ὁ αὐτοκράτωρ τὰς Ἀσίας
δυνάμεις εἰς τὴν Εὐρώπην διὰ τοῦ Ἑλλησπόντου περαιοῦσθαι
κατήπειγεν, ἐς τἀπὶ Θρᾴκης τε καὶ Μακεδονίας διαχειμάζειν
χωρία, καὶ τοῖς ὅπλοις ὁσημέραι γυμνάζεσθαι, ὡς μὴ ἀπόμα-
χοι εἶεν ἐπὶ τὸν τῶν ἀγώνων καιρόν, μειονεκτοῦντες ἐν τῇ μάχῃ B
τῶν δυσμενῶν· περιμένειν δὲ τὸν τοῦ ἦρος καιρόν. ἐκείνου γὰρ
ἤδη ἐκ τῆς χειμερινῆς κατηφείας προκύπτοντος, καὶ εἰς σταθη-
ρὰν αἰθρίαν τὸ κοσμικὸν κατάστημα μεταβάλλοντος, αὐτόν τε
βασιλέα ὡς αὐτοὺς ἀφικέσθαι, τὰς ἀμφ' αὐτὸν δυνάμεις ἐπαγό-
μενον, καὶ πανσυδεὶ τοῖς Ταυροσκύθαις συμπλέκεσθαι.

12. δυσμενῶν. Vid. supra 31. C.

solutis ordinibus fugae sese mandant. Quos persecuti Romani ad serum usque crepusculum sine misericordia ceciderunt. Fama est, hoc praelio e Romanis mortuos esse milites quinque et quinquaginta, sauciatos quam multos, equorum plerosque confossos: Scytharum plus viginti millia periisse. Hunc finem habuit Romanorum cum Russis tunc commissa pugna. Et iam urgebat Asiaticos numeros Ioannes Augustus in Europam per Hellespontum traiiciendos, „hiemarent per Thraciae et Macedoniae tractus, quotidieque se in armis exercerent, ne, incumbenti certamini minus idonei, ab hostibus in pugna funderentur: vernumque tempus exspectarent. Ubi enim post hiberni coeli tristitiam ver emergens in constantem serenitatem mutaret mundi faciem, Imperatorem ipsum affore, cum universis qui comitatum sequerentur, omnemque belli molem in Scythas versurum."

# ΛΕΟΝΤΟΣ ΔΙΑΚΟΝΟΥ

## ΙΣΤΟΡΙΑΣ Ζ.

# LEONIS DIACONI HISTORIAE

## LIBER VII.

### ARGUMENTUM.

*Bardae, Leonis Phocae filii, seditio (Cap. 1). Ioannes, suppliciis sumtis de cognatis eius, ad ipsum litteras mittit (2). Bardas Sclerus adversus seditiosos missus (3). Eius epistola ad Bardam ducem, qui superbe respondet (4). Bardas dux a suis destitutus (5) in castellum confugit (6). Bellum inter Romanos et Bulgaros, Zoë Augusta imperante. Simeonis, Bulgarorum principis, insperata victoria (7). Deditio Bardae Phocae (8). 'Russi Macedoniam vastant. Ioannes Tzimisces Theodoram, Constantini Imperatoris filiam, uxorem ducit (9).*

A. M. 6479 α'. Ἐν ᾧ δὲ ταῦτα Ἰωάννῃ τῷ βασιλεῖ κατὰ τῶν Ῥῶς διε-
Ind. 14 σπούδαστο, Βάρδας ὁ Δοὺξ, ὁ τοῦ Κουροπαλάτου μὲν Λέον-
A. C. 971
L. I. 2 τος υἱὸς, Νικηφόρου δὲ τοῦ αὐτοκράτορος αὐτανεψιὸς, ἐς νεω-
Fol. 303 r. τερισμὸν ἀσυμφανῶς ἀποκλίνας, ἐξ Ἀμασείας, καθ' ἣν περιώ-
P. 69 ριστο, φυγαδείᾳ ἐχρήσατο, Θεοδώρου Βάρδα τε καὶ Νικηφό-
ρου, τῶν Πατρικίων καὶ αὐταδέλφων, ἐς τοῦτο συναραμένων
αὐτῷ· οἳ ἐκ τῆς ἐνεγκαμένης αὐτοὺς Παρσακούτης ἐπίκλησιν εἰ-
λήφεσαν Παρσακουτηνοὶ, ἐξάδελφοι τῷ Δουκὶ Βάρδᾳ τυγχάνον-

3. αὐτανεψὸς cod.

1. Dum in his Ioannes Imperator erat contra Russos occupatus, Bardas Dux, Leonis Curopalatae filius, Nicephori Augusti ex fratre nepos, res novas occulte molitus, Amasea, quo ablegatus erat, fugam fecit. Cuius rei adiutores habuit Theodorum Bardam et Nicephorum, patricios atque fratres inter se: qui ex patria Parsacuta cognomen Parsacutenorum traxe-

τες. τῆς οὖν Ἀμασείας ἀωρὶ τῶν νυκτῶν λαθρηδὸν ὁ Δοὺξ ἀποδρὰς, διὰ τῶν προετοιμασθέντων ἀμοιβαίων ἵππων ἐς τὴν τῆς Καππαδοκίας ἀφῖκτο Καισάρειαν. ἐνταῦθα δὴ ἐπὶ εὐαριθμήτοις ἡμέραις ἐναυλισάμενος, πλῆθος ἀπονενοημένων ἀνδρῶν ἐπ᾽ ἀπο- A. M. 6479 Ind. 14 A. C. 971 L. I. 2 B

στασίαν ῥεπόντων συνειλόχει, τῶν ἐκ γένους αὐτῷ καὶ συνήθων μάλιστα συνεισρεόντων ὁσημέραι. καὶ γὰρ ταῖς καινοτομίαις ἐκτόπως οἱ ἄνθρωποι χαίρειν εἰώθεσαν, δόξης ὀνειροπολουμένης ἐλπίσι, τιμαῖς τε ἀξιωμάτων, καὶ χρημάτων διανομαῖς ὑπαγόμενοι. συνεκρότουν δὲ τὴν ἀποστασίαν, συναγηοχότες πάσῃ C σπουδῇ τὰ στρατεύματα, οἵ τε ῥηθέντες Παρσακουτηνοὶ, καὶ Συμεὼν, ὃς γεωργὸς ἀμπέλων καθεστηκὼς, ἐκ τῆς ἐργασίας αὐτῆς τὸ ἐπώνυμον εἴληφεν, Ἀμπελᾶς κατονομασθείς· ἀνὴρ ἐξ ἀσήμων μὲν φὺς καὶ τῶν ἀγενῶν, ἀνδρείᾳ δὲ καὶ χειρῶν ἰσχύϊ μηδενὶ εἴκων τῶν ἐπ᾽ ἀλκῇ καὶ ῥώμῃ μεγαλαυχουμένων ἀνδρῶν. ἐπεὶ δὲ ἱκανὸν ὁ Βάρδας περὶ αὐτὸν ἑώρα στῖφος συνεῤῥυηκὸς, ὡς οἷόν τε εἶναι καὶ εἰς συνασπισμὸν ἀῤῥαγῆ παρατάττεσθαι, ἐξ ἀντιπάλου τε διαμιλλᾶσθαι τοῖς ἀντιπίπτουσι, τὸ μελαμβαφὲς παραιτησάμενος πέδιλον, τὸ ἐρυθρὸν παραυτίκα μετημφιάσατο, P. 70 καὶ Ῥωμαίων αὐτοκράτωρ ἀναφανδὸν ἀνεῤῥήθη πρὸς τῶν συστασιωτῶν. χρημάτων οὖν διανομὰς ὑπισχνεῖτο, καὶ ἀξιωμάτων παρεῖχε τιμὰς, ταξιάρχους καὶ στρατηγοὺς προβαλλόμενος, ἀρχάς τε τὰς εὐκλεεῖς, ὅσας καὶ βασιλεὺς εἰώθει τοῖς εὔνοις φιλοτίμως προτείνεσθαι. συνεκρότει δὲ τὴν ἀποστασίαν καὶ Λέων

3. ἀφῖκτο. Sic cod.: ut supra, 53. B. 7. Fort. ὀνειροπολούμενοι. Activum adhibet 70. C.

rant. Erant hi Bardae Ducis consobrini. Is igitur Dux, intempesta nocte clam Amasea elapsus, iumentis mutatoriis ante dispositis Caesaream Cappadociae pervenit. Ubi paucos dies commoratus turbam desperatorum hominum ad resque novas propensorum collegit, in primis confluentibus eo quotidie qui erant cum illo vel genere vel familiaritate coniuncti. Etenim extra modum tunc turbis gaudere solebant homines, spe falsae gloriae, et honoribus officiorum, atque pecuniarum partitione prolectati. Firmabant hanc rebellionem, coactis omni diligentia copiis, tum quos dixi Parsacuteni, tum Simeon, qui, cum cultor vinearum exstitisset, ex ipso opificio cognomen invenit, vocatusque Ampelas est: vir parentibus ortus quantumvis obscuris et ignobilibus, virtute autem manuumque fortitudine nemini de iis, qui ob vim et robur praedicantur, postponendus. Bardas, ubi manum idoneam circa se collectam vidit, ut iam posset et castra facere, et armis contra adversarios decertare, remotis nigris calceamentis rubra evestigio induxit, atque conspiratis Imperator Romanorum renunciatus aperte est. Iamque pecuniae distributiones pollicebatur, conferebat honores officiorum, tribunos, duces, magistratus amplissimos creabat, quales Imperator consuerat fidelibus liberaliter offerre. Obsecundabat item huic seditioni Leo Curo-

A. M. 6479 Ind. 14 Κουροπαλάτης, ὁ τοῦ Βάρδα τοκεὺς, ἐς μὲν τὴν νῆσον Λέσβον φρουρούμενος, διὰ Στεφάνου δὲ, τοῦ ἐπισκόπου Ἀβύδου, τοῖς Μακεδόσι χρήματα καὶ τιμὰς ὑπισχνούμενος, καὶ δέχεσθαι αὐτὸν ἐκ τῆς νήσου ἀναγόμενον προτρεπόμενος, καὶ συνεπιτίθεσθαι, B καὶ συνεργάζεσθαι αὐτῷ τὴν τοῦ Ἰωάννου τῶν ἀνακτορίων καθαίρεσιν.

β'. Ὁ δὲ βασιλεὺς, τὸν τοιοῦτον γνοὺς νεωτερισμὸν, διεταράχθη μὲν, ὡς τὸ εἰκὸς, ἀπείρῳ δὲ τάχει τὸν ἐπίσκοπον Στέφανον ἐκ τῆς Ἀβύδου ἀναγαγὼν, τοῖς δικαστηρίοις ἐκδίδωσι. τῶν δὲ πραγμάτων ἐξελεγχθέντων καὶ καταφανοῦς γεγονότος τοῦ Fol. 303 v. δράματος, τὸν μὲν τῇ συνόδῳ τῶν ἐπισκόπων παρέπεμψεν, ἔκπτωσιν τῆς ἱερωσύνης ὑποστησόμενον. Λέοντα δὲ τὸν Κουροπαλάτην, καὶ Νικηφόρον, τὸν τούτου υἱὸν, τῇ τοῦ θανάτου ὑπαγαγόντων ψήφῳ τῶν δικαστῶν, ὁ βασιλεὺς, πρὸς τὸ φιλαν- C θρωπότερον ἀποκλίνας, οὐκ ἔκτεινε· τὰς δὲ ὄψεις ἀμφοτέρων, κατὰ τὴν Λέσβον στείλας, ἐπήρωσε. καὶ ἡ μὲν τῷ Κουροπαλάτῃ πρὸς τὴν Εὐρώπην τότε μελετηθεῖσα διάβασις ἐς τοῦτο τὸ τέλος κατέληξε, τοιαύτην μὲν αὐτῷ τὴν ποινὴν προξενήσασα, συχνοὺς δὲ τῶν φίλων χρημάτων καὶ οἴκων στερήσασα, ὅσοι τὴν ἐκείνου συμβουλὴν ἐπὶ καθαιρέσει τοῦ βασιλέως προσήκαντο. ὁ δὲ Βάρδας, ἅπαξ ἀποκλίνας εἰς τυραννίδα, ἀπρὶξ εἴχετο ταύτης, τῇ τε περὶ αὐτὸν πολυχειρίᾳ γαυρούμενος, καὶ ταῖς φάλαγξι βρενθυόμενος, καὶ ὅσον οὔπω τὴν τῆς βασιλείας κατάσχεσιν ὀνειροπολῶν. καὶ δῆτα τὴν Ἀσίαν κατατρέχων, τῶν μὴ D σπενδομένων αὐτῷ πυρπολῶν τὰς οἰκίας, λείαν ἐτίθει Μυσῶν.

palates, Bardae pater, in insula Lesbo custoditus. Is per Stephanum, Abydi episcopum, Macedonibus pecunias dignitatesque promiserat, hortatus, ut sese ex insula elapsum reciperent, pariterque rebellione facta ad exturbandum imperio Ioannem operam conferrent.

2. At Imperator, intellecto eiusmodi motu, conturbatus ut par erat, incredibili celeritate Stephanum episcopum, Abydo raptum, iudiciis tradidit. Eumque crimine convictum, in lucem prolatis dolis, ad synodum episcoporum transmisit, ut ibi sacerdotio moveretur. Leonem Curopalatem autem, Nicephorumque huius filium, capitis a iudicibus condemnatos, Imperator, ad lenitatem revocata mente, non interfecit, luminibusque duntaxat ambos, Lesbon ablegatos, orbavit. Huiusmodi exitum habuit Curopalatae tunc meditatus in Europam traiectus, ut cum ipsi talem poenam induceret, tum etiam amicos illius, complures sane, fortunis domibusque exturbaret, si qui consilii eius de Imperatore tollendo fuissent participes. Atenim Bardas, semel ad rebellionem prolapsus, fortissime in ea perseverabat; elatusque multitudine hominum circa se coacta, confisus copiis, instantem possessionem imperii somniabat. Ita Asiam pervadens, domicilia cuiusque, qui in fidem eius non venerat, igne subdito praedam Mysorum habuit.

βασιλεὺς δὲ πρὸς αὐτὸν γράφει ταῦτα· „Τὸν ἔναγχος γεγενημένον A. C. 971
πρὸς ἕω νεωτερισμὸν ἀκηκοότες, οὐ τῆς σῆς γνώμης ἔργον το- L. I. 2
σοῦτον ἡγούμεθα, ὅσον τῆς τῶν συναραμένων σοι ἀπονοίας καὶ
τρόπου βαρβαρικοῦ, οἵ γε πάντως ὑπὸ θεοβλαβείας παρακρο-
τούμενοι, ἐς τοσοῦτον κίνδυνον ἑαυτοὺς ἐμβαλεῖν οὐκ ἐνάρκη-
σαν· καὶ ταῦτα εἰδότες, ὡς τοῖς νεωτεριεῖν ἀνῃρημένοις καὶ ἀν-
τίπαλον ἐξ αὐθαδείας αἴρειν χεῖρα Ῥωμαίων αὐτοῖς αὐτοκράτορ-
σιν, οὐδεμία τις εἰς παραίτησιν ὑπολέλειπται πρόφασις, ὁπη-
νίκα τοῖς ὅπλοις καταγωνισθέντες, ἔκδοτοι ταῖς ποινηλασίαις P. 71
ὑπάγονται. ἡμεῖς τοιγαροῦν ἐμφυλίῳ αἵματι μιᾶναι τὴν γῆν εὐ-
λαβούμεθα. εἰ γὰρ βουληθῶμεν τοῖς ὅπλοις τοὺς ἀποστάτας
ἀμύνεσθαι, οὐκ ἂν φθάνοιμεν (σὺν Θεῷ δὲ εἰρήσθω) οἰκτρῶς
αὐτοὺς κατακαίνοντες. τίς γὰρ ἀτέραμνος οὕτω καθέστηκεν,
ὡς ὑποστῆναι τὴν ῥοπὴν τοῦ ἡμετέρου κινήματος, καὶ μὴ εὐθὺς
ὑποδειλιάσας πρὸς φυγὴν ἀπιδεῖν; τοιγαροῦν παραινοῦμεν ὑμῖν,
πρὸ τῶν ὀλεθρίων ἑλέσθαι τὰ σώζοντα, καὶ ἕως πρόκειται συγ-
γνώμης καιρὸς, τὰ ὅπλα ῥίψαντες εἴξατε τῷ κράτει τῆς βασι-
λείας ἡμῶν, ἀμνηστίαν ὑμῖν τοῦ τοσούτου τολμήματος καὶ συγ-
γνώμην, ἐπὶ μάρτυρι τῷ Θεῷ, ἀναντίῤῥητον ἀπονέμοντι. πάν- B
τως δὲ καὶ αἱ κτήσεις ἀθιγεῖς ὑμῖν ἀφεθήσονται, καὶ ἀπαρεγχεί-
ρητοι. παραινοῦμεν λοιπὸν, τῆς τοιαύτης ἀνασφήλαντας μέθης
τῆς δεδομένης ἀμελλητὶ σωτηρίας ἀντιποιήσασθαι. εἰ δὲ σκιαμα-
χοῦντες τῇ τυραννίδι τὴν ῥοπὴν ἀπονείμητε, ὑμῖν μεταμελήσει

6. **νεωτεριεῖν.** Videtur id esse apud Leonem infinitivus praesentis cuiusdam νεωτεριέω (sic). Vid. 57. C.

Scripsit autem ad eum Imperator ita: „Cognoscentes de motu per Orientem super facto, non tam tui consilii rem arbitramur, quam amentiae barbariaeque sociorum tuorum, qui, penitus dira stoliditate capti, in tantum periculum inferre sese non dubitaverunt: quasi vero ignorent, illis qui, rebus novis studentes, in ipsos Romanorum principes infestam manum sustulerint, nullam relinqui excusationis veniam, quando armis victi traditique poenas subeant. Nos, mi Barda, civili sanguine terram cruentare veremur. Quin si vellemus armis in seditiosos animadvertere, sine mora (pace numinis dixerim) ad acerbum eos interitum redigeremus. Etenim quis est tam pervicax, ut vim impressionis nostrae sustineat, neque statim animo demisso fugam spectet! Proinde hortamur vos, a perniciosis consiliis uti ad salutaria vos transferatis, et, dum relictus remissioni locus est, abiectis armis, potentiae cedatis Maiestatis nostrae, impunitatem vobis tanti conatus veniamque, teste Deo, irrevocabilem tribuenti. Neque minus fortunae vestrae intactae vobis relinquentur, atque integrae. Suademus ergo, ut, ex hac temulentia resipiscentes, oblatam salutem incunctanter capessatis. Nam, si vano incepto rebellioni auxilium praebetis, poe-

A. M. 6479 Ind. 14 Fol. 304 r. τῆς ἀβουλίας, ὁπηνίκα ψήφῳ τῶν νόμων ταῖς θανασίμοις ποιναῖς παραπέμποισθε."

γ΄. Ταύτην ὁ Φωκᾶς Βάρδας ἀπειληφὼς τὴν γραφὴν, ἀντίγραφα μὲν οὐκ ἠξίωσεν ἀντεπιστεῖλαι πρὸς βασιλέα· λοιδορησάμενος δὲ αὐτὸν, καὶ βδελυρὸν καὶ ἀλάστορα ὀνομάσας, καὶ τοῦ γένους ἀποκαλέσας παλαμναῖον αὐτόχειρα, τῶν τυραννείων κατιέναι παρήγγειλεν. αὐτῷ γὰρ μᾶλλον ἀνήκειν τὴν τῆς ἡγεμονίας C ἀρχὴν, Καίσαρα πάππον κομπάζοντι, καὶ θεῖον αὐτοκράτορα. ὃν, φησὶ, μὴ πτοηθέντα τὸν τῆς δίκης ἀκοίμητον ὀφθαλμὸν, παρὰ τὴν χαμαιῤῥιφῆ στρωμνὴν ἐναποσφάξαι, δίκην βοσκήματος· τὸν φύντα δὲ καὶ τὸν φίλτατον ὁμαίμονα, τὰ πύματα παθόντας δεινὰ, ἐπ᾽ ἀδήλοις καὶ ἀναποδείκτοις προφάσεσι τοῦ γλυκυτάτου στερῆσαι φωτός· οἷς τιμωρὸν πάντως αὐτὸν ἐπαφήσειν τὴν δίκην, τοῦ ὁμογνίου αἵματος ἑπταπλασίως ἐκτίσοντα τὸ ἀνταπόδομα, τῷ πανολεθρίᾳ τὸ γενναῖον καὶ ἡρωϊκὸν φῦλον παραπέμψαι σκαιωρήσαντι. τῶν οὖν τοιούτων ἀπονενοημένων λόγων ὁ αὐτοκράτωρ Ἰωάννης ἐνωτισθεὶς, καὶ γνοὺς, ἀνίατα τὸν ἄνδρα D νοσεῖν, ἠπειγμένον τε πρὸς διαρπαγὰς καὶ φόνους μετὰ τῶν ἐπισπομένων συνωμοτῶν ἀπηνῶς καὶ ἀφιλανθρώπως χωρεῖν, συνεῖδε, μηκέτι διαμέλλειν ἢ ῥαθυμεῖν, ὡς μὴ τῇ τοιαύτῃ ῥαστώνῃ καιρὸν σχοίη τὸ τοῦ ἀποστάτου ἑταιρικὸν, καὶ πόλεις πορθεῖν, καὶ εἰς μείζονα ἐξολισθήσοι ἀπόνοιαν· ἀλλ᾽ ἐκ τῶν ἐνόντων, ὅποι παρείκοι, ἀντικαθίστασθαι κραταιῶς, καὶ τοὺς

22. Fort. ἐξολισθαίνειν, s. ἐξολισθήσειν, soloecismo Leoni non insolito.

nitebit vos temeritatis, quando legibus iudicati ad poenam capitalem ducemini."

3. Quibus litteris acceptis, Bardas Phocas responsum ad Imperatorem dare haud dignatus est: sed, insectatus eum ut impurum et scelestum, suae gentis tetrum parricidam vocat, deque imperio iubet decedere. „Suum esse potius, rempublicam regere, qui avum Caesarem, qui patruum Imperatorem iactare possit." „Hunc," aiebat, „ab hoste impio, pervigilem iustitiae oculum minime verenti, in cubili humi strato velut victimam iugulatum esse: patrem, fratremque carissimum, cruciamentis acerbissimis affectos, ob incertas causas minimeque convictos dulcissima orbatos esse luce: ad parentandum omnino his nunc se mitti a iustitia, ut pro cognatorum sanguine septemplicem retributionem persolvat illi, qui praestanti nobilitate bellicaque laude familiae interitum esset machinatus." Quibus desperatis vocibus auditis, Ioannes Imperator, certior factus, insanabili hominem caecitate captum festinanter ad direptiones caedesque crudelitate atque inhumanitate summa cum assecliis conspirantibus pergere, statuit, non amplius cunctari aut quiescere, ne eiusmodi desidia locum daret factioni defectoris tum urbium populandarum, tum ad maiorem insaniam prolabendi: verum totis viribus, quacunque daretur occasio, resistere, adventantesque repellere. Proinde

πελάτας ἀμύνεσθαι. Βάρδαν οὖν, τὸν κατ' ἐπωνυμίαν Σκληρόν, A. C. 971 ἄνδρα λίαν ἐκτόπως νεανικὸν καὶ δραστήριον, οὗ τὴν σύναιμον L. I. 2 Μαρίαν κοινωνὸν ἔσχε βίου τὸ πρόσθεν ὁ Ἰωάννης, κάλλει καὶ σωφροσύνῃ ἐς μέγα κλέους ἥκουσαν (ἔφθη δὲ ταύτην ὁ πικρὸς P. 72 κατεργασάμενος θάνατος)· τοῦτον ἐν Μαγίστροις τελοῦντα καὶ τῶν ἐπὶ Θρᾴκης στρατευμάτων ἐπιστατοῦντα, καὶ τὴν τῶν Ῥῶς σφαδάζουσαν κατὰ τῶν Ῥωμαίων ἐπήλυσιν γενναίως ἀποτειχίζοντα, μετὰ τὴν ἀριστείαν, ἣν ἔναγχος ἀνεδήσατο τοὺς Σκύθας τρεψάμενος, ἧπέρ μοι ἤδη δεδήλωται, μεταπεμψάμενος ὁ βασιλεὺς καὶ στρατηλάτην ἀνακηρύξας κατὰ τῶν στασιωτῶν, ἐς τὴν Ἀσίαν ἐξέπεμψεν· ἐντειλάμενος, εἰ οἷόν τε εἶναι, μὴ μιᾶναι τὴν γῆν, ὅτι μὴ πᾶσα ἀνάγκη, τῷ τῶν ὁμοφύλων αἵματι· ἀλλὰ τιμῶν ὑποσχέσεσι καὶ χρημάτων διανομαῖς καὶ πίστεσιν B ἀπαθείας ὑπαγαγέσθαι τοὺς τῷ ἀποστάτῃ συναπαχθέντας. ἐνεχείριζε δὲ αὐτῷ καὶ τόμους, κατασεσημασμένους ἐκ χρυσοῦ σφραγῖσι βασιλικαῖς, οἷς ἐνεγέγραπτο ταξιάρχων καὶ στρατηγῶν καὶ Πατρικίων τιμαί. τούτοις ἐγκελευσάμενος δεξιοῦσθαι τοὺς γνωσιμαχοῦντας, καὶ ἀθετοῦντας τὴν τοῦ τυράννου αὐθεντίαν, καὶ πρὸς τὴν τοῦ βασιλέως ἀποκλίνοντας δούλωσιν. ὁ δὲ στρατηλάτης Fol. 304 v. Σκληρός, τὸν Βόσπορον περαιωθεὶς καὶ κατειληφὼς τὸ Δορύλαιον, ἐνταῦθα τὸν στρατὸν ἀνεκαλεῖτο, καὶ ἐς φάλαγγα καθίστη, καὶ ταῖς καθ' ἡμέραν μελέταις ἐγύμναζεν. ἤδη δὲ καὶ ἀποχρῶσαν ὁρῶν τὴν ἐπισυναχθεῖσαν στρατιάν, ὡς εἶναι ἱκανὴν ἐξ ἀντιπάλου παρατυχὸν τοῖς ἐναντίοις συμπλέκεσθαι, τῷ Δουκὶ C

14. ὑπαγάγεσθαι cod. 16. ἐνεγέγραπτο. Sic cod. 23. ὡς ἐξ ἱκανὴν ἐξ cod.

Bardam, cognomento Sclerum, virum insigniter fortem ac strenuum, cuius sororem Mariam, forma atque castitate praeter caeteras nobilitatam feminam, ante in matrimonio habuerat Ioannes (tametsi hanc quidem acerba perculerat mors): illum igitur inter Magistros militantem exercitibusque Threïciis praefectum, cum Russorum in Romanos effervescentium impetum acriter repelleret, post victoriam, quam nuper Scythis fusis reportaverat, ut demonstratum iam abs me est, accersivit Imperator, ducemque contra rebelles renunciatum in Asiam transmisit. Simul mandavit, si fieri posset, terram, nisi summa sit necessitas, civium sanguine ne inquinaret: verum ut honorum promissione, pecuniarum largitionibus et pactione impunitatis quotquot una cum defectore ruissent, reduceret. Ex quo illi item codicillos tradidit, sigillis imperatoriis ex auro insignitos, in quibus scriptae erant tribunorum, ducum, patriciorum nominationes. His munerari eos mandaverat, qui, poenitentia ducti, spretoque tyranni dominatu, in Imperatoris fidem se conferrent. Ita Sclerus Magister, cum transmisso Bosporo Dorylaeum pervenisset, eo copias evocat, in unumque contractas quotidianis exercitationibus subigit. Postremo, ubi vidit, idoneam circa se collectam manum, quae iam posset, occasione oblata, signa cum adversariis conferre,

A. M. 6479 Ind. 14 Βάρδᾳ καὶ συγκηδεστῇ (ἀδελφὴν γὰρ τοῦ Φωκᾶ Κωνσταντῖνος Πατρίκιος, ὁ τοῦ Σκληροῦ σύναιμος, σύζυγον εἶχε) δηλοῖ ταῦτα·

δ΄. „Ἐπισφαλῶς ἐβουλεύσω καὶ λίαν ἐπικινδύνως, ἀναίδην κατὰ τῶν κρατούντων ἀπαυθαδισάμενος, καὶ τὴν ὀλέθριον μελετήσας τυραννίδα, καὶ ὅπλα κατὰ τῶν ὁμοφύλων ἀράμενος, καὶ καταμιάνας ἱερῶν οἴκων ἕδη ταῖς τῶν ἀπαιδεύτων συνωμοτῶν προνομαῖς. εἰς κενὸν ἠπατήθης, Πατρίκιε, λέοντα νύσσων κοιμώμενον, τὸν ἀήττητον αὐτοκράτορα. οἶδας γὰρ, ὡς ἐν ταῖς
D μάχαις ἐπιφανεὶς οὗτος, πολυάνθρωπα στρατόπεδα ἐκ τῆς φήμης καὶ μόνης ἐτρέψατο. πῶς οὖν, διεφθαρμένων ἀνδρῶν συμβουλίαις ἀναπεισθεὶς, εἰς τοιοῦτον ὄλισθον ἐνσέσεικας σεαυτόν; ἀλλ', εἰ δοκεῖ, πείσθητί μοι, ὡς συγκηδεστῇ, καὶ φιλοῦντι, καὶ τὰ λῷονα συμβουλεύοντι· καὶ ἀπώθου τὴν κακίστην τυραννίδα, καὶ τῆς σωτηρίας ἀντιλαβοῦ, συγγνώμην τοῦ σφάλματος αἰτησάμενος (ἐγὼ δὲ αὐτὸς ἐγγυῶμαι, μηδέν σε πείσεσθαι τῶν ἀηδῶν, οὔτε πρὸς τοῦ κρατοῦντος, οὔτε πρὸς ἄλλου τινὸς, ἀλλὰ καὶ τῷ συνεπομένῳ σοι στίφει ἀμνηστεία τῆς προπετείας
P. 78 δοθήσεται)· καὶ μὴ βουληθῇς τὸν θυμὸν ἐξοπλίσαι κατὰ σοῦ τὸν βασιλικόν· ὃς ἀπαραίτητός ἐστι τοῖς εὐγνωμονεῖν οὐκ ἐθέλουσι. τῶν σεαυτοῦ λοιπὸν γενόμενος λογισμῶν μὴ πρόῃ τὴν ἐσχάτην ἄγκυραν· ἀλλ', ἕως τὸ φιλάνθρωπον πρόκειται, ἄσπασαι τοῦτο, ὅπερ εἰσαῦθις ἐπιζητῶν οὐχ εὑρήσεις, καὶ πολλὰ καταθρηνήσεις, σαυτὸν τῆς ἀβουλίας μεμφόμενος.” Ὁ δὲ Φωκᾶς

21. πρόσι cod. Fort. πρόες.

Bardae Duci, affini suo (quippe sororem Phocae Constantinus Patricius, Scleri frater, in matrimonium duxerat), haec significat:

4. „Consilium iniisti temerarium et insigniter periculosum, quando, impudenter in dominos contumax, calamitosam rebellionem meditatus, motis adversum cives armis sacrarum aedium delubra immanium coniuratorum direptionibus contaminasti. Falsa spe inductus, Patrici, leonem dormientem, invictum principem, irritasti. Non es nescius, illum in praeliis apparentem amplissimos exercitus vel sola fama in fugam convertisse. Qui igitur fit, ut, perditorum hominum consiliis obtemperans, in eiusmodi laqueos te ipse indueris! Sed, si videtur, mihi crede, ut affini, ut amico, ut ea suadenti, quae tibi maxime conducant: reiice a te hanc nefariam rebellionem, capesse salutem, delicti venia expetita (ego hoc tibi spondeo, non solum nihil te diri passurum, neque a domino nostro, neque ab alio quoquam, verum etiam manui, quae tecum sit, impunitatem inconsiderantiae datum iri): neque velis in te armare indignationem imperatoriam, inexorabilem prorsus illis, qui sanae mentis esse nolunt. Redi igitur ad ingenium tuum, noli dimittere ultimam ancoram, et, dum in promtu est misericordia, amplectere illam, quam posthac requirens haud obtinebis, teque ipsum tunc, multum conquestus, temeritatis accusabis.” Cu-

Βάρδας, τὴν δύναμιν ἀναλεξάμενος τῆς γραφῆς, ἀμείβεται ταῦτα· „Ἀγαθόν τι χρῆμα καὶ θεῖον εἶναι τὴν συμβουλὴν ἐξεπίσταμαι, παλαιῶν βίβλους παραναγνοὺς καὶ αὐτός· ἰσχύειν δὲ ταύτην τηνικαῦτα λογίζομαι, ὁπηνίκα θεραπείαν τὰ πράγματα δέχονται. ὅταν δὲ περὶ αὐτὰ τὰ καίρια κινδυνεύωσι, καὶ εἰς τὰ B πύματα δεινὰ συνελαύνωνται, ἴσα καὶ τῷ μηδὲν ἰσχύειν οἶμαι τὴν συμβουλήν. ἐγὼ γὰρ ἀναλογιζόμενος, εἰς οἵας τύχας ὁ ἀνόσιος καὶ παλαμναῖος Ἰωάννης τὸ ἐμὸν συνέκλεισε γένος, τὸν μὲν αὐτοκράτορα καὶ θεῖον ἐμόν, εὐεργέτην δὲ αὐτοῦ, κοιμώμενον λέοντα κτείνας ἀνηλεῶς, ἐμὲ δὲ μάτην περιορίσας, τόν τε φύντα καὶ τὸν ὅμαιμονα ὠμῶς καὶ ἀπανθρώπως ἀποτυφλώσας ἐπὶ Fol. 305 r. προφάσει μηδεμιᾷ, τὸν βίον ἀβίωτον τίθεμαι. διὰ ταῦτα μὴ κάμνε προτρέπων, ἐς χεῖρας ἀλάστορος ἐχθροῦ τὴν ἐμαυτοῦ προέσθαι ζωήν. οὐδὲ γὰρ πείσεις. ἀλλ' ἀνὴρ ὢν καὶ αὐτός, καὶ ἀκινάκην παρεζωσμένος, ἀγωνίσομαι τοῖς κειμένοις τοῦ γέ- C νους μου. πάντως δὲ δυσὶ πράγμασι τῆς τύχης ᾐωρημένης, θάτερον τούτων ἐκβήσεται· ἢ γὰρ εὐκλείας βασιλικῆς ἐπιτεύξομαι, καὶ τοῖς παλαμναίοις ἐντελὲς παρέξω τὸ ἀνταπόδομα· ἢ γενναίως τὸ μεμορμένον ἀποίσομαι, μιαροῦ τυράννου καὶ ἀνοσίου ἀπαλλαγείς."

A. C. 971 I. I. 2

ε'. Ταύτην ὁ Σκληρὸς Βάρδας ἀπειληφὼς τὴν γραφήν, καὶ ἀπογνούς, ὡς οὐκέτι συμβουλίαις πείσει τὸν εἰς ἀπόνοιαν ἐκ προπετείας κατολισθήσαντα, τὴν στρατιὰν κατὰ ἴλας καὶ σπείρας

14. ἀλλ' — αὐτός. Vid. supra A. lin. 11.

ius epistolae significationem ubi Phocas Bardas perspexit, respondit ad hunc modum: „Consilium rem esse optimam atque divinam probe novi, nam volumina ab antiquis hominibus conscripta ipse quoque legi: tametsi illud quidem tunc modo valere arbitror, quando medelam res admittunt. Verum, quoties extremum periculum imminet, estque aliquis ad mala ultima compulsus, tantum pondus habere arbitror consilium, quam quae minimum. Ego mecum reputans, ad quas fortunas impius atque scelestus Ioannes meam familiam redegerit, eum et Imperatorem, patruum meum, benefactorem suum, ut dormientem leonem crudeliter obtruncasse, et me temere in exilium egisse, patrem autem fratremque saeve atque immaniter sine causa excaecasse, vitam meam minime vitalem existimo. Noli igitur in me hortando defatigari, ut manibus scelerati inimici vitam committam meam. Nunquam tu mihi facies fidem. Quin potius vir ero ipse quoque, et accinctus gladio manibus generis mei parentabo. Omnino denique, quando inter duo extrema fluctuat fortuna, alterum eorum eveniet: aut imperatoriae dignitatis splendorem obtinebo, atque ultionem integram exigam a parricidis; aut fortiter fatum feram, ab impuro atque impio tyranno liberatus."

5. Hanc epistolam ubi Bardas Sclerus accepit, abiecta spe, consiliis revocari posse hominem ex temeritate in insaniam prolapsum, exercitu in

A. M. 6478 Ind. 13 ἀθέρος ἀναγναμφθέντος τῇ κυνῇ, καὶ ἀλλαχόσε τῇ ταύτης στεφανότητι περιολισθήσαντος. Κωνσταντῖνος δὲ ὁ πατρίκιος, σύναιμος τῷ Βάρδᾳ τελῶν, ἄρτι τῷ ἰούλῳ τὴν γένυν ἐπιχνοάζων, πελώριός τε πεφυκὼς τῷ σώματι, καὶ τὴν ἰσχὺν δυσεκβίαστος καὶ ἀκαταγώνιστος, τὸ ξίφος σπασάμενος ἵεται τὸν Σκύθην βα- Fol. 302 v. λεῖν· ὁ δέ, τὴν φορὰν αὐτοῦ ὑπειδόμενος, ἐκκλίνει τὴν πληγήν, κατ' ἰσχίον ὑπτιάσας τοῦ ἵππου. δέχεται δὲ ταύτην παρὰ τὸν αὐχένα ὁ ἵππος, ὃν διαμπερὲς ἀποτέμνεται· ὁ δὲ Σκύθης, ἅμα C τῷ ἵππῳ κατενεχθείς, πρὸς τοῦ Κωνσταντίνου ἐναποσφάττεται.

ιγ'. Τῆς δὲ μάχης τῇδε κἀκεῖσε μετακλινομένης, καὶ συχνὰς καὶ ἀμφιταλάντους μεταβαλλούσης ῥοπὰς ἐφ' ἑκάτερα, τὸ ἐνυάλιον ὁ Βάρδας ἐνηχεῖν ἐγκελεύεται, τά τε τύμπανα θαμινὰ παταγεῖν· τῆς δὲ φάλαγγος ἐκ τῶν λόχων ἐξαναστάσης κατὰ τὸ σύνθημα, καὶ κατὰ νώτου τῶν Σκυθῶν γενομένης, δέος τε αὐτοῖς εἰσῄει καὶ πρὸς φυγαδείαν ἀπέκλιναν. μήπω δὲ γεγενημένης λαμπρᾶς τῆς διώξεως, τῶν ἐπιφανῶν τις Σκυθῶν, μεγέθει σώματος καὶ ὅπλων λαμπρότητι πεφυκὼς τῶν ἄλλων ἀριπρεπής, D κατὰ τὸ μεταίχμιον περιῄει, ἐπ' ἀλκὴν τοὺς ἑταίρους ἐπιῤῥωννύς. τοῦτον Βάρδας ὁ Σκληρὸς ἐξιππασάμενος παίει κατὰ τῆς κεφαλῆς, καὶ μέχρι τοῦ ζωστῆρος τὸ ξίφος διήλασε, μήτε τοῦ κράνους αὐτῷ ἐπαρκέσαντος, μήτε τοῦ θώρακος τὴν τῆς χειρὸς ἐπισχόντος ἰσχύν, ἢ τὴν τοῦ ξίφους τομήν. διχῇ δὲ τούτου διατμηθέντος καὶ προσαραχθέντος τῇ γῇ, Ῥωμαῖοι μὲν ὑφ' ἡδονῆς ἐπηλάλαξαν, καὶ πρὸς ἀλκὴν ἐπεῤῥώσθησαν· Σκύθαι δέ, τῷ καινῷ καὶ ἀλλοκότῳ τῆς πληγῆς ἀποδειλιάσαντες, σὺν οἰμωγῇ τὸν συνασπισμὸν διαλύσαντες, εἰς φυγαδείαν ἐτρά-

retusa, et ob eius duritiem alia parte delabente. At Constantinus e patriciorum numero, Bardae frater, iam prima lanugine malas fuscans, grandi corpore adolescens, viribusque, vi et impetu omnia vincens, stricto mucrone invadit Scytham: is, illius plagam extimescens, corpore ad clunes equi resupinato, vitat ictum. Hunc equus collo accipit, quod totum resecatur: Scytha, una cum equo humi ruens, a Constantino conficitur.

13. Iam certamine modo huc modo illuc se inclinante, crebriusque mutante utrobique variam fortunam, classicum Bardas cani iubet, tympana ictu crebro pulsari: consurgit (id convenerat signum) ex insidiis acies, Scytharumque terga invadit, qui, timore perculsi, in conversionem inclinant. Necdum erat manifesta fuga, cum nobilis aliquis Russus, magnitudine corporis et armorum fulgore praeter alios excellens, inter infesta signa circumcursaret, ad virtutem suos cohortans. Huic Bardas Sclerus adequitans caput percussit, adque cinctum usque gladium adegit, neque galea eum repellente, neque thorace manus robur cohibente, gladiive secturam. Quo bifariam discisso humique deiecto, conclamant prae gaudio Romani, animosque sumunt: Russi, novo hoc portentosoque ictu territi, ululatu sublato

νοντο. οὓς ἐπισπόμενοι Ῥωμαῖοι μέχρι βαθείας ἑσπέρας ἀνῄ- A. C. 970 ρουν ἀνηλεῶς. κατὰ τοῦτον δὴ λέγεται τὸν ἀγῶνα πεντήκον- I. L. 1 P. 68 τα καὶ πέντε Ῥωμαίων ἄνδρας τεθνάναι, τραυματίας δὲ γενέσθαι συχνούς, καὶ ἵππων κατακοντισθῆναι τοὺς πλέονας· Σκυθῶν τε ὑπὲρ τοὺς δισμυρίους διαφθαρῆναι. ἀλλ' ἡ μὲν πρὸς τοὺς Σκύθας γεγενημένη τότε Ῥωμαίων διαμάχη εἰς τοιοῦτον ἐτελεύτα τὸ τέλος. Ἰωάννης δὲ ὁ αὐτοκράτωρ τὰς Ἀσίας δυνάμεις εἰς τὴν Εὐρώπην διὰ τοῦ Ἑλλησπόντου περαιοῦσθαι κατήπειγεν, ἐς τἀπὶ Θρᾴκης τε καὶ Μακεδονίας διαχειμάζειν χωρία, καὶ τοῖς ὅπλοις ὁσημέραι γυμνάζεσθαι, ὡς μὴ ἀπόμαχοι εἶεν ἐπὶ τὸν τῶν ἀγώνων καιρόν, μειονεκτοῦντες ἐν τῇ μάχῃ B τῶν δυσμενῶν· περιμένειν δὲ τὸν τοῦ ἦρος καιρόν. ἐκείνου γὰρ ἤδη ἐκ τῆς χειμερινῆς κατηφείας προκύπτοντος, καὶ εἰς σταθηρὰν αἰθρίαν τὸ κοσμικὸν κατάστημα μεταβάλλοντος, αὐτόν τε βασιλέα ὡς αὐτοὺς ἀφικέσθαι, τὰς ἀμφ' αὐτὸν δυνάμεις ἐπαγόμενον, καὶ πανσυδεὶ τοῖς Ταυροσκύθαις συμπλέκεσθαι.

12. **δυσμενῶν.** Vid. supra 31. C.

solutis ordinibus fugae sese mandant. Quos persecuti Romani ad serum usque crepusculum sine misericordia ceciderunt. Fama est, hoc praelio e Romanis mortuos esse milites quinque et quinquaginta, sauciatos quam multos, equorum plerosque confossos: Scytharum plus viginti millia periisse. Hunc finem habuit Romanorum cum Russis tunc commissa pugna. Et iam urgebat Asiaticos numeros Ioannes Augustus in Europam per Hellespontum traiiciendos, „hiemarent per Thraciae et Macedoniae tractus, quotidieque se in armis exercerent, ne, incumbenti certamini minus idonei, ab hostibus in pugna funderentur: vernumque tempus exspectarent. Ubi enim post hiberni coeli tristitiam ver emergens in constantem serenitatem mutaret mundi faciem, Imperatorem ipsum affore, cum universis qui comitatum sequerentur, omnemque belli molem in Scythas versurum."

# ΛΕΟΝΤΟΣ ΔΙΑΚΟΝΟΥ

## ΙΣΤΟΡΙΑΣ Ζ.

# LEONIS DIACONI HISTORIAE

## LIBER VII.

### ARGUMENTUM.

***Bardae, Leonis Phocae filii, seditio (Cap. 1). Ioannes, suppliciis sumtis de cognatis eius, ad ipsum litteras mittit (2). Bardas Sclerus adversus seditiosos missus (3). Eius epistola ad Bardam ducem, qui superbe respondet (4). Bardas dux a suis destitutus (5) in castellum confugit (6). Bellum inter Romanos et Bulgaros, Zoë Augusta imperante. Simeonis, Bulgarorum principis, insperata victoria (7). Deditio Bardae Phocae (8). Russi Macedoniam vastant. Ioannes Tzimisces Theodoram, Constantini Imperatoris filiam, uxorem ducit (9).***

A. M. 6479 α'. Ἐν ᾧ δὲ ταῦτα Ἰωάννῃ τῷ βασιλεῖ κατὰ τῶν Ῥῶς διεσπούδαστο, Βάρδας ὁ Δοὺξ, ὁ τοῦ Κουροπαλάτου μὲν Λέοντος υἱὸς, Νικηφόρου δὲ τοῦ αὐτοκράτορος αὐτανεψιὸς, ἐς νεωτερισμὸν ἀσυμφανῶς ἀποκλίνας, ἐξ Ἀμασείας, καθ' ἣν περιώριστο, φυγαδείᾳ ἐχρήσατο, Θεοδώρου Βάρδα τε καὶ Νικηφόρου, τῶν Πατρικίων καὶ αὐταδέλφων, ἐς τοῦτο συναραμένων αὐτῷ· οἳ ἐκ τῆς ἐνεγκαμένης αὐτοὺς Παρσακούτης ἐπίκλησιν εἰλήφεσαν Παρσακουτηνοὶ, ἐξάδελφοι τῷ Δουκὶ Βάρδᾳ τυγχάνον-

Ind. 14
A. C. 971
L. I. 2
Fol. 303 r.
P. 69

3. αὐτανεψὸς cod.

1. **Dum in his Ioannes Imperator erat contra Russos occupatus, Bardas Dux, Leonis Curopalatae filius, Nicephori Augusti ex fratre nepos, res novas occulte molitus, Amasea, quo ablegatus erat, fugam fecit. Cuius rei adiutores habuit Theodorum Bardam et Nicephorum, patricios atque fratres inter se: qui ex patria Parsacuta cognomen Parsacutenorum traxe-**

τες. τῆς οὖν Ἀμασείας ἀωρὶ τῶν νυκτῶν λαθρηδὸν ὁ Δοὺξ ἀποδρὰς, A. M. 6479 διὰ τῶν προετοιμασθέντων ἀμοιβαίων ἵππων ἐς τὴν τῆς Ind. 14 A. C. 971 Καππαδοκίας ἀφῖκτο Καισάρειαν. ἐνταῦθα δὴ ἐπὶ εὐαριθμήτοις L. I. 2 ἡμέραις ἐναυλισάμενος, πλῆθος ἀπονενοημένων ἀνδρῶν ἐπ' ἀποστασίαν B ῥεπόντων συνειλόχει, τῶν ἐκ γένους αὐτῷ καὶ συνήθων μάλιστα συνεισρεόντων ὁσημέραι. καὶ γὰρ ταῖς καινοτομίαις ἐκτόπως οἱ ἄνθρωποι χαίρειν εἰώθεσαν, δόξης ὀνειροπολουμένης ἐλπίσι, τιμαῖς τε ἀξιωμάτων, καὶ χρημάτων διανομαῖς ὑπαγόμενοι. συνεκρότουν δὲ τὴν ἀποστασίαν, συναγηοχότες πάσῃ C σπουδῇ τὰ στρατεύματα, οἵ τε ῥηθέντες Παρσακουτηνοὶ, καὶ Συμεὼν, ὃς γεωργὸς ἀμπέλων καθεστηκὼς, ἐκ τῆς ἐργασίας αὐτῆς τὸ ἐπώνυμον εἴληφεν, Ἀμπελᾶς κατονομασθείς· ἀνὴρ ἐξ ἀσήμων μὲν φὺς καὶ τῶν ἀγενῶν, ἀνδρείᾳ δὲ καὶ χειρῶν ἰσχύϊ μηδενὶ εἴκων τῶν ἐπ' ἀλκῇ καὶ ῥώμῃ μεγαλαυχουμένων ἀνδρῶν. ἐπεὶ δὲ ἱκανὸν ὁ Βάρδας περὶ αὐτὸν ἑώρα στίφος συνεῤῥυηκὸς, ὡς οἷόν τε εἶναι καὶ εἰς συνασπισμὸν ἀῤῥαγῆ παρατάττεσθαι, ἐξ ἀντιπάλου τε διαμιλλᾶσθαι τοῖς ἀντιπίπτουσι, τὸ μελαμβαφὲς παραιτησάμενος πέδιλον, τὸ ἐρυθρὸν παραυτίκα μετημφιάσατο, P. 70 καὶ Ῥωμαίων αὐτοκράτωρ ἀναφανδὸν ἀνεῤῥήθη πρὸς τῶν συστασιωτῶν. χρημάτων οὖν διανομὰς ὑπισχνεῖτο, καὶ ἀξιωμάτων παρεῖχε τιμὰς, ταξιάρχους καὶ στρατηγοὺς προβαλλόμενος, ἀρχάς τε τὰς εὐκλεεῖς, ὅσας καὶ βασιλεὺς εἰώθει τοῖς εὔνοις φιλοτίμως προτείνεσθαι. συνεκρότει δὲ τὴν ἀποστασίαν καὶ Λέων

3. ἀφῖκτο. Sic cod.: ut supra, 53. B. 7. Fort. ὀνειροπολούμενοι. Activum adhibet 70. C.

rant. Erant hi Bardae Ducis consobrini. Is igitur Dux, intempesta nocte clam Amasea elapsus, iumentis mutatoriis ante dispositis Caesaream Cappadociae pervenit. Ubi paucos dies commoratus turbam desperatorum hominum ad resque novas propensorum collegit, in primis confluentibus eo quotidie qui erant cum illo vel genere vel familiaritate coniuncti. Etenim extra modum tunc turbis gaudere solebant homines, spe falsae gloriae, et honoribus officiorum, atque pecuniarum partitione prolectati. Firmabant hanc rebellionem, coactis omni diligentia copiis, tum quos dixi Parsacuteni, tum Simeon, qui, cum cultor vinearum exstitisset, ex ipso opificio cognomen invenit, vocatusque Ampelas est: vir parentibus ortus quantumvis obscuris et ignobilibus, virtute autem manuumque fortitudine nemini de iis, qui ob vim et robur praedicantur, postponendus. Bardas, ubi manum idoneam circa se collectam vidit, ut iam posset et castra facere, et armis contra adversarios decertare, remotis nigris calceamentis rubra evestigio induxit, aque conspiratis Imperator Romanorum renunciatus aperte est. Iamque pecuniae distributiones pollicebatur, conferebat honores officiorum, tribunos, duces, magistratus amplissimos creabat, quales Imperator consuerat fidelibus liberaliter offerre. Obsecundabat item huic seditioni Leo Curo-

A. M. 6479 Ind. 14 Κουροπαλάτης, ὁ τοῦ Βάρδα τοκεύς, ἐς μὲν τὴν νῆσον Λέσβον φρουρούμενος, διὰ Στεφάνου δὲ, τοῦ ἐπισκόπου Ἀβύδου, τοῖς Μακεδόσι χρήματα καὶ τιμὰς ὑπισχνούμενος, καὶ δέχεσθαι αὐτὸν ἐκ τῆς νήσου ἀναγόμενον προτρεπόμενος, καὶ συνεπιτί- B θεσθαι, καὶ συνεργάζεσθαι αὐτῷ τὴν τοῦ Ἰωάννου τῶν ἀνακτορίων καθαίρεσιν.

β'. Ὁ δὲ βασιλεὺς, τὸν τοιοῦτον γνοὺς νεωτερισμὸν, διεταράχθη μὲν, ὡς τὸ εἰκὸς, ἀπείρῳ δὲ τάχει τὸν ἐπίσκοπον Στέφανον ἐκ τῆς Ἀβύδου ἀναγαγὼν, τοῖς δικαστηρίοις ἐκδίδωσι. τῶν δὲ πραγμάτων ἐξελεγχθέντων καὶ καταφανοῦς γεγονότος τοῦ Fol. 303 v. δράματος, τὸν μὲν τῇ συνόδῳ τῶν ἐπισκόπων παρέπεμψεν, ἔκπτωσιν τῆς ἱερωσύνης ὑποστησόμενον. Λέοντα δὲ τὸν Κουροπαλάτην, καὶ Νικηφόρον, τὸν τούτου υἱὸν, τῇ τοῦ θανάτου ὑπαγαγόντων ψήφῳ τῶν δικαστῶν, ὁ βασιλεὺς, πρὸς τὸ φιλαν- C θρωπότερον ἀποκλίνας, οὐκ ἔκτεινε· τὰς δὲ ὄψεις ἀμφοτέρων, κατὰ τὴν Λέσβον στείλας, ἐπήρωσε. καὶ ἡ μὲν τῷ Κουροπαλάτῃ πρὸς τὴν Εὐρώπην τότε μελετηθεῖσα διάβασις ἐς τοῦτο τὸ τέλος κατέληξε, τοιαύτην μὲν αὐτῷ τὴν ποινὴν προξενήσασα, συχνοὺς δὲ τῶν φίλων χρημάτων καὶ οἴκων στερήσασα, ὅσοι τὴν ἐκείνου συμβουλὴν ἐπὶ καθαιρέσει τοῦ βασιλέως προσήκαντο. ὁ δὲ Βάρδας, ἅπαξ ἀποκλίνας εἰς τυραννίδα, ἀπρὶξ εἴχετο ταύτης, τῇ τε περὶ αὐτὸν πολυχειρίᾳ γαυρούμενος, καὶ ταῖς φάλαγξι βρενθυόμενος, καὶ ὅσον οὔπω τὴν τῆς βασιλείας κατάσχεσιν ὀνειροπολῶν. καὶ δῆτα τὴν Ἀσίαν κατατρέχων, τῶν μὴ D σπενδομένων αὐτῷ πυρπολῶν τὰς οἰκίας, λείαν ἐτίθει Μυσῶν.

palates, Bardae pater, in insula Lesbo custoditus. Is per Stephanum, Abydi episcopum, Macedonibus pecunias dignitatesque promiserat, hortatus, ut sese ex insula elapsum reciperent, pariterque rebellione facta ad exturbandum imperio Ioannem operam conferrent.

2. At Imperator, intellecto eiusmodi motu, conturbatus ut par erat, incredibili celeritate Stephanum episcopum, Abydo raptum, iudiciis tradidit. Eumque crimine convictum, in lucem prolatis dolis, ad synodum episcoporum transmisit, ut ibi sacerdotio moveretur. Leonem Curopalatem autem, Nicephorumque huius filium, capitis a iudicibus condemnatos, Imperator, ad lenitatem revocata mente, non interfecit, luminibusque duntaxat ambos, Lesbon ablegatos, orbavit. Huiusmodi exitum habuit Curopalatae tunc meditatus in Europam traiectus, ut cum ipsi talem poenam induceret, tum etiam amicos illius, complures sane, fortunis domibusque exturbaret, si qui consilii eius de Imperatore tollendo fuissent participes. Atenim Bardas, semel ad rebellionem prolapsus, fortissime in ea perseverabat; elatusque multitudine hominum circa se coacta, confisus copiis, instantem possessionem imperii somniabat. Ita Asiam pervadens, domicilia cuiusque, qui in fidem eius non venerat, igne subdito praedam Mysorum habuit.

βασιλεὺς δὲ πρὸς αὐτὸν γράφει ταῦτα· „Τὸν ἔναγχος γεγενημένον A. C. 971
πρὸς ἕω νεωτερισμὸν ἀκηκοότες, οὐ τῆς σῆς γνώμης ἔργον το- I. I. 2
σοῦτον ἡγούμεθα, ὅσον τῆς τῶν συνηρμένων σοι ἀπονοίας καὶ
τρόπου βαρβαρικοῦ, οἵ γε πάντως ὑπὸ θεοβλαβείας παρακρο-
τούμενοι, ἐς τοσοῦτον κίνδυνον ἑαυτοὺς ἐμβαλεῖν οὐκ ἐνάρκη-
σαν· καὶ ταῦτα εἰδότες, ὡς τοῖς νεωτεριεῖν ἀνῃρημένοις καὶ ἀν-
τίπαλον ἐξ αὐθαδείας αἴρειν χεῖρα Ῥωμαίων αὐτοῖς αὐτοκράτορ-
σιν, οὐδεμία τις εἰς παραίτησιν ὑπολέλειπται πρόφασις, ὁπη-
νίκα τοῖς ὅπλοις καταγωνισθέντες, ἔκδοτοι ταῖς ποινηλασίαις P. 71
ὑπάγονται. ἡμεῖς τοιγαροῦν ἐμφυλίῳ αἵματι μιᾶναι τὴν γῆν εὐ-
λαβούμεθα. εἰ γὰρ βουληθῶμεν τοῖς ὅπλοις τοὺς ἀποστάτας
ἀμύνεσθαι, οὐκ ἂν φθάνοιμεν (σὺν Θεῷ δὲ εἰρήσθω) οἰκτρῶς
αὐτοὺς καταχαίνοντες. τίς γὰρ ἀτέραμνος οὕτω καθέστηκεν,
ὡς ὑποστῆναι τὴν ῥοπὴν τοῦ ἡμετέρου κινήματος, καὶ μὴ εὐθὺς
ὑποδειλιάσας πρὸς φυγὴν ἀπιδεῖν; τοιγαροῦν παραινοῦμεν ὑμῖν,
πρὸ τῶν ὀλεθρίων ἑλέσθαι τὰ σώζοντα, καὶ ἕως πρόκειται συγ-
γνώμης καιρὸς, τὰ ὅπλα ῥίψαντες εἴξατε τῷ κράτει τῆς βασι-
λείας ἡμῶν, ἀμνηστίαν ὑμῖν τοῦ τοσούτου τολμήματος καὶ συγ-
γνώμην, ἐπὶ μάρτυρι τῷ Θεῷ, ἀναντίῤῥητον ἀπονέμοντι. πάν- B
τως δὲ καὶ αἱ κτήσεις ἀθιγεῖς ὑμῖν ἀφεθήσονται, καὶ ἀπαρεγχεί-
ρητοι. παραινοῦμεν λοιπὸν, τῆς τοιαύτης ἀνασφήλαντας μέθης
τῆς δεδομένης ἀμελλητὶ σωτηρίας ἀντιποιήσασθαι. εἰ δὲ σκιαμα-
χοῦντες τῇ τυραννίδι τὴν ῥοπὴν ἀπονείμητε, ὑμῖν μεταμελήσει

6. **νεωτεριεῖν.** Videtur id esse apud Leonem **infinitivus praesentis** cuiusdam νεωτεριέω (sic). Vid. 57. C.

**Scripsit autem ad eum Imperator ita: „Cognoscentes de motu per Orientem nuper facto, non tam tui consilii rem arbitramur, quam amentiae barbariaeque sociorum tuorum, qui, penitus dira stoliditate capti, in tantum periculum inferre sese non dubitaverunt: quasi vero ignorent, illis qui, rebus novis studentes, in ipsos Romanorum principes infestam manum sustulerint, nullam relinqui excusationis veniam, quando armis victi traditique poenas subeant. Nos, mi Barda, civili sanguine terram cruentare veremur. Quin si vellemus armis in seditiosos animadvertere, sine mora (pace numinis dixerim) ad acerbum eos interitum redigeremus. Etenim quis est tam pervicax, ut vim impressionis nostrae sustineat, neque statim animo demisso fugam spectet! Proinde hortamur vos, a perniciosis consiliis uti ad salutaria vos transferatis, et, dum relictus remissioni locus est, abiectis armis, potentiae cedatis Maiestatis nostrae, impunitatem vobis tanti conatus veniamque, teste Deo, irrevocabilem tribuenti. Neque minus fortunae vestrae intactae vobis relinquentur, atque integrae. Suademus ergo, ut, ex hac temulentia resipiscentes, oblatam salutem incunctanter capessatis. Nam, si vano incepto rebellioni auxilium praebetis, poe-**

A. M. 6479 Ind. 14 Fol. 304 r. τῆς ἀβουλίας, ὁπηνίκα ψήφῳ τῶν νόμων ταῖς θανασίμοις ποιναῖς παραπέμποισθε."

γ'. Ταύτην ὁ Φωκᾶς Βάρδας ἀπειληφὼς τὴν γραφὴν, ἀντίγραφα μὲν οὐκ ἠξίωσεν ἀντεπιστεῖλαι πρὸς βασιλέα· λοιδορησάμενος δὲ αὐτὸν, καὶ βδελυρὸν καὶ ἀλάστορα ὀνομάσας, καὶ τοῦ γένους ἀποκαλέσας παλαμναῖόν αὐτόχειρα, τῶν τυραννείων κατιέναι παρήγγειλεν. αὐτῷ γὰρ μᾶλλον ἀνήκειν τὴν τῆς ἡγεμονίας C ἀρχὴν, Καίσαρα πάππον κομπάζοντι, καὶ θεῖον αὐτοκράτορα. ὅν, φησὶ, μὴ πτοηθέντα τὸν τῆς δίκης ἀκοίμητον ὀφθαλμὸν, παρὰ τὴν χαμαιῤῥιφῆ στρωμνὴν ἐναποσφάξαι, δίκην βοσκήματος· τὸν φύντα δὲ καὶ τὸν φίλτατον ὁμαίμονα, τὰ πύματα παθόντας δεινὰ, ἐπ' ἀδήλοις καὶ ἀναποδείκτοις προφάσεσι τοῦ γλυκυτάτου στερῆσαι φωτός· οἷς τιμωρὸν πάντως αὐτὸν ἐπαφήσειν τὴν δίκην, τοῦ ὁμογνίου αἵματος ἑπταπλασίως ἐκτίσοντα τὸ ἀνταπόδομα, τῷ πανολεθρίᾳ τὸ γενναῖον καὶ ἡρωϊκὸν φῦλον παραπέμψαι σκαιωρήσαντι. τῶν οὖν τοιούτων ἀπονενοημένων λόγων ὁ αὐτοκράτωρ Ἰωάννης ἐνωτισθεὶς, καὶ γνοὺς, ἀνίατα τὸν ἄνδρα D νοσεῖν, ἠπειγμένον τε πρὸς διαρπαγὰς καὶ φόνους μετὰ τῶν ἐπισπομένων συνωμοτῶν ἀπηνῶς καὶ ἀφιλανθρώπως χωρεῖν, συνεῖδε, μηκέτι διαμέλλειν ἢ ῥαθυμεῖν, ὡς μὴ τῇ τοιαύτῃ ῥᾳστώνῃ καιρὸν σχοίη τὸ τοῦ ἀποστάτου ἑταιρικὸν, καὶ πόλεις πορθεῖν, καὶ εἰς μείζονα ἐξολισθήσοι ἀπόνοιαν· ἀλλ' ἐκ τῶν ἐνόντων, ὅποι παρείκοι, ἀντικαθίστασθαι κραταιῶς, καὶ τοὺς

22. Fort. ἐξολισθαίνειν, s. ἐξολισθήσειν, soloecismo Leoni non insolito.

nitebit vos temeritatis, quando legibus iudicati ad poenam capitalem ducemini."

3. Quibus litteris acceptis, Bardas Phocas responsum ad Imperatorem dare haud dignatus est: sed, insectatus eum ut impurum et scelestum, suae gentis tetrum parricidam vocat, deque imperio iubet decedere. „Suum esse potius, rempublicam regere, qui avum Caesarem, qui patruum Imperatorem iactare possit." „Hunc," aiebat, „ab hoste impio, pervigilem iustitiae oculum minime verenti, in cubili humi strato velut victimam iugulatum esse: patrem, fratremque carissimum, cruciamentis acerbissimis affectos, ob incertas causas minimeque convictos dulcissima orbatos esse luce: ad parentandum omnino his nunc se mitti a iustitia, ut pro cognatorum sanguine septemplicem retributionem persolvat illi, qui praestanti nobilitate bellicaque laude familiae interitum esset machinatus." Quibus desperatis vocibus auditis, Ioannes Imperator, certior factus, insanabili hominem caecitate captum festinanter ad direptiones caedesque crudelitate atque inhumanitate summa cum asseclis conspirantibus pergere, statuit, non amplius cunctari aut quiescere, ne eiusmodi desidia locum daret factioni defectoris tum urbium populandarum, tum ad maiorem insaniam prolabendi: verum totis viribus, quacunque daretur occasio, resistere, adventantesque repellere. Proinde

πελάτας ἀμύνεσθαι. Βάρδαν οὖν, τὸν κατ' ἐπωνυμίαν Σκληρὸν, A. C. 971 ἄνδρα λίαν ἐκτόπως νεανικὸν καὶ δραστήριον, οὗ τὴν σύναιμον L. I. 2. Μαρίαν κοινωνὸν ἔσχε βίου τὸ πρόσθεν ὁ Ἰωάννης, κάλλει καὶ σωφροσύνῃ ἐς μέγα κλέους ἥκουσαν (ἔφθη δὲ ταύτην ὁ πικρὸς P. 72 κατεργασάμενος θάνατος)· τοῦτον ἐν Μαγίστροις τελοῦντα καὶ τῶν ἐπὶ Θρᾴκης στρατευμάτων ἐπιστατοῦντα, καὶ τὴν τῶν Ῥῶς σφαδάζουσαν κατὰ τῶν Ῥωμαίων ἐπήλυσιν γενναίως ἀποτειχίζοντα, μετὰ τὴν ἀριστείαν, ἣν ἔναγχος ἀνεδήσατο τοὺς Σκύθας τρεψάμενος, ἧπέρ μοι ἤδη δεδήλωται, μεταπεμψάμενος ὁ βασιλεὺς καὶ στρατηλάτην ἀνακηρύξας κατὰ τῶν στασιωτῶν, ἐς τὴν Ἀσίαν ἐξέπεμψεν· ἐντειλάμενος, εἰ οἷόν τε εἶναι, μὴ μιᾶναι τὴν γῆν, ὅτι μὴ πᾶσα ἀνάγκη, τῷ τῶν ὁμοφύλων αἵματι· ἀλλὰ τιμῶν ὑποσχέσεσι καὶ χρημάτων διανομαῖς καὶ πίστεσιν B ἀπαθείας ὑπαγαγέσθαι τοὺς τῷ ἀποστάτῃ συναπαχθέντας. ἐνεχείριζε δὲ αὐτῷ καὶ τόμους, κατασεσημασμένους ἐκ χρυσοῦ σφραγῖσι βασιλικαῖς, οἷς ἐνεγέγραπτο ταξιάρχων καὶ στρατηγῶν καὶ Πατρικίων τιμαί. τούτοις ἐγκελευσάμενος δεξιοῦσθαι τοὺς γνωσιμαχοῦντας, καὶ ἀθετοῦντας τὴν τοῦ τυράννου αὐθεντίαν, καὶ πρὸς τὴν τοῦ βασιλέως ἀποκλίνοντας δούλωσιν. ὁ δὲ στρα- Fol. 204 v. τηλάτης Σκληρὸς, τὸν Βόσπορον περαιωθεὶς καὶ κατειληφὼς τὸ Δορύλαιον, ἐνταῦθα τὸν στρατὸν ἀνεκαλεῖτο, καὶ ἐς φάλαγγα καθίστη, καὶ ταῖς καθ' ἡμέραν μελέταις ἐγύμναζεν. ἤδη δὲ καὶ ἀποχρῶσαν ὁρῶν τὴν ἐπισυναχθεῖσαν στρατιὰν, ὡς εἶναι ἱκανὴν ἐξ ἀντιπάλου παρατυχὸν τοῖς ἐναντίοις συμπλέκεσθαι, τῷ Δουκὶ C

14. ὑπαγάγεσθαι cod. 16. ἐνεγέγραπτο. Sic cod. 23. ὡς ἐξ ἱκανὴν ἐξ cod.

Bardam, cognomento Sclerum, virum insigniter fortem ac strenuum, cuius sororem Mariam, forma atque castitate praeter caeteras nobilitatam feminam, ante in matrimonio habuerat Ioannes (tametsi hanc quidem acerba perculerat mors): illum igitur inter Magistros militantem exercitibusque Threiciis praefectum, cum Russorum in Romanos effervescentium impetum acriter repelleret, post victoriam, quam nuper Scythis fusis reportaverat, ut demonstratum iam abs me est, accersivit Imperator, ducemque contra rebelles renunciatum in Asiam transmisit. Simul mandavit, si fieri posset, terram, nisi summa sit necessitas, civium sanguine ne inquinaret: verum ut honorum promissione, pecuniarum largitionibus et pactione impunitatis quotquot una cum defectore ruissent, reduceret. Ex quo illi item codicillos tradidit, sigillis imperatoriis ex auro insignitos, in quibus scriptae erant tribunorum, ducum, patriciorum nominationes. His munerari eos mandaverat, qui, poenitentia ducti, spretoque tyranni dominatu, in Imperatoris fidem se conferrent. Ita Sclerus Magister, cum transmisso Bosporo Dorylaeum pervenisset, eo copias evocat, in unumque contractas quotidianis exercitationibus subigit. Postremo, ubi vidit, idoneam circa se collectam manum, quae iam posset, occasione oblata, signa cum adversariis conferre,

A. M. 6479 Ind. 14 Βάρδα καὶ συγκηδεστῇ (ἀδελφὴν γὰρ τοῦ Φωκᾶ Κωνσταντῖνος Πατρίκιος, ὁ τοῦ Σκληροῦ σύναιμος, σύζυγον εἶχε) δηλοῖ ταῦτα·

δ΄. „Ἐπισφαλῶς ἐβουλεύσω καὶ λίαν ἐπικινδύνως, ἀναίδην κατὰ τῶν κρατούντων ἀπαυθαδισάμενος, καὶ τὴν ὀλέθριον μελετήσας τυραννίδα, καὶ ὅπλα κατὰ τῶν ὁμοφύλων ἀράμενος, καὶ καταμιάνας ἱερῶν οἴκων ἕδη ταῖς τῶν ἀπαιδεύτων συνωμοτῶν προνομαῖς. εἰς κενὸν ἠπατήθης, Πατρίκιε, λέοντα νύσσων κοιμώμενον, τὸν ἀήττητον αὐτοκράτορα. οἶδας γάρ, ὡς ἐν ταῖς D μάχαις ἐπιφανεὶς οὗτος, πολυάνθρωπα στρατόπεδα ἐκ τῆς φήμης καὶ μόνης ἐτρέψατο. πῶς οὖν, διεφθαρμένων ἀνδρῶν συμβουλίαις ἀναπεισθείς, εἰς τοιοῦτον ὄλισθον ἐνσέσεικας σεαυτόν; ἀλλ᾽, εἰ δοκεῖ, πείσθητί μοι, ὡς συγκηδεστῇ, καὶ φιλοῦντι, καὶ τὰ λῷονα συμβουλεύοντι· καὶ ἀπώθου τὴν κακίστην τυραννίδα, καὶ τῆς σωτηρίας ἀντιλαβοῦ, συγγνώμην τοῦ σφάλματος αἰτησάμενος (ἐγὼ δὲ αὐτὸς ἐγγυῶμαι, μηδέν σε πείσεσθαι τῶν ἀηδῶν, οὔτε πρὸς τοῦ κρατοῦντος, οὔτε πρὸς ἄλλου τινός, ἀλλὰ καὶ τῷ συνεπομένῳ σοι στίφει ἀμνηστεία τῆς προπετείας P. 78 δοθήσεται)· καὶ μὴ βουληθῇς τὸν θυμὸν ἐξοπλίσαι κατὰ σοῦ τὸν βασιλικόν, ὃς ἀπαραίτητός ἐστι τοῖς εὐγνωμονεῖν οὐκ ἐθέλουσι. τῶν σεαυτοῦ λοιπὸν γενόμενος λογισμῶν μὴ πρόῃ τὴν ἐσχάτην ἄγκυραν, ἀλλ᾽, ἕως τὸ φιλάνθρωπον πρόκειται, ἄσπασαι τοῦτο, ὅπερ εἰσαῦθις ἐπιζητῶν οὐχ εὑρήσεις, καὶ πολλὰ καταθρηνήσεις, σαυτὸν τῆς ἀβουλίας μεμφόμενος." Ὁ δὲ Φωκᾶς

21. πρόσει cod. Fort. πρόες.

Bardae Duci, affini suo (quippe sororem Phocae Constantinus Patricius, Scleri frater, in matrimonium duxerat), haec significat:

4. „Consilium iniisti temerarium et insigniter periculosum, quando, impudenter in dominos contumax, calamitosam rebellionem meditatus, motis adversum cives armis sacrarum aedium delubra immanium coniuratorum direptionibus contaminasti. Falsa spe inductus, Patrici, leonem dormientem, invictum principem, irritasti. Non es nescius, illum in praeliis apparentem amplissimos exercitus vel sola fama in fugam convertisse. Qui igitur fit, ut, perditorum hominum consiliis obtemperans, in eiusmodi laqueos te ipse indueris! Sed, si videtur, mihi crede, ut affini, ut amico, ut ea suadenti, quae tibi maxime conducant: reiice a te hanc nefariam rebellionem, capesse salutem, delicti venia expetita (ego hoc tibi spondeo, non solum nihil te diri passurum, neque a domino nostro, neque ab alio quoquam, verum etiam manui, quae tecum sit, impunitatem inconsiderantiae datum iri): neque velis in te armare indignationem imperatoriam, inexorabilem prorsus illis, qui sanae mentis esse nolunt. Redi igitur ad ingenium tuum, noli dimittere ultimam ancoram, et, dum in promtu est misericordia, amplectere illam, quam posthac requirens haud obtinebis, teque ipsum tunc, multum conquestus, temeritatis accusabis." Cu-

Βάρδας, τὴν δύναμιν ἀναλεξάμενος τῆς γραφῆς, ἀμείβεται A. C. 971 L. I. 2 ταῦτα· „Ἀγαθόν τι χρῆμα καὶ θεῖον εἶναι τὴν συμβουλὴν ἐξεπίσταμαι, παλαιῶν βίβλους παραναγνοὺς καὶ αὐτός· ἰσχύειν δὲ ταύτην τηνικαῦτα λογίζομαι, ὁπηνίκα θεραπείαν τὰ πράγματα δέχονται. ὅταν δὲ περὶ αὐτὰ τὰ καίρια κινδυνεύωσι, καὶ εἰς τὰ B πύματα δεινὰ συνελαύνωνται, ἴσα καὶ τῷ μηδὲν ἰσχύειν οἶμαι τὴν συμβουλήν. ἐγὼ γὰρ ἀναλογιζόμενος, εἰς οἵας τύχας ὁ ἀνόσιος καὶ παλαμναῖος Ἰωάννης τὸ ἐμὸν συνέκλεισε γένος, τὸν μὲν αὐτοκράτορα καὶ θεῖον ἐμόν, εὐεργέτην δὲ αὐτοῦ, κοιμώμενον λέοντα κτεῖναι ἀνηλεῶς, ἐμὲ δὲ μάτην περιορίσας, τόν τε φύντα καὶ τὸν ὅμαιμονα ὠμῶς καὶ ἀφιλανθρώπως ἀποτυφλώσας ἐπὶ Fol. 805 r. προφάσει μηδεμιᾷ, τὸν βίον ἀβίωτον τίθεμαι. διὰ ταῦτα μὴ κάμνε προτρέπων, ἐς χεῖρας ἀλάστορος ἐχθροῦ τὴν ἐμαυτοῦ προέσθαι ζωήν. οὐδὲ γὰρ πείσεις. ἀλλ' ἀνὴρ ὢν καὶ αὐτὸς, καὶ ἀκινάκην παρεζωσμένος, ἀγωνίσομαι τοῖς κειμένοις τοῦ γέ- C νους μου. πάντως δὲ δυσὶ πράγμασι τῆς τύχης ᾐωρημένης, θάτερον τούτων ἐκβήσεται· ἢ γὰρ εὐκλείας βασιλικῆς ἐπιτεύξομαι, καὶ τοῖς παλαμναίοις ἐντελὲς παρέξω τὸ ἀνταπόδομα· ἢ γενναίως τὸ μεμορμένον ἀποίσομαι, μιαροῦ τυράννου καὶ ἀνοσίου ἀπαλλαγείς."

ε'. Ταύτην ὁ Σκληρὸς Βάρδας ἀπειληφὼς τὴν γραφὴν, καὶ ἀπογνοὺς, ὡς οὐκέτι συμβουλίαις πείσει τὸν εἰς ἀπόνοιαν ἐκ προπετείας κατολισθήσαντα, τὴν στρατιὰν κατὰ ἴλας καὶ σπείρας

14. ἀλλ' — αὐτός. Vid. supra A. lin. 11.

ius epistolae significationem ubi Phocas Bardas perspexit, respondit ad hunc modum: „Consilium rem esse optimam atque divinam probe novi, nam volumina ab antiquis hominibus conscripta ipse quoque legi: tametsi illud quidem tunc modo valere arbitror, quando medelam res admittunt. Verum, quoties extremum periculum imminet, estque aliquis ad mala ultima compulsus, tantum pondus habere arbitror consilium, quam quae minimum. Ego mecum reputans, ad quas fortunas impius atque scelestus Ioannes meam familiam redegerit, eum et Imperatorem, patruum meum, benefactorem suum, ut dormientem leonem crudeliter obtruncasse, et me temere in exilium egisse, patrem autem fratremque saeve atque immaniter sine causa excaecasse, vitam meam minime vitalem existimo. Noli igitur in me hortando defatigari, ut manibus scelerati inimici vitam committam meam. Nunquam tu mihi facies fidem. Quin potius vir ero ipse quoque, et accinctus gladio manibus generis mei parentabo. Omnino denique, quando inter duo extrema fluctuat fortuna, alterum eorum eveniet: aut imperatoriae dignitatis splendorem obtinebo, atque ultionem integram exigam a parricidis; aut fortiter fatum feram, ab impuro atque impio tyranno liberatus."

5. Hanc epistolam ubi Bardas Sclerus accepit, abiecta spe, consiliis revocari posse hominem ex temeritate in insaniam prolapsum, exercitu in

A. M. 6479 Ind. 14 διατάξας, τὴν ἐπὶ τὸ Διπόταμον ᾔει. ἐκεῖσε δὲ ἀφικόμενος, D ἐς τὸ τοῦ Φωκᾶ Βάρδα κατασκόπους ἐξαπιναίως στέλλει στρατόπεδον, εἰς ἐπαιτούντων σχῆμα μετασκευάσας αὐτοὺς, δηλώσοντας τὰς βασιλικὰς ὑποσχέσεις καὶ ἀμνηστίαν τῶν τολμηθέντων τοῖς προηγουμένοις τῆς στρατιᾶς, καὶ προσέτι ἀπαγγελοῦντας, ὡς, εἰ μὴ τοῦ ἀποστάτου θᾶττον ἀποῤῥαγεῖεν, καὶ πρὸς βασιλέα σπείσοιντο, τὸν στρατηλάτην μετὰ τῆς ὁμαιχμίας ἐπιθήσεσθαι καιροφυλακήσαντα, καὶ ὡς ἀντιπάλοις χρήσασθαι. οἱ δὲ, τούτων ἐνωτισθέντες τῶν λόγων, καὶ τοῦ ἐπ' ἀδήλοις σκιαμαχεῖν ταῖς τύχαις τὰς παρὰ τοῦ αὐτοκράτορος διδομένας P. 74 τιμὰς ἑλέσθαι μᾶλλον συνοῖσον εἶναι σκεψάμενοι, νυκτὸς ἐπελθούσης, τῆς τοῦ Φωκᾶ διαστάντες ἑταιρίας, πρὸς τὸν στρατηλάτην ἀπηυτομόλησαν. ὧν οἱ προὔχοντες Ἀνδράλεστος ἦν ὁ Πατρίκιος, αὐτανεψιὸς τοῦ Φωκᾶ, καὶ ὁ Ἀμπελᾶς Συμεών. Βάρδας δὲ, τὸν τούτων δρασμὸν διαγνοὺς, καὶ ὅπως ἀπροφασίστως αὐτοῦ ἀπεῤῥάγησαν, ἤσχαλλεν, ὡς εἰκὸς, καὶ τοὺς ὑπολειφθέντας ἱκετείαις ἐξελιπάρει, μὴ καταπροδοῦναι λέγων αὐτὸν, καὶ ὃν συνίστορα Θεὸν καὶ ἔφορον τῶν ὅρκων πεποίηνται· ἀγωνίσασθαι δὲ μᾶλλον εἰς δύναμιν, καί οἱ δεινὰ πεπονθότι συν- B άρασθαι· οὐδὲ γὰρ τὸν Σκληρὸν, ἔφη, αὐτοῖς ἐξισχύειν συστάδην ἀντικαθίστασθαι, εἴγε μὴ νωθρῶς αὐτοὶ καὶ ἀνειμένως χωροῖεν ἐπὶ τὸ πολεμεῖν. καὶ ὁ μὲν ἐλιπάρει ταῦτα ποτνιώμενος· οἱ δὲ, καὶ αὖθις τοῦ στρατοπέδου ὑπεκρέοντες, τῷ στρατηλάτῃ Σκληρῷ προσετίθεντο. λέγεται βαθείας ἄρτι νυκτὸς ἐνισταμένης,

3. δηλώσαντας cod. 8. Fort. χρήσεσθαι.

alas et numeros descripto, versus Dipotamum movet. Quo cum pervenisset, in Phocae castra ex improviso exploratores mittit, mendicorum habitu, qui Imperatoris pollicitationes impunitatemque delictorum praefectis copiarum declarent, nuncientque praeterea, nisi extemplo a defectore recedant, atque cum Imperatore paciscantur, Magistrum infestum iam cum ipsius manu eos aggressurum, hostiumque numero habiturum. Quae cum audissent, reputantes, ex re sua esse, dignitates ab Augusto oblatas inani labori incertisque fortunis anteferre, ubi nox supervenit, relicto Phocae sodalitio ad Magistrum transfugiunt. Ex his principes fuerunt Andralestus patricius, consobrinus Phocae, et Simeon Ampelas. Cognita horum fuga Bardas, quamque subito a se defecissent, graviter, ut par erat, rem tulit, remanentesque supplicibus verbis imploravit, orans, „ne cum sese proderent, tum Deum, quem testem inspectoremque sacramenti adhibuissent: quin depugnarent potius pro viribus, sibique indigna passo opem ferrent: neque vero Sclerum satis firmum esse ad signa conferenda, modo absque inertia atque desidia ipsi in aciem venirent." Haec is precibus atque obsecratione usus: illi nihilominus ex castris elabi, ad Magistrumque se conferre non intermiserunt. Multa iam nox erat, cum fuga sociorum vehementer percul-

περιπαθῆ γενόμενον τὸν Φωκᾶν τῷ δρασμῷ τῶν συνωμοτῶν, A. C. 971 ἀγρυπνεῖν καὶ ἀλύειν, εὐχαῖς τε τὸ θεῖον ἐξιλεοῦσθαι, τὸ Δα- I. I. 2 βιδικὸν ἐκεῖνο κατεπᾴδοντα λόγιον· Δίκασον, Κύριε, τοὺς ἀδι- Fol. 305 v. κοῦντάς με. αἰφνίδιον δὲ φωνὴν ἐξ ἀέρος ἐνηνεγμένην αὐτοῦ τὰ ὦτα περιβομβεῖν, μὴ περαιτέρω τοῦ ψαλμοῦ χωρεῖν διακελεύουσαν· ὡς τοῦ στρατηλάτου Βάρδα κατ' αὐτοῦ τὰ τοιαῦτα τοῦ C ψαλμοῦ προεξαιτήσαντος λόγια. ἐπιτρὶς δὲ αὐτῷ τῆς τοιαύτης ἐνηχηθείσης φωνῆς, θαμβηθῆναί τε τῷ καινῷ τοῦ χρησμοῦ, καὶ τῆς εὐνῆς διαναστῆναι περιδεῶς, καὶ τὴν τῆς ἕω φαῦσιν ἐκδέχεσθαι.

ς'. Ἤδη δὲ τῆς ἡμέρας σταθερῶς διαυγαζούσης, τοῦ ἵππου ἐπιβῆναι καὶ διϊέναι τὸ στράτευμα, ἐρεῖσαί τε τοῖς πεδίλοις τὸν ὀφθαλμόν. ἐρείσαντι δὲ φαντασίαν γενέσθαι ἀλλόκοτον. δόξαι γὰρ οὐκ ἐρυθρὰ ταῦτα τυγχάνειν, ἀκραιφνῶς δὲ μελεμβαφῆ. ἐρέσθαι τε τοὺς ἀμφ' αὐτὸν, ἀνθ' ὅτου τὸν τοσοῦτον πλάνον καθυποσταῖεν, καὶ μὴ τὰ τῆς βασιλείας, ἀλλ' ἰδιωτικὰ, αὐτῷ ἐπορέξειεν πέδιλα. τοὺς δὲ ἀποκρίνασθαι, τὰ κοκκοβαφῆ πέλειν, D αὐτῷ δὲ ταῦτα κατανοεῖν ἀκριβῶς συνεβούλευον. τὸν δὲ ἐπιβαλεῖν τούτοις τὸν ὀφθαλμὸν, καὶ ἐρυθρὰ ταῦτα καταμαθεῖν, καθάπερ ἐτέλουν ἀνέκαθεν. τοῦτο δεύτερον ἀπαίσιον οἰωνὸν ὁ Φωκᾶς λογισάμενος τὸ τεράστιον, ὁρῶν δὲ καὶ τὴν στρατιὰν αὐτοῦ διϊσταμένην καὶ ἀφηνιάζουσαν, ἔγνω παντὶ τρόπῳ διασώζειν ἑαυτόν. μέσων οὖν τῶν νυκτῶν τῶν οἰκειοτάτων τριακοσίους

3. δίκ. — με. Psalm. XXXIV. 1. 12. τοῖς — ἐρείσαντι δὲ. Locus corruptus in Codice: τοῖς πεδίλοις τῶν ὀφθαλμῶν. ἐρα ἴσαν δὲ φαντασίαν.

sus Phocas, insomnis atque moestus, precibus, ut perhibetur, placare numen studens, Davidicum illud funderet carmen: „Iudica, Domine, nocentes me." Ibi subito vocem ex aëre delatam aures circumsonasse eius ferunt, qua porro pergere in psalmo vetaretur: adversus se Bardam Magistrum ea ipsa psalmi verba praeoccupasse. Quae vox postquam esset ter ab illo exaudita, prodigio vaticinii stupefactum eum perterritumque e lecto surrexisse, aurorae lucem exspectasse.

6. Die iam illustri eum conscenso equo castra perequitasse, oculumque in calceamenta fixisse. Id dum faceret, visionem obiectam ei esse mirabilem. Quippe non rubra illa ei apparuisse, verum ut prorsus atra. Ita interrogasse suos homines, quare commisso tanto errore non imperatoria sibi, sed privatae fortunae, calceamenta porrexissent. Illos contra, blattea esse: modo accuratius ea inspiceret. Tum ipsum coniecisse in ea oculum, rubraque esse intellexisse, quemadmodum a principio fuissent. Id portentum iam alterum funestum omen arbitratus Phocas, simul quod videret dissidentes milites, neque dicto audientes, suae salutis quoquo modo rationem habere statuit. Proinde nocte media hominum maxime sibi addictorum tre-

A. M. 6479 Ind. 14 ἐς τὸ ἀσφαλὲς ὡπλισμένους ἀνειληφὼς, λάθρα τοῦ χάρακος ἔξεισι, καὶ τὴν ἐπὶ τὸ τῶν Τυράννων φρούριον ἄγουσαν, ὃ Ἀντι-
P. 75 γοὺς κέκληται, ᾔει· ὅπερ, τὸ τῆς τύχης παλίμβολον ὑφορώμενος, ἐκ πολλοῦ ἐκρατύνατο, σῖτον ἐν αὐτῷ καὶ παντοδαπὴν χιλὸν ἐπιδαψιλευσάμενος. ὁ δὲ χῶρος, ἵνα τῷ Φωκᾷ Βάρδᾳ ὁ συνασπισμὸς διαλέλυτο, Βαρδάηττα ἐκαλεῖτο ἀνέκαθεν. Βάρδας δὲ ὁ στρατηλάτης, τὸν δρασμὸν διαγνοὺς τοῦ Φωκᾶ, συνάμα λογάσιν ἐξσπασάμενος, ἔθει διώκων. ἀλλ' αὐτοῦ μὲν διήμαρτεν, ἤδη τῷ φρουρίῳ ἀνασωθέντος· τῶν δὲ τούτου συνωμοτῶν ὅσους ζωγρίας εἴληφε, τῶν ὀφθαλμῶν ἀπεστέρησε, προστεταγμένον πρὸς βασιλέως ἔχων αὐτό. λέγεται δὲ τὸ χωρίον, ἵνα τοῖς ἀθλίοις τὸ τοιοῦτον συνέβη ἀτύχημα, Τυφλοβιβάρια ὀνομάζεσθαι.
B ἔμοιγε οὖν ἔπεισι θαυμάζειν, ὅπως ἐξ ἐπιπνοίας τινὸς οἱ πάλαι κινούμενοι ἄνθρωποι ἀπὸ τῆς τῶν πραγμάτων ἐκβάσεως προσηκόντως καὶ καταλλήλως τὰς προσηγορίας τοῖς τόποις ἐτίθεσαν. ἐπεὶ λέγεται καὶ Λέοντα τὸν Φωκᾶν, τὸν πρὸς πάππου θεῖον τοῦ Βάρδα, τοὺς ὀφθαλμοὺς ἐκκοπῆναι ἀνηλεῶς, ὀνομάζεσθαι δὲ τὸν χῶρον, καθ' ὃν τὴν τοιαύτην ὑπέστη ποινὴν, Ὠηλέοντα,
Fol. 306 r. πρὸς δὲ τῆς ἀγροικικῆς ἰδιωτείας κεκλῆσθαι Γωλέοντα. ἀλλὰ τὰ μὲν τῶν τίσεων χωρία τοιαύτας ἀνέκαθεν τὰς ἐπωνυμίας εἰλήφεσαν. οὐ παρέλκον δὲ ἴσως δόξει τὸ καὶ τὸν τρόπον τῆς τοῦ Λέοντος ἐκτυφλώσεως κατὰ παραδρομὴν ἐξειπεῖν.

C ζ. Ἄρτι τοῦ αὐτοκράτορος Λέοντος φθινάδι νόσῳ τῶν ἔνθεν

2. τῶν Τυράννων. Cedrenus II. 670. C. τὸ Τυροποιόν. 6. ἐκαλεῖτο. Fort. καλεῖται. 16. πάππον cod.

centos, probe armatos, sequi sese iussit, valloque clam egressus Tyrannorum castrum versus, quod Antigus vocatur, fugere coepit. Id castellum, fortunae inconstantiam verens, iam dudum communierat, comportatis eo frumento et cuiusque modi alimentis. Locus autem, quo in loco Bardae Phocae exercitus dilapsus est, Bardaëtta nominabatur antiquitus. Inter haec Bardas Magister, Phocae fuga cognita, profectus cum lectis equitibus confestim est insecutus. Quanquam hunc quidem nactus non est, quod in castellum pervenerat incolumis: ex coniuratis autem quotquot captivos fecit, luminibus privavit, sicut erat illi ab Imperatore mandatum. Locusque, in quo miseris usu venit eiusmodi calamitas, inde dicitur Typhlovivaria appellari. Qua in re mirari subit, quemadmodum quasi quodam instinctu moti vetusti mortales apte et convenienter ex rerum eventu nomina locis posuerint. Quippe et Leoni Phocae, patruo magno Bardae, oculos crudeliter erutos esse perhibent, locumque, ubi poenam illam subierit, Oëleonta nuncupatum, Goleonta agresti consuetudine vocari. Ita loca punitionum antiquitus talia nomina invenerunt. Neque abs re fortasse videbitur, si quo pacto excaecatus fuerit Leo, in transitu demonstravero.

7. Leo Imperator cum tabe consumtus diem suum obiisset, Alexander,

μεταναστάντος, καὶ Ἀλεξάνδρου, τοῦ αὐτοῦ συναίμου, κατό- A. C. 971
πιν ἐκείνῳ συναπελθόντος, τῆς δὲ Ῥωμαϊκῆς ἀρχῆς πρός τε L. I. 2
Κωνσταντίνου, τοῦ τιθηνουμένου παιδὸς αὐτοῦ, καὶ τῆς Αὐγούστης Ζωῆς, ἐπισφαλῶς φερομένης, Συμεὼν, ὁ τῶν Μυσῶν ἀρχηγὸς, ἀνὴρ τολμητίας καὶ θερμουργὸς τὰ πολεμικὰ, πάλαι σφαδάζων, καὶ τὴν κατὰ Ῥωμαίων μάχην ὠδίνων, εὐκαιρίας δραξάμενος, ληλατῶν οὐκ ἀνίη Μακεδονίαν καὶ Θρᾴκην· εἰς ἀπόνοιάν τε τὴν Σκυθικὴν καὶ συνήθη ἐπαρθεὶς, αὐτοκράτορα ἑαυτὸν ἀνακηρύττειν Ῥωμαίοις ἐκέλευεν. οἱ δὲ, τὴν ὕπαιθρον D
ἀλαζονείαν καὶ ὕβριν τοῦ Σκύθου μὴ φέροντες, τὰ ὅπλα κινεῖν κατ' αὐτοῦ ἔγνωσαν. καὶ δὴ Λέοντα τὸν Φωκᾶν, ἀνδρείᾳ καὶ τροπαίοις τηνικαῦτα τῶν λοιπῶν στρατηγῶν ὑπερφέροντα, ἀρχηγὸν τῆς στρατιᾶς προστησάμενοι καὶ Δομέστικον τῶν σχολῶν ἀνειπόντες· Ῥωμανὸν δὲ, τῶν ἐμπύρων νεῶν προχειρισάμενοι ναύαρχον (Δρουγγάριον τῶν πλωΐμων τὸν εἰς τὴν τοιαύτην ἀφιγμένον ἀρχὴν ὀνομάζουσι)· τὸν μὲν ἐκ γῆς, τὸν δὲ ἐκ θαλάσσης, Μυσοῖς ἐπιτίθεσθαι προὔπεμψαν. περαιωθέντα δὲ τὸν Λέοντα καὶ τὴν Μυσίαν κατειληφότα φασὶ ἐκτόπως διαγωνίσασθαι, καὶ P. 76
ἀναρίθμητα πλήθη κατακόψαι τῶν δυσμενῶν, ὡς τὸν Συμεὼν εἰς ἀπορίαν συνελαθῆναι δεινὴν, καὶ ἀμηχανεῖν ὅ,τι καὶ δράσῃ, καὶ ὅπως ἐκφύγῃ οὕτω θρασὺν ἄνδρα καὶ ἀκαταγώνιστον. ἤδη δὲ καὶ τῶν ἄλλων ἀπειρηκότων Μυσῶν καὶ πρὸς φυγαδείαν τρεπομένων, ἀγγελίαν πρός τινος λέγεται τῶν ὑπασπιστῶν ἀνενεχθῆναι τῷ Λέοντι, ὡς ὁ Δρουγγάριος Ῥωμανὸς αὐτοῖς ἱστίοις

frater eius, post eum item ex hac vita migrasset, imperium autem Romanum sub eius filio Constantino, inter nutrices etiamtum versante, Zoëque Augusta, non sine difficultate administraretur, Simeon Moesorum princeps, homo audax belloque fervidus, iam pridem ira incitatus expeditionemque contra Romanos moliens, tunc opportunitatem nactus Macedoniam Thraciamque populari non intermisit: quinetiam, Scythica et consueta amentia elatus, Romanos Imperatorem sese renunciare iussit. Hi, apertam insolentiam Scythae atque arrogantiam minime ferentes, arma sumere adversus eum constituerunt. Itaque Leonem Phocam, virtute atque victoriis praeter caeteros tum duces excellentem, copiis praefectum Domesticum scholarum declarant: Romanum igniferis triremibus praeesse iubent (Drungarium rei navalis evectum ad id imperium vocant): alterum ut terra, alterum ut mari Moesos invaderet, mittunt. Ibi Leonem, postquam transiectu facto Moesiam ingressus esset, acriter ferunt praeliatum, atque innumerabilem multitudinem hostium concidisse, adeo ut Simeon, magna consilii inopia affectus, nec quid faceret, haberet, nec quomodo effugeret e manibus ducis fortis adeo et invicti. Iam cum caeteri quoque Moesi animo abiecto fugam meditarentur, ecce a quodam e schola protectorum Leoni nuncius allatus dicitur, Romanum Drungi praefectum solvisse ancoras, ventum in puppi habere,

A. M. 6479 Ind. 14 ἀπάρας, κατὰ πρύμναν ἱσταμένου τοῦ πνεύματος, ἔρωτι τυραννίδος ἀποπλέει εἰς τὸ Βυζάντιον. τὸν δὲ, τῷ ἀπαισίῳ τῆς B ἀγγελίας περιαλγήσαντα, διαλῦσαί τε τὸν συνασπισμὸν, καὶ, νῶτα τοῖς Μυσοῖς δόντα, ἐπείγεσθαι πρὸς τὴν βασιλεύουσαν, εἴ πως τὸν τοῦ Ῥωμανοῦ προτερήσοι ἐπίπλουν, καὶ τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἐγκρατὴς γένοιτο. τὸν δὲ Συμεὼν, τὴν ἀπροφάσιστον καὶ ἀλλόκοτον ἰδόντα Ῥωμαίων φυγὴν, ἐνδοιάσαι μὲν ἐς τὸ παραυτίκα, μή τι σκαιωρούμενον εἴη, καὶ ὄλεθρος Μυσοῖς ἐπισπομένοις ἐγγένηται· μαθόντα δὲ ἀνὰ κράτος φεύγειν αὐτοὺς, ἕπεσθαί τε, καὶ ἄπειρα πλήθη συγκόψαι ἀνηλεῶς. καὶ νῦν ἐστὶν ὁρᾷν εἰσέτι σωρείας ὀστῶν παρὰ τὴν Ἀγχίαλον, καθ' ἣν ἀκλεῶς συνεκόπη τότε φεῦγον τῶν Ῥωμαίων τὸ στράτευμα. ὁ δὲ Λέων, C ἐπείπερ ὑστέρησε τῆς εἰς τὸ Βυζάντιον ἀφίξεως, καὶ τῆς ἐλπίFol. 306 v. δος ἡμάρτανεν (ἔφθη γὰρ ὁ Ῥωμανὸς τὴν βασίλειον ἑστίαν κατειληφὼς καὶ Πατὴρ Βασιλέως ἀναῤῥηθεὶς), ἐς τὴν Ἀσίαν διὰ τῆς Ἀβύδου περαιωθεὶς, πρὸς ἀποστασίαν ἀπέκλινε, καὶ πολλὰ τῷ Ῥωμανῷ καὶ τῇ πολιτείᾳ παρέσχε πράγματα, κατατρέχων, καὶ τοὺς ἐτησίους φόρους ἀφαιρούμενος, καὶ τοὺς ἀντικαθισταμένους χειρούμενος. ἤδη δὲ τῷ χρόνῳ τοῦ λῃστρικοῦ διασκεδασθέντος, καὶ εἰς τοὔμπαλιν αὐτῷ ὑπονοστήσαντος τοῦ βουλεύματος, φυγαδείᾳ χρήσασθαι, συλληφθῆναί τε καὶ ὠμῶς ἐκκεντηθῆναι τοὺς ὀφθαλμούς.

D η'. Ἀλλὰ ταῦτα μὲν οὕτως. Φωκᾷ δὲ ἐπειγομένῳ τηνικαῦτα

11. ὀστῶν. Vid. supra 13. D. Ἀγχίαλον. Cedrenus II. 22. Ἀλλὰ — Φωκᾷ δέ. Sic emendavi. In Codice est: Ἀλλὰ ταῦτα μὲν· (sic) Φωκᾷ τηνικαῦτα κ. τ. λ. Possis tamen quoque scribere, Ἀλλὰ τότε μὲν Φωκᾷ ἐπ. Vid. infra 320 recto.

passis velis Constantinopolim properare, eo consilio, ut imperium appeteret. Hic vero Leonem, acerbo nuncio graviter affectum, ordines solvisse, et, terga Moesis dantem, iter ad reginam urbium direxisse, si forte, Romani navigationem praeveniens, ipse moderamina invaderet rei Romanae. Simeonem, cum, ignarus causae, insolentem Romanorum regressum conspiceret, primo suspicionem habuisse, ne quid doli subesset, et exitium Moesis insequentibus pararetur: mox, ubi effusa fuga ruere comperisset, insecutum infinitam multitudinem crudeliter occidisse. Et conspiciuntur ad hodiernum diem acervi ossium ad Anchialum, ubi tunc fugiens caesus turpiter Romanorum exercitus est. Leo, quod serius Constantinopolim advenerat, spe deiectus (iam enim Romanus palatio occupato Pater Augusti proclamatus erat), in Asiam per Abydum transvectus defectionem fecit, multaque posthaec et Romano et reipublicae negotia facessivit, tum incursionibus, tum tributa annua intercipiendo, fusis qui contra nitebantur. Iam vero, praedatoria eius manu decursu temporis dilapsa, cum consilium contra ipsius sententiam exitum habuisset, eum fugae se commendasse, comprehensumque effossis oculis crudeliter excaecatum.

8. Leonis rebellio hunc in modum conquievit. Phocam autem tunc ad

ἐπὶ τὸ φρούριον, καὶ οὐραγοῦντι τῶν ἀμφ' αὐτὸν, τῶν ἐπιτι- A. C. 971
θεμένων αὐτῷ τις ἐξιππασάμενος, θρασὺς καὶ ἀγέρωχος, ἐπῄει, I. I. 2
ἐπανατείνων τὸ ξίφος μετ' ἀπειλῶν, καὶ πλήττειν ἐπιχειρῶν. ὁ
δὲ ἀπαλλάττεσθαι τὴν ταχίστην παρῄνει, τὰς κατασχούσας αὐ-
τὸν τύχας εὐλαβηθέντα. δεῖν δὲ, θνητὸν ὄντα, τὸ ἄστατον
πάντως ὑφορᾶσθαι τῶν πραγμάτων καὶ ἄπιστον, καὶ μὴ προστι-
θέναι κακοδαιμονοῦντος ἀνδρὸς τοῖς ἀλγήμασιν ἄλγημα. ἀρκεῖν
γὰρ τὰ περιστοιχήσαντα τοῦτον δεινὰ, ἅτινα εἰς τοῦτο δυσπρα- P. 77
γίας αὐτὸν περιήλασαν, ὡς φυγάδα νῦν καθορᾶσθαι τὸν τῆς Ῥω-
μαϊκῆς κατάρξαντα στρατιᾶς. ὁ δὲ, ὕθλον τηνάλλως τοὺς τοιού-
τους λόγους τιθέμενος, πλησιέστερον ᾔει, πλήττειν πειρώμενος.
ὁ δὲ Βάρδας, τὴν παρῃωρημένην κορύνην μεταχειρισάμενος,
αἰφνίδιόν τε συστραφεὶς, κατὰ τῆς κόρυθος παίει τὸν ἄνθρω-
πον· ὁ δὲ, αὐτῇ κυνῇ κατεαγεὶς τὸ κρανίον, ἄναυδος τῇ γῇ
προσαράσσεται· καὶ οὕτως ἐς τὸ φρούριον ὁ Φωκᾶς διασώζεται.
Βάρδας δὲ, ὁ στρατηλάτης καὶ Μάγιστρος, τὸ φρούριον κυ-
κλωσάμενος, παρῄνει τῷ Φωκᾷ Βάρδᾳ, τὴν εὐμένειαν τοῦ κρα-
τοῦντος αἰτήσασθαι, καὶ τοῦ τειχίου κατιέναι ὡς τάχιστα. ὁ δὲ, B
ἐπεὶ ἐς ἀμηχανίαν ἐσχάτην καὶ δεινὴν ἀπορίαν συνείληπτο, πολ-
λὰ γνωματεύσας καὶ λογισάμενος, ἔγνω ἐνδοῦναι τῇ τύχῃ, καὶ
εἶξαι τοῖς κρατοῦσιν, εἰ ἀπάθειαν αὐτοῦ τε καὶ τῶν φιλτάτων
λήψοιτο. παραυτίκα οὖν πίστεις ἐξαιτησάμενος, ὡς οὐδέν τι τῶν
ἀηδῶν πείσεται, καὶ ταύτας πρὸς τοῦ Σκληροῦ εἰληφὼς, κάτει-
σι τοῦ φρουρίου σὺν γυναιξὶ καὶ τέκνοις. ὁ δὲ τούτους δεξάμε-

5. δεῖ cod. 6. προστιθέναι. πρὸς τὸ θέναι cod.

castellum properantem, cum agmen suorum clauderet, ex insequentibus aliquis, audax et protervus, provectus ante caeteros invasit, gladiumque cum minis elatum infligere conatus est. Is eum monet, protinus retro regrediatur, praesentem suam fortunam veritus. „Debere eum, ut mortalem, necessario inconstantiam infidelitatemque fortunae extimescere, neque ad aegritudines viri calamitosi novam addere. Satis malorum se circumstare, quae in eas se adduxissent angustias, ut qui Romanae armaturae praefuisset, is fugitivus nunc conspiceretur." Hic, eiusmodi voces flocci non faciens, propius accessit, ferire conans. Tum Bardas, arrepta casside quam suspensam gerebat, subito conversus hominem in galeam percussit; is, perfracta simul et galea et calvaria, voce nulla missa, in terram defertur: Phocas hunc in modum in castellum incolumis pervenit. Quod cum Bardas, dux et Magister, exercitu circumdedisset, suasit Phocae, ut ad clementiam principis confugeret, deque munitione quamprimum exiret. Is, ubi erat ad summas angustias magnamque rerum inopiam redactus, multis agitatis perpensisque sententiis, fortunae cedere statuit, dominantibusque subiicere sese, modo impunitatem cum suam tum carorum suorum impetraret. Ita evestigio fide postulata, ne quid incommodi caperet, ubi hanc a Sclero acceperat, una cum uxore ac liberis de castello descendit. Is eos receptos

A. M. 6479 Ind. 14 νος ἀλύπως ἐφρούρει, ἀναφέρει τὰ ξυναχθέντα πρὸς βασιλέα, ἐρόμενος ὅ,τι δεῖ καὶ ποιεῖν. ὁ δὲ αὐτοκράτωρ Ἰωάννης ἐδήλου, τὸν μὲν τοῦ Φωκᾶ Βάρδαν, κληρικὸν ἀποκαρέντα, ἅμα συζύγῳ C καὶ τέκνοις ἐν τῇ νήσῳ Χίῳ περιορίσαι· αὐτὸν δέ, τὰς δυνάμεις Fol. 307 r. ἀνειληφότα, ἐς τὴν Εὐρώπην διὰ τοῦ Ἑλλησπόντου διαπερᾶν, χειμεριοῦντα πρὸς τὰ ἐκεῖσε χειμάδια· ὡς, ἦρος εὐθὺς ἐπιγινομένου, καὶ αὐτὸν βασιλέα μετὰ τῶν ὑπασπιστῶν ἐκστρατεῦσαι κατὰ Σκυθῶν· μηδὲ γὰρ τὴν τούτων ἀκάθεκτον ὕβριν καρτερῆσαι λοιπόν.

θ'. Οὗτοι γάρ, τὴν ἀπὸ τῆς Εὐρώπης τοῦ στρατηλάτου Βάρδα διαγνόντες ἄπαρσιν, ἐς τὴν Ἀσίαν παρὰ βασιλέως σταλέντος διὰ τὸν ἔναγχος ἀναῤῥιπισθέντα πρὸς τοῦ Φωκᾶ Βάρδα νεωτερισμόν, καθάπερ μοι ἤδη ἐῤῥήθη, τὰ μέγιστα Ῥωμαίους ἐσίνοντο, αἰφνιδίους ἐπεξελάσεις ποιούμενοι, καὶ τὴν τῶν Μα- D κεδόνων ληϊζόμενοι καὶ δῃοῦντες ἀφειδῶς· τοῦ τὴν ἐπιστασίαν τῆς ἐνταῦθα στρατιᾶς ἐγχειρισθέντος Ἰωάννου Μαγίστρου, ᾧ Κουρκούας ἐπώνυμον, ἐς ῥᾳστώνην καὶ πότους, παρὰ τὸ εἰκός, ἀποκλίναντος, ἀπείρως τε καὶ ἀμαθῶς κεχρημένου τοῖς πράγμασι· τῷ τοι καὶ ἐς αὐθάδειαν καὶ θράσος τὰ Ῥωσικὰ ἐπήρθη φρονήματα. τὴν ὑπέραυχον τοιγαροῦν ἀλαζονείαν αὐτῶν, καὶ τὸν ἀντικρὺς προπηλακισμὸν μὴ στέγων ὁ βασιλεύς, παντὶ σθένει κολούειν καὶ κατασπᾶν ἠπείγετο ἐκ τοῦ συστάδην τούτοις συμπλέκεσθαι. ἐντεῦθεν καὶ τὰς ἐμπύρους τριήρεις ἑρματίζειν προσέταττε, P. 78 καὶ σίτου πλῆθος ἐς τὴν τοῦ Ἀδριανοῦ πόλιν διὰ τῶν σιτηγῶν

1. Fort. ἀναφέρει τε. 2. αἰρόμενος cod.

incolumes asservat: de pactis ad principem refert: quid opus sit facto interrogat. Rescripsit Ioannes Imperator, „Bardam Phocam, clericum factum circumtonsumque, cum coniuge atque liberis in Chium insulam amandaret: ipse, abductis copiis, in Europam per Hellespontum transiiceret, in hibernisque, quae per loca illa sint, hibernaret: nam primo vere ipsum Imperatorem cum scholis in Scythas moturum: eorum effraenatam insolentiam tolerare diutius se nolle."

9. Etenim Scythae, de Bardae ducis ex Europa discessu certiores facti, qui ob excitatam modo a Barda Phoca seditionem in Asiam ab Imperatore erat missus, ut iam dictum est a me, plurimum Romanos vexabant, incursionibusque derepente factis improbe diripiebant vastabantque Macedoniam: quod Ioannes Magister, cognomento Curcuas, cui copiarum in illis partibus commissa erat cura, desidiae atque potationibus praeter modum deditus, imperite atque imprudenter res administrabat; ex quo ad arrogantiam fiduciamque Russorum se erexerant animi. Quorum superbam insolentiam et manifestas contumelias cum non ferret Imperator, omni vi repellere et deiicere properabat, praelio collatis signis facto. Proinde et igniferas triremes onerari iussit, et comportari Adrianopolim frumentariis

πλοίων κομίζειν, καὶ χορτάσματα τῶν ὑποζυγίων, καὶ ἀποχρῶν- A. C. 971
τα ὅπλα τῇ στρατιᾷ, ὡς μήτινος τούτων κατὰ τὸν καιρὸν τῶν I. I. 2
ἀγώνων οἱ Ῥωμαῖοι σπανίζοιεν. ἐν ᾧ δὲ ταῦτα παρεσκευάζετο, Θεοδώραν, τὴν τοῦ αὐτοκράτορος Κωνσταντίνου τοῦ Πορφυρογεννήτου παῖδα, ὁ Ἰωάννης πρὸς γάμον ἡρμόσατο, κάλλει μὲν καὶ σώματος ὥραις οὔ τι λίαν οὖσαν ἀριπρεπῆ, σωφροσύνῃ δὲ καὶ ταῖς παντοδαπαῖς ἀρεταῖς ἀδηρίτως τοῦ θήλεος ὑπεραίρουσαν. Νοέμβριος μὴν ἐνειστήκει, ἔτει δευτέρῳ τῆς τούτου ἡγεμονίας, ὅτε ἡ γαμήλιος ἐτελεῖτο ἑστίασις. καὶ θυμηδία τις κα- B
τεῖχε τὸν δῆμον ἄῤῥητος, ἀνθ᾽ ὧν ἤθους εὐμενείᾳ καὶ τρόπων χρηστότητι τὸ ὑπήκοον ὁ βασιλεὺς ἴθυνε· θαυμαζόμενος μάλιστα, ὅτε μεγαλοπρεπής τις ὢν καὶ ἀρχικὸν κεκτημένος τὸ φρόνημα, προσηνής τε καὶ ἐπιεικὴς τοῖς ὑπηκόοις ἐδείκνυτο, προχείρως τοῖς χρῄζουσιν ἐπιδαψιλεύων τὸν ἔλεον. ἀλλὰ τότε μὲν, φιλοτησίαις καὶ θεάτρων ἁμίλλαις τὸν δῆμον φιλοφρονούμενος, κατὰ τὸ Βυζάντιον διεχείμαζε καὶ τὸν τοῦ ἦρος καιρὸν ἐξεδέχετο, τοὺς ἀμφ᾽ αὑτὸν ἐξασκῶν ὁσημέραι λογάδας τὴν ἐνόπλιον κατὰ θάτερα δίνησιν καὶ τὴν παντοδαπὴν τοῦ πολεμεῖν ἐμπειρίαν, ὁπόση παρὰ τὰς μάχας τοῖς ἀλκιμωτάτοις ἀνδράσιν ἐπινενόηται.

14. ἔλεον. Vid. supra 59. D.

navibus commeatum plurimum, itemque pabulum iumentis, et armorum quantum sat esset militibus, ne quid earum rerum dimicationis tempore Romanis deesset. Haec dum parantur, Theodoram, Constantini Porphyrogeniti Imp. filiam, Ioannes in matrimonium duxit: pulchritudine corporisque elegantia non ita insignem, pudore autem omnique virtutum genere mulieribus sine controversia antestantem. Mensis November tunc agebatur, anno altero principatus eius, cum nuptiarum solennia fierent. Quo tempore maior quam ut dici possit laetitia populum tenebat, propterea quod miti animo magnaque morum facilitate regebat subditos Imperator: praedicatus maxime, quod et magnificus esset, et indole praeditus regia; simul, quod benignum se et aequum civibus praeberet, liberaliter egentibus stipem erogans. Ita tunc, congiariis ludisque in theatro munerata plebe, Constantinopoli hibernans vernum tempus praestolabatur: lectam autem circa se manum quotidie in armatis utroqueversum conversionibus, in omnibusque belli meditationibus exercebat, quotquot a fortissimis viris sunt ad praeliorum usus excogitatae.

# ΛΕΟΝΤΟΣ ΔΙΑΚΟΝΟΥ

## ΙΣΤΟΡΙΑΣ Η.

# LEONIS DIACONI HISTORIAE

## LIBER VIII.

### ARGUMENTUM.

***Ioannes Tzimisces expeditionem contra Russos parat. Classis prope Constantinopolim lustrata ad Istrum praemittitur (Cap. 1). Ioannes, urbe relicta, castra ponit ad Adrianopolin. Oratio eius ad duces exercitus (2). Iterum oratione animos eorum confirmat (3). Ioannes in Bulgariam descendit. Proelium ad Praesthlabam (4). Praesthlaba oppugnata (5). Theodosii potissimum audacia expugnata. Rex Bulgarorum cum uxore et liberis captus (6). Postridie arx quoque vi capitur (7). Imperator Sphendosthlabo iterum conditiones offert (8). Quibus spretis cum exercitu progreditur: acies utrinque instruitur (9). Primum proelium ad Dorystolum. Russi in oppidum se recipiunt (10).***

A. M. 6480 α'. Τῆς δὲ χειμερινῆς κατηφείας εἰς ἐαρινὴν αἰθρίαν μεταβα-
Ind. 15 λούσης, τὸ σταυρικὸν σημεῖον εὐθὺς ἄρας ὁ βασιλεὺς, κατὰ τῶν
A. C. 972 Ταυροσκυθῶν ἠπείγετο. καὶ δῆτα τῶν ἀνακτόρων ἐξαναστὰς,
I. I. 3. P. 79 τῷ τοῦ Σωτῆρος Χριστοῦ κατὰ τὴν Χαλκῆν τιμωμένῳ σηκῷ
Fol. 307 v. πρόσεισι, τὸ θεῖον ἐξευμενισόμενος. ὅνπερ ἀθρήσας ἐστενωμένον εὐκτήριον, μόλις που πεντεκαίδεκα χωρεῖν ἔνδον ἄνδρας δυνάμενον, σκολιάν τε καὶ δυσπρόσοδον, ὡσεί τινα ἑλικοειδῆ λαβύρινθον ἢ κρησφύγετον κεκτημένον τὴν ἄνοδον, ἐξαυτῆς ἐγκε-

**1. Hiberno squalore in vernam mutato serenitatem, Imperator, sublato statim crucis vexillo, adversus Tauroscythas iter maturavit. Ita sacro limine egressus ad Servatoris Christi sacellum, quod in Chalce veneramur, numen placaturus accessit. Id oratorium angustum esse conspicatus, hominesque vix quindecim capere intus posse, flexo et difficili, labyrinthi tortuosi gurgustiive instar, ascensu, evestigio in maius sanctiusque a funda-**

λεύεται ἐς τὸ μεγαλειότερον καὶ εὐαγέστερον ἐκ βάθρων τοῦτον A. M. 6480 οἰκοδομεῖν, τῶν γείσων αὐτὸς σχηματίσας τὸν περίμετρον· ὃν Ind. 15 A. C. 972 εἰς τοῦτο κάλλος, εἰς ὃ νῦν ὁρᾶται, καὶ μέγεθος ἡ ἐκείνου ἐξ I. I. 3 ἐπιπνοίας τινὸς σπουδὴ καὶ ἐπίσκηψις ἤγειρεν. ἐντεῦθεν εἰς τὸν B θεῖον καὶ περίπυστον νεὼν τῆς τοῦ Θεοῦ σοφίας ἀφικόμενος, ἄγγελόν τε αὐτῷ δοθῆναι ἐξαιτησάμενος, προπορευόμενον τοῦ στρατοῦ, καὶ τὴν ὁδὸν κατευθύνοντα, εἰς τὸν ἐν Βλαχέρναις τιμώμενον τῆς Θεομήτορος οἶκον λιτανεύων ἐπιφοιτᾷ. κἀνταῦθα δὲ ἱκετηρίαις τὸ θεῖον, ὡς τὸ εἰκὸς, ἐξιλεωσάμενος, ἄνεισιν ἐς τὰ ἐκεῖσε ἀνάκτορα, τὰς πυρφόρους τριήρεις ὀψόμενος, τακτικῶς πρὸς τὸ τοῦ Βοσπόρου σαλευούσας προκόλπιον, ᾧ καὶ ἐπίνειον ταῖς φορτίσι καθέστηκεν εὔορμον καὶ εὐγάληνον, ἐς καμπὴν ἠρέμα μέχρι τῆς γεφύρας καὶ τοῦ κατ' αὐτῆς εἰσβάλλοντος C ποταμοῦ ἐκτεινόμενον. τὴν γοῦν μετ' ἐμπειρίας καὶ κόσμου τῶν τριηρῶν εἰρεσίαν καὶ ἅμιλλαν ὁ βασιλεὺς θεασάμενος (ἐτύγχανον δὲ ὑπὲρ τὰς τριακοσίας, συνάμα λέμβοις καὶ ἀκατίοις, ἃ νῦν γαλέας καὶ μονέρια κοινῶς ὀνομάζουσι), φιλοφρονησάμενός τε τοὺς ἐρέτας καὶ τὸ περὶ αὐτὰς στρατιωτικὸν ἀργυρίου διανομῇ, P. 80 ἐς τὸν Ἴστρον ἐκπέμπει, τὸν τούτου πόρον φρουρήσοντας, ὡς μὴ ἐνὸν εἴη τοῖς Σκύθαις, ἐς τὴν σφῶν πατρίδα ἐκπλεῖν καὶ τὸν Κιμμέριον Βόσπορον, εἴγε πρὸς φυγὴν ἀποκλίνοιεν. λέγεται δὲ τὸν Ἴστρον ἕνα τῶν ἐξ Ἐδὲμ ἐκπορευομένων εἶναι ποταμῶν, τὸν ἐπικεκλημένον Φισῶν, ἐκ τῆς ἕω μὲν ἐκδιδόμενον, ὑποδυόμενόν τε κατὰ γῆν ἀμηχάνῳ τοῦ δημιουργοῦ σοφίᾳ· καὶ αὖθις ἐκ τῶν

2. αὐτὸ cod. Paulo post malim τὴν s. τὸ περίμετρον, et κάλλους — μεγέθους, aut τοῦτο τὸ κ. 7. ἐν. ἐκ cod.

**mentis aedificari iussit, murorumque ambitum ipse figuravit: quem in eam, quae adhuc videtur, speciem et amplitudinem velut aliquo afflatu divino solertia eius et iussum excitavit. Inde in coelestis Sapientiae divinum atque illustre templum perrexit: ex quo, angelum dari sibi precatus, qui exercitui anteiret viamque dirigeret, in aedem Matris Dei in Blachernis cultam cum hymnorum cantu transit. Ibi quoque precibus divino numine rite placato, in palatium, quod ibidem est, ascendit, igniferas triremes inspecturus. Stabant ordinatim in sinu Bospori, ubi portus onerariarum tutus et tranquillus subest, molli flexu ad pontem usque flumenque, quod ibi in mare transit, pertineas. Triremium navigationem et certamen, usu militari atque ordine facta, ut spectavit Imperator (erant autem navigia plus CCC, adiunctis actuariis et scaphis, quas nunc galeas et moneria vulgo vocant), remiges et propugnatores donativo auctos ad Istrum emisit ad traiectum fluminis asservandum, ut Scythis, si forte se fugae darent, domum inque Cimmerium Bosporum renavigandi facultas auferretur. Istrum unum de fluviis perhibent ex Eden profluentibus, Phison cognomento: eum, ex Oriente ortum, rursus summa divini aedificatoris sapientia sub terram condi: post denuo e montibus Cel-**

A. M. 6480 Ind. 15 Κελτικῶν ὀρέων ἀναπιδύοντα, ἑλισσόμενόν τε διὰ τῆς Εὐρώπης, καί, εἰς πέντε τεμνόμενον στόματα, τὸν ῥοῦν ἐσβάλλειν παρὰ τὸν Πόντον, ὃς Εὔξεινος ὀνομάζεται. τινὲς δὲ Φισῶν τὸν τὴν Ἰνδικὴν τέμνοντα γῆν τυγχάνειν, ὃν καὶ Γάγγην κικλήσκειν εἰώθασι, παρ' ᾧ ἐξευρίσκεται ὁ λίθος ὁ σμάραγδος.

B β'. Ἀλλ' αἱ μὲν τριήρεις τοῦτον τὸν τρόπον ἐπὶ τὸν Ἴστρον Fol. 308 r. ἀνήχθησαν. Ἰωάννης δὲ ὁ αὐτοκράτωρ, τοῦ Βυζαντίου ἀπάρας, ἐς τὴν Ἀδριανοῦ σὺν παντὶ τῷ στρατεύματι παραγίνεται. ἣν Ὀρέστην φασὶ πολίσαι τὸν τοῦ Ἀγαμέμνονος, ὅτε τὸν πλάνον ὑπέστη μετὰ τὴν ἀναίρεσιν Κλυταιμνήστρας, τῆς ἰδίας μητρός· ἐξ ἐκείνου τε Ὀρεστιάδα κεκλῆσθαι τὸ πρότερον. Ἀδριανὸν δὲ αὖθις τὸν αὐτοκράτορα, Σκύθαις μαχόμενον, ἁλῶναί τε τῇ θέσει τῆς χώρας, καὶ ταύτην ἐχυροῖς περιβόλοις τειχίσαι, καὶ C Ἀδριανοῦ ὀνομάσαι. ἐνταῦθα δὲ ὁ βασιλεὺς ἀφικόμενος, ἀναμαθών τε πρὸς τῶν σκοπῶν, ὡς ἐπάγουσαι εἰς τὴν τῶν Μυσῶν δυσέμβολοι καὶ ἐστενωμένοι ἀταρπιτοί, ἃς καὶ κλεισούρας, διὰ τὸ οἱονεὶ κατακεκλεῖσθαι, κατονομάζουσι, παρὰ τῶν Σκυθῶν οὐ παραφυλάττονται, τοὺς λοχαγοὺς καὶ ταξιάρχους συναγηοχώς, ἔλεξε τοιάδε· „Ὤιμην μέν, ὦ συστρατιῶται, Σκύθας τὴν ἡμετέραν ὡς αὐτοὺς ἐκ πολλοῦ προσδοκῶντας ἄφιξιν, παντὶ σθένει τὰ ἐπικαιρότατα καὶ στενώτατα, δυσπρόσοδά τε, τῶν ἀταρπιτῶν, θριγκοῖς τισι καὶ ἑρκίοις συγκλεῖσαι, ὡς μὴ εὐπετῶς ἡμῖν εἴη εἰς τὰ πρόσω εἰσιτητέα. ἐπεὶ δὲ ἡ τοῦ θείου Πάσχα D ἐπέλευσις ἔσφηλε τούτους, προκατασφαλίσασθαι τὰς ὁδοὺς καὶ

5. σμάραγδος. Vid. Genes. II. 12. 6. Ἀλλ' αἱ μέν. Ἀλλὰ μὲν cod. 14. δέ. Fort. δή.

ticis eructatum per Europam volvi, et, in quinque capita fissum, in Pontum influere, qui Euxinus nominatur. Alii Phisonem arbitrantur flumen quod Indiam intersecet, Gangem vulgo vocatum, ubi smaragdus lapis invenitur.

2. Triremes dum sic ad Istrum adnavigant, Ioannes Imp., ab urbe profectus, Adrianopolim omnibus copiis venit. Hoc oppidum ab Oreste Agamemnonis F. cum post Clytaemnestrae matris caedem ex errore substitisset, conditum esse demonstrant: inde prius Orestiadem appellatum fuisse. Posterius Adrianum Caesarem, cum Scythis bellantem, situ loci captum, propugnaculis firmis communisse, atque Adrianopolim nominasse. Eo postquam Imperator pervenit, ab exploratoribus certior factus est, tramites in Moesiam agentes, difficiles illos quidem et perangustos, quos inde Clisuras, quod quasi clausi sint, vocant, a Scythis minime custodiri. Quare convocatis centurionibus et tribunis in hunc est modum locutus: „Existimabam, commilitones, Scythas, nostrum ad ipsos adventum iamdiu exspectantes, omni opera opportunitates angustiasque saltuum et viarum septis vallisque interclusisse, ne sine difficultate ultra progredi possemus. Nunc, quandoquidem divini Paschatis adventus in causa illis fuit, quo minus praeseptia

ἀπείρξαι τὴν ἡμῶν πάροδον, μὴ πεισθέντας, ὡς καταλειπόντες A. C. 972
ἡμεῖς τὰ τῇ μεγάλῃ ἑορτῇ ἑπόμενα, λαμπροφορίας, καὶ προ- L. I. 3
όδους, καὶ τρυφὰς, καὶ θέατρα, περὶ πόνους καὶ ταλαιπωρίας
πολέμων ἐναποκλίνομεν, δοκεῖ μοι ἄριστα πράξειν, εἰ ἐξαυτῆς
ἁρπάσωμεν τὸν καιρὸν, καὶ ὡς ἔχομεν τάχους ἐνσκευασάμενοι,
τὴν ἐστενωμένην ὁδὸν παροδεύσωμεν, πρὸ τοῦ Ταυροσκύθας
αἰσθέσθαι τὴν ἡμῶν ἔφοδον, καὶ εἰς ἀλκὴν κατὰ τὰς δυσχωρίας
ὁρμῆσαι. εἰ γὰρ προτερήσομεν τὴν τῶν ἐπισφαλῶν χωρίων διά-
βασιν, καὶ ἀπροσδόκητοι τούτοις προσβάλωμεν, οἶμαι (σὺν Θεῷ
δὲ εἰρήσθω), αὐτοβοεὶ καὶ τὴν πόλιν Πραισθλάβαν αἱρήσειν, ἣ P. 81
Μυσοῖς ἐστὶ τὰ βασίλεια· κἀκεῖθεν ὁρμώμενοι, ῥᾷστα τὴν Ῥω-
σικὴν ἀπόνοιαν καταγωνισόμεθα."

γʹ. Ἀλλὰ ταῦτα μὲν εἶπεν ὁ βασιλεὺς, τοῖς δέ γε στρατη-
γοῖς καὶ ταξιάρχοις ἄκαιρος ἐδόκει ταυτὶ τὰ ῥηθέντα τόλμα, καὶ
τηνάλλως θράσος ἐς ἀπόνοιαν ἐκπίπτον ἀλόγιστον, ἀπερισκέπτως
τὴν Ῥωμαϊκὴν δύναμιν διὰ σηραγγώδους καὶ κρημνώδους ὁδοῦ
διαβιβάζειν ἐπὶ τῆς ἀλλοδαπῆς προτρεπόμενα. ἐφ' ἱκανὸν οὖν
χρόνον σιωπώντων αὐτῶν, ἀναλαβὼν αὖθις καὶ ἀνοιδήσας ὁ αὐ-
τοκράτωρ φησίν· „Ὅτι μὲν τὸ μὴ λελογισμένως παρὰ τοὺς πολέ-
μους χωρεῖν, ἀλλ' αὐθαδῶς καὶ θρασέως, κίνδυνον εἴωθεν ὡς B
μάλιστα προξενεῖν καὶ πανολεθρίαν ἀνήκεστον, ἐπίσταμαι καὶ αὐ-
τὸς, ἐκ νεότητος ταῖς μάχαις ἀναστραφεὶς, καὶ πολλὰ τρόπαια,
καθὼς ἴστε, καὶ νίκας ἀναδησάμενος. ὅτι δὲ, ἐν οἷς ὁ καιρὸς, ὡς

9. προσβάλωμεν. Nota hic aoristum subiunct. pro futuro. 19. Fort. πολεμίους. 22. ἀναστραφείς. Sic cod. Fort. ἀνατραφεὶς, innutritus.

itineribus transitum nostrorum prohiberent, minime arbitrati, nos, relictis quae magnum festum consequantur lustrationibus, pompis, lautitiis, ludis, ad belli labores molestiasque conversum iri, videtur mihi quidem optimum factu, oblata facultate confestim uti, priusque armis confestim captis angustias transmittere, quam Tauroscythae, adventu nostro cognito, vi saltus obtineant. Quod si praeripimus locorum periculosorum transitum, inopinantesque illos adorimur, spe ducor (pace numinis dixerim), primo impetu vel Praesthlabam oppidum, Moesorum regiam, teneri posse: unde ultra progressi vesaniam Russicam facile comprimemus."

3. Haec Imperator cum diceret, magistris militiae tribunisque militum oratio eius intempestivae fiduciae audaciaeque plena visa est, temere in factum demens erumpentis, quod imprudenter Romanas copias saltuoso arduoque itinere externam in terram traducere suaderet. Quare, cum aliquandiu conticuissent, instaurato sermone Imperator indignans, „In dimicationes," inquit, „ita venire, ut minus iudicio quam impetu et temeritate ducare, id quanta pericula afferre soleat quamque insanabiles plagas, cognitum et ipse habeo, e pueritia in praeliis versatus, palmasque non unas, quod scire vos arbitror, et victorias consecutus. Sed quando fortuna, in

A. M. 6480 Ind. 15 Fol. 308 v. ἐπὶ ξυροῦ ἀκμῆς ἑστηκὼς, μὴ κατὰ γνώμην χρῆσθαι τοῖς πράγμασι δίδωσι, δεῖ που τοῦτον προαρπάζειν, καὶ τὰ οἰκεῖα εὖ τίθεσθαι, συνθήσεσθαί μοι δοκῶ καὶ αὐτοὺς, ἐμπειρίαν πολλὴν ἀναλεξαμένους ἐκ τῆς ἀλλεπαλλήλου καὶ ἑτεροκλινοῦς τῶν πολέμων ῥοπῆς. εἴ τι οὖν μοι πείθεσθε τὰ λῷονα συμβουλεύοντι, ἕως οἱ Σκύθαι πρὸς ῥᾳστώνην ἀναπεπτώκασι, μήπω τὴν ἡμῶν αἰσθόμενοι ἄφι- C ξιν, ἁρπάσωμεν τὸν καιρὸν, καὶ ἡ νίκη τῇ διαβάσει τῆς κλεισούρας συνέψεται. εἰ γὰρ διαβησείοντας ἡμᾶς αἴσθοιντο, καὶ εἰς ἀντίπαλον ἐπὶ τῶν στενωπῶν ἀντιτάξοιντο φάλαγγα, οὐκ εἰς καλὸν ἡμῖν τελευτήσει τὰ πράγματα, ἀλλ' ἐς ἀπορίαν καὶ ἀμηχανίαν δεινήν. ἐπιῤῥώσαντες οὖν τοὺς θυμοὺς, καὶ λογισάμενοι, ὅτι Ῥωμαῖοί ἐστε, οἱ τὸ ἀντίξουν ἅπαν τὸ πρόσθεν ὅπλοις καταστρεφόμενοι, ἕπεσθε τὴν ταχίστην, τὴν σφῶν ἀρετὴν ἐπὶ τῶν ἔργων ἐπιδεικνύμενοι."

δ'. Ταῦτα εἰπὼν, καὶ ἀριπρεπεῖ παντευχίᾳ καθοπλισθεὶς, ἐφ' ἵππου τε γαύρου καὶ σοβαροῦ ἐπιβὰς, καὶ δόρυ ἐπωμισάμε- D νος μήκιστον, ἀπήρχετο τῆς ὁδοῦ, προπορευομένην ἔχων τὴν τῶν λεγομένων ἀθανάτων φάλαγγα, τεθωρακισμένην ἐπιεικῶς· εἵποντο δὲ αὐτῷ ὁπλῖται μὲν τῶν ἀλκιμωτάτων πρὸς τοῖς μυρίοις πεντακισχίλιοι, ἱππεῖς δὲ μύριοι καὶ τρισχίλιοι. τὸ δὲ λοιπὸν στρατιωτικὸν μετὰ τοῦ θητικοῦ, φέρον τὰς ἑλεπόλεις καὶ τὰς παντοδαπὰς μηχανὰς, βάδην ἐξόπισθεν εἵπετο, ἅμα τῷ προέδρῳ Βασιλείῳ, ᾧ τὴν τούτων ὁ βασιλεὺς ἐπέτρεψε πρόνοιαν. ἐπεὶ δὲ τοὺς ἐπισφαλεῖς καὶ κρημνώδεις τόπους διώδευε παρὰ πᾶ-

1. ξυροῖς cod.

novaculae acie constituta, ad arbitrium agere non permittit, tunc audacter arrepta illa rem geri oportere, id ne ipsi quidem, opinor, negabitis, qui magnam peritiam ex incerto ancipitique bellorum eventu collegistis. Quare, si quid mihi creditis meliora suadenti, dum Scythae desidiae se dant, necdum de adventu nostro cognorunt, rapiamus occasionem, et transitum faucium victoria consequetur. Nam, si intellexerint nos transmittere velle, superque angustiis infesta acie constiterint, vereor ut exitum optabilem res habeat, neve in discrimen potius difficultatemque summam adducatur. Proinde facite ut fortem animum habeatis, reputantesque Romanos vos esse, qui adversarios omnes olim armis subegerint, cito sequimini, virtutem vestram factis declarantes."

4. Hac habita oratione, insigni armatura munitus, insessoque generoso atque acri equo, lanceam praelongam humero gerens, viae se dedit, praeeuntem habens Immortalium quos vocant egregie loricatam cohortem: pone sequebantur legionariorum fortissimorum millia quinque et decem, equitum tredecim millia. Reliquus exercitus cum impedimentis et calonibus, helepoles et cuiusque modi machinas vehens, lento gressu retro sequebatur, cum Basilio praeside, cui Imperator horum curam commiserat. Ita, ubi praeter omnium opinionem periculosa et praerupta loca transiverat, itinere raptim

σαν ὑπόνοιαν, τὸ σύντονον ἐπισχὼν τῆς πορείας, ἐπί τινος ἐχυ- A. C. 972
ροῦ γηλόφου ἐκ τοῦ θατέρου μέρους παραῤῥέοντα ἔχοντος ποτα- I. I. 3 P. 82
μὸν, ὑδάτων πληθώραν ἐπαγγελλόμενον, τήν τε ἵππον καὶ τὸν
στρατὸν διανέπαυσεν. ἄρτι δὲ σταθηρᾶς ἡμέρας ἀπαυγαζούσης,
διαναστὰς, καὶ ἐς βαθείας φάλαγγας διατάξας τὸ στράτευμα,
τὴν ἐπὶ Πραισθλάβας ᾔει, θαμινὰ τὰς σάλπιγγας τὸ ἐνυάλιον
ἐγκελευσάμενος ἐπηχεῖν, ἀλαλάζειν τε τὰ κύμβαλα, καὶ τὰ τύμ-
πανα παταγεῖν. ἐντεῦθεν βοή τις ἄῤῥητος ἀνεδίδοτο, συνεπη-
χούντων τοῖς τυμπάνοις τῶν ἐκεῖσε ὀρέων, καὶ ἀντικτυπούντων τῶν
ὅπλων, καὶ τῶν ἵππων χρεμετιζόντων, τῶν τε ἀνδρῶν ἀλλήλοις
ἐκβοώντων καὶ πρὸς τὴν μάχην ἐπιῤῥωννύντων, ὡς τὸ εἰκός. B
Ταυροσκύθας δὲ, τὴν τοῦ στρατοπέδου μετ' ἐμπειρίας ὡς αὐτοὺς
ἀθρήσαντας ἐπεξελάσειν, ἀμηχανία καὶ δέος ᾕρει, τῷ ἀπροσδοκή-
τῳ καταπλαγέντας τοῦ πράγματος. ἀλλὰ καὶ ὡς σπουδῇ τὰ ὅπλα
ἁρπάσαντες, καὶ τοὺς θυρεοὺς ἐπωμισάμενοι (ἐρυμνοὶ δὲ οὗτοι, Fol. 309 r.
καὶ ἐς τὸ ἀσφαλὲς ποδήρεις ἐξειργασμένοι πεποίηνται), ἐς καρτε-
ρὸν ἀντικαταστάντες συνασπισμὸν, ἐπὶ τὸ πρὸ τοῦ ἄστεος ἱπ-
πήλατον πεδίον Ῥωμαίοις ἀντεπῄεσαν, δίκην θηρίων βρυχώμε-
νοι, καὶ καινὴν καὶ ἀλλόκοτον προϊέμενοι ὠρυγήν. Ῥωμαῖοι δὲ,
συμβαλόντες αὐτοῖς, ἐῤῥωμένως ἐμάχοντο, καὶ ἄξια πολέμων C
ἔργα εἰργάζοντο, τῆς μάχης ἰσοπαλοῦς ἀμφοτέροις γεγενημένης.
ἐνταῦθα τοῖς ἀθανάτοις ὁ βασιλεὺς κατὰ τὸ εὐώνυμον τῶν Σκυ-
θῶν κέρας μετὰ ῥύμης εἰσβάλλειν ἐγκελεύεται. οἱ δὲ, προβαλόν-

1. ὑπόνοιαν. Nota voces πρόνοιαν et ὑπόνοιαν mire vicinas, ob negligentiam vel inopiam scriptoris. 2. παραῤῥέοντος cod. 3. ἐπαγγελλόμενος cod. 8. παταγεῖν. Vid. supra 22. B. 13. ἀθρήσαντας. Inde firmatur coniectura mea supra 66. C. 17. συνασπισμῷ cod.

confecto substitit; inque colle natura munito, qui ab utroque latere habebat praeterlabens copiamque aquarum praebens flumen, equitatum et milites ab itinere refecit. Postero die de multa luce movet castra, et, exercitu in profundas phalanges disposito, Praesthlabam contendit. Lituis frequenter classicum concini, cymbala percuti, tympana pulsari imperat. Tum ineffabili fremitu cuncta retonant. Admurmurant tympanis iuga regionis, concrepant arma, hinniunt equi, conclamant milites, seque ad praelium de more incitant. Tauroscythas, exercitum cum usu militari adventantem conspicatos, cum res praeter opinionem accidisset, dubitatio timorque tenuit. Arma nihilominus celeriter ceperunt, scutisque in humeros sublatis (ea autem et perfirma sunt, et, quo melius tegant, ad pedes pertinent), conferta acie in equitabili ante oppidum planitie Romanis obviam se obtulerunt, belluarum ritu rugientes, sublato absono vastoque ululatu. Praelio commisso fortiter pugnant nostri, facinora bellica mirabilia efficiunt. Cum diutius pari Marte dimicaretur, Imperator Immortales sinistrum Scytharum cornu cursu incitato adoriri iubet. Hi, equos calcaribus incendentes, lanceis in-

A. M. 6480 Ind. 15 τες τοὺς ἄκοντας, καὶ σφοδρῶς τοῖς μύωψι τοὺς ἵππους κεντρίσαντες, κατὰ τούτων ἤλαυνον. Σκύθαι δὲ, ἅτε πεζέταιροι χρηματίζοντες· οὐδὲ γὰρ ἀφ' ἵππων εἰθισμένον ἐστὶν αὐτοῖς ἀγωνίζεσθαι, ὅτι μηδὲ πρὸς τοῦτο γυμνάζονται· οὐχ ὑπήνεγκαν τὸν τῶν Ῥωμαίων δορατισμὸν, ἀλλ' ἐκκλίναντες εἰς φυγὴν, ἐπὶ τὸν τοῦ ἄστεος περίβολον συνεκλείοντο· οὓς ἐπισπόμενοι Ῥωμαῖοι ἀνηλεῶς ἔκτεινον. φασὶ γὰρ παρὰ ταύτην τὴν προσβολὴν ὀκτακισχιλίους πρὸς τοῖς πεντακοσίοις ἀναιρεθῆναι Σκυθῶν.

D ε΄. Οἱ δὲ περιλειφθέντες, ἐπεὶ πρὸς τὸ ἄστυ συνεκλείσθησαν, ἐκ τῶν ἐπάλξεων ἄνωθεν ἐῤῥωμένως ἠκροβολίζοντο. τηνικαῦτα λέγεται καὶ τὸν Πατρίκιον Καλοκύρην, τῇ Πραισθλάβᾳ ἐπιχωριάζοντα, ὅσπερ τὴν Ῥωσικὴν πανοπλίαν κατὰ τῶν Μυσῶν τὸ πρόσθεν, ἧπέρ μοι ἤδη ἐῤῥήθη, κεκίνηκεν, αἰσθόμενον τὴν τοῦ αὐτοκράτορος ἄφιξιν (οὐδὲ γὰρ ἐνῆν λανθάνειν, τῶν βασιλικῶν παρασήμων τῇ στιλπνότητι τοῦ χρυσοῦ ἄῤῥητον ἐκπεμπόντων μαρμαρυγήν), λαθραίως ὑπὸ νύκτα βαθεῖαν ὑπεξελθεῖν
P. 83 τε τοῦ ἄστεος καὶ ὡς τὸν Σφενδοσθλάβον ἀφικέσθαι, αὐτοῦ που παρὰ τὸ Δορύστολον (ὃ τὰ νῦν Δρίστα καλεῖται) πανσυδὶ διατρίβοντα. ἀλλ' οὕτω μὲν ὁ Καλοκύρης ἀπέδρασε, Ῥωμαίους δὲ ἡ νὺξ ἐπελθοῦσα τῆς μάχης ἐπέσχεν. ἄρτι δὲ κατὰ τὴν ὑστεραίαν καὶ τῆς λοιπῆς στρατιᾶς μετὰ τῶν ἑλεπόλεων ἀφιγμένης (ἡμέρα δὲ ἦν ἡ καλουμένη μεγάλη πέμπτη, καθ' ἣν ἐπὶ τὸ πάθος μολῶν ὁ Σωτὴρ τὰ σωτήρια τοῖς μαθηταῖς μετὰ τὸν μυστικὸν δεῖπνον διδάγματα ἐξεπαίδευσε), πρωΐθεν ὁ αὐτοκράτωρ Ἰωάννης ἐξανα-

18. Fort. Δρίστρα. Infra 86. B. Δρῆστρα (sic) cod. 22. κέμπη cod.

festis in hostes se permittunt. Quorum cuspides cum Scythae, ut pedites, sustinere non possent: neque enim praeliandi ex equis consuetudinem habent, neque ea in re exercentur: fugae se mandant, inque oppidi moenia se concludunt: quos insecuti Romani nulla misericordia conciderunt. Hac impressione interfectos esse aiunt Scythas octies mille quingentos.

5. Qui superfuerant, ii in oppidum inclusi e muris deque loco superiore telis coniectis fortiter resistebant. Eodem tempore Calocyrem Patricium Praesthlabae commorantem, quem armaturam Russicam olim in Moesos commovisse superius dixi, cum de Imperatoris adventu cognovisset (qui ob insignia principatus latere non poterat, fulgore auri divinam lucem diffundentia), clam adversa nocte oppido elapsum esse aiunt, adque Sphendosthlabum propter Dorystolum (quae nunc Dristra vocatur) cum omnibus copiis subsidiantem pervenisse. Elapso Calocyre, Romanos nox superveniens a pugna revocavit. Reliquis copiis una cum machinis postero die consecutis (qui dies erat qui vocatur Feria quinta maxima, qua ad passionem gradiens Servator servantia post mysticam coenam praecepta discipulis fudit), mane Ioannes Imperator castris egressus aciem legionum cuneo

στὰς καὶ εἰς ἀῤῥαγῆ συνασπισμὸν διατάξας τὰς φάλαγγας, παιω- A. C. 972
νίσας τε τὸ ἐνυάλιον, τῷ τείχει προσέβαλεν, ὡς αὐτοβοεὶ αἱρή- B I. L. 8
σων τὴν πόλιν. Ῥῶς δὲ καὶ αὐτοὶ πρὸς τοῦ σφῶν παρακροτούμενοι στρατηγοῦ (Σφέγκελος δὲ ἦν οὗτος, ὁ τρίτην ἔχων τιμὴν παρὰ Σκύθαις μετά γε Σφενδοσθλάβον· ἐκεῖνος γὰρ ἁπάντων κατῆρχεν), ἐκ τῶν ἐπάλξεων ἀντετάξαντο, καὶ Ῥωμαίους ἐπιόντας κατὰ τὸ ἐνὸν ἠμύνοντο, ἀκόντια, καὶ βέλη, καὶ λίθους χειροπλήθεις ἐπαφιέντες ἄνωθεν. Ῥωμαῖοι δὲ, τοῖς τε τόξοις καὶ πετροβόλοις ὀργάνοις, σφενδόναις τε καὶ ἀκοντίοις θαμινώ- Fol. 309 v.
τερον κάτωθεν βάλλοντες, ἀνεῖργον τοὺς Σκύθας, βιαζόμενοι, καὶ μὴ ἐῶντες ἀδεῶς προκύπτειν ἐκ τῶν ἐπάλξεων. ὁ δὲ αὐτοκράτωρ, γεγωνότερον ἐμβοήσας καὶ τῷ περιβόλῳ τὰς κλίμακας προσ- C
ερείδειν ἐγκελευσάμενος, ἐπέῤῥωσε τῇ βοῇ τὴν πολιορκίαν, ἐκθύμως ἐπ᾽ ὄψεσι βασιλέως ἁπάντων διαγωνιζομένων, καὶ τιμὰς ἀναλόγους τοῖς πόνοις τοπαραυτίκα πρὸς αὐτοῦ προσδοκώντων ἀποίσεσθαι.

ς΄. Ῥωμαίων δὲ ἐπιβρισάντων καὶ τοῖς τείχεσι προσπελασάντων τὰς κλίμακας, ἐνταῦθά τις γενναῖος νεανίσκος, ἄρτι πυρσαῖς θριξὶν ἐπιχνοάζων τὴν γένυν, ἐκ τῆς τῶν Ἀνατολικῶν ὁρμώμενος γῆς, ᾧ Θεοδόσιος ὄνομα, Μεσονύκτης ἐπίκλησις, θατέρᾳ μὲν τὸ ξίφος σπασάμενος, τῇ λαιᾷ δὲ τὴν ἀσπίδα ὑπὲρ κεφαλὴν ἀνατείνας, ὡς μὴ βάλλοιτο ἄνωθεν παρὰ τῶν Σκυθῶν, διὰ τῆς κλίμακος ἄνεισιν· ἀγχοῦ δὲ γενόμενος τῆς ἐπάλξεως, D
καταστοχήσας τοῦ προκύπτοντος Σκύθου καὶ τοῦτον ἀμυνομέ-

24. καταστοχήσας. Sic cod., et statim post, Σκυθοῦ.

conferto instruxit: classicum cani iussit, ad murumque copias admovit, oppidum uno impetu expugnare tentans. Russi et ipsi a suo duce incitati (is erat Sphencelus, tertio apud Scythas post Sphendosthlabum loco: hic enim omnibus praeerat), post pinnas constituti, Romanos subeuntes pro viribus reprimunt, iacula, sagittas, saxa manualia de superiore loco fundunt. Contra nostri succedentes, arcubus, tormentis, fundis, pilis magnopere usi, Scythas vi adhibita submovent, ut impune prospiciendi de pinnis potestas esset nulli. Ipse Imperator, contenta voce scalas ad murum poni iubens, hortatu non mediocriter vim oppugnationis auxit, neque erat quisquam qui non in principis conspectu fortiter pugnaret, praemiaque laboribus respondentia statim ab illo relaturum se speraret.

6. Instantibus Romanis scalasque ad muros admoventibus, adolescens impiger ex regione Orientis, rutila iam lanugine genam adumbrans, Theodosius cognomento Mesonyctes, districto altera manu gladio, altera scuto supra caput sublato, ne a Scythis missilibus deiectis feriretur, per scalam ascendit; cumque ad pinnas appropinquasset, Scytham prospicientem seque hasta repellentem appetens in cervicem percussit, ut abscisum eius ca-

A. M. 6480 Ind. 15 νου τῷ δόρατι, παίει κατὰ τοῦ τένοντος· ἀπαραχθεῖσα δὲ ἡ κεφαλὴ σὺν τῇ κόρυθι ἔξω τειχῶν πρὸς ἔδαφος ἐσφαιρίζετο· Ῥωμαῖοι δὲ τῷ καινῷ τοῦ δράματος ἐπηλάλαξαν, καὶ συχνοὶ τοῦ πρώτως ἀνελθόντος τόλμαν ζηλώσαντες, διὰ τῶν κλιμάκων ἀνέθεον. ὁ δὲ Μεσονύκτης, ἐπεὶ τοῦ τείχους ἐπέβη, καὶ τῆς ἐπάλξεως ἐγκρατὴς ἐξεγένετο, πλείστους τῶν ἀμυνομένων Ῥῶς ἐπιστροφάδην πλήττων τῶν τειχῶν κατεκρήμνιζε. θᾶττον δὲ συ-
P. 84 χνῶν ἑκασταχοῦ τῶν περιβόλων ἀνελθόντων, καὶ παντὶ σθένει τοὺς ἐναντίους ἀποσφαττόντων, τὰς ἐπάλξεις καταλιπόντες οἱ Σκύθαι, ἐς τὴν βασίλειον αὐλὴν, τειχίον ἐχυρὸν κεκτημένην, ἐν ᾗ καὶ ὁ πλοῦτος Μυσοῖς ἐναπέκειτο, ἀκλεῶς συνώσθησαν, πυλίδα μίαν ἠνεῳγμένην παραλιπόντες. ἐν ᾧ δὲ ταῦτα ἐδρᾶτο, ἡ ἔξω τειχῶν ὁρμωμένη τῶν Ῥωμαίων πληθὺς, τοὺς θαιροὺς τῶν πυλῶν καὶ μοχλοὺς διακόψασα καὶ συντρίψασα, ἔνδον εἰσῄει τοῦ ἄστεος, ἀμύθητον φόνον αὐτουργήσασα τῶν Σκυθῶν. τότε δὴ καὶ Βορὴν συλληφθῆναι λέγεται, τῶν Μυσῶν βασιλέα, σὺν γυναικὶ καὶ δυσὶ νηπίοις, οὕτω πυρσοῖς τὴν γένυν περιπυκάζοντα,
B καὶ προσαχθῆναι τῷ βασιλεῖ· ὁ δὲ, τοῦτον δεξάμενος, διὰ τιμῆς ἦγε, κοίρανον Βουλγάρων ἀποκαλῶν, φάσκων τε, ἥκειν Μυσοῖς τιμωρήσων, δεινὰ πεπονθόσι πρὸς τῶν Σκυθῶν.

ζ΄. Ῥωμαῖοι δὲ, ἅπαξ ἐμπελασθέντες τῷ ἄστει, ἐχώρουν διὰ τῶν στενωπῶν, τοὺς μὲν δυσμενεῖς ἀποκτείνοντες, τὰ δὲ χρήματα διαρπάζοντες. τηνικαῦτα καὶ τῇ βασιλείῳ αὐλῇ προσέ-

1. ἀπαῤῥαχθεῖσα cod. 17. οὕτω. Sic cod. Fort. οὔκω. 22. στενωπῶν. Vid. supra 15. D.

put una cum casside extra muros in terram provolveretur. Qua nova re oblata succlamant Romani, primique ascendentis virtutem aemulati crebri per scalas nituntur. Interim Mesonyctes in murum emergens, fastigii compos factus, Russos propugnantes quamplures circumquaque obtruncatos de muro praecipitavit. Ita cum multi celeriter undique munitiones ascendissent, omnique vi hostes conciderent, Scythae relictis moenibus in aulam regiam muro firmo circumdatam, ubi thesauri Moesorum asservabantur, turpiter sunt compulsi, portula una ibi aperta relicta. Dum haec geruntur, extra muros circumfusa Romanorum copia, cardinibus repagulisque portarum excisis ac perfractis, in oppidum se intulit, ingentemque Scytharum stragem fecit. Eodem tempore Borim Moesorum regem, rufa ac densa barba insignem, una cum uxore duobusque infantibus comprehensum ad Imperatoremque adductum esse aiunt: quem ille receptum honore habuit, principemque Bulgarorum appellavit, venisse se testatus ad ulciscendas Moesorum iniurias a Scythis acceptas.

7. Romani, semel in oppidum illati, per angiportus se effuderunt, ad caedem hostium bonorumque direptionem conversi. Inde regiam oppugna-

βαλλον, ἐν ᾗ τῆς Ῥωσικῆς πληθύος συνώσθη τὸ μάχιμον. ἀλλ' A. C. 972 εὐσθενῶς ἔνδον ἀντικαταστάντες οἱ Σκύθαι τούτους ἀνῄρουν, I. I. 3 διὰ τῆς πυλίδος ἐξολισθαίνοντας, καὶ μέχρι τῶν ἑκατὸν καὶ Fol. 310 r. πεντήκοντα ἄνδρας ἀνεῖλον νεανικούς. ὁ δὲ βασιλεὺς τὸ τοιοῦ- C τον σύμπτωμα γνοὺς, θᾶττον ἐξιππασάμενος, παντὶ σθένει πρὸς τὴν μάχην χωρεῖν τοῖς ἑπομένοις προὔτρέπετο· ἐπεὶ δὲ οὐκ εἶχέ τι γενναῖον ἀνύττειν (διὰ γὰρ τῆς ἐστενωμένης πυλίδος τοὺς εἰσιόντας Ταυροσκύθαι δεχόμενοι εὐπετῶς κατειργάζοντο, πλείστους κατασπαθίζοντες), τὴν μὲν πρόσω τῶν Ῥωμαίων ἀλόγιστον ὁρμὴν ἀνεχαίτισε, πῦρ δὲ τῇ αὐλῇ ἑκασταχοῦ διὰ τῶν περιβόλων ἐνιέναι προσέταξε. τῆς δὲ πυρκαϊᾶς σφοδρᾶς ἀναῤῥιπισθείσης, καὶ ἐκτεφρούσης θᾶττον τὰ ὑποκείμενα, τῶν δόμων ὑπεξελθόντες οἱ Ῥῶς, ὑπὲρ τοὺς ἑπτακισχιλίους τυγχάνοντες, ἔς τε τὸ ὕπαιθρον τῆς αὐλαίας συσπειραθέντες, ἀμύνεσθαι τοῖς D ἐπιοῦσι παρεσκευάζοντο. τούτοις ὁ βασιλεὺς Βάρδαν Μάγιστρον τὸν Σκληρὸν μετὰ νεανικοῦ συντάγματος ἀντέταξεν· οὓς κυκλωσάμενος τῇ συνεπομένῃ φάλαγγι τῶν ἀλκιμωτάτων ἀνδρῶν ὁ Σκληρὸς, ἔργου εἴχετο. καὶ τῆς συμπλοκῆς γενομένης καρτερῶς οἱ Ῥῶς διεμάχοντο, μὴ δόντες νῶτα τοῖς ἐχθροῖς, Ῥωμαῖοι δὲ τῇ σφῶν ἀρετῇ καὶ τῇ τῶν πολέμων πείρᾳ κατηκόντισαν ἅπαντας, πλείστων ὅτι καὶ Μυσῶν κατὰ ταύτην πεσόντων τὴν μάχην· οἵγε συνεπήμυνον Σκύθαις, Ῥωμαίοις δυσμεναίνοντες, ὡς γεγονόσιν αἰτίοις τῆς ὡς αὐτοὺς γεγενημένης ἀφίξεως τῶν Σκυθῶν. P. 85

3. ἐξολισθαίνοντας. Sive ἐξολισθοῦντας. Cod. habet ἐξολισθοῦντας, ut ab ἐξολίζω. Supra 28. B. ὑπολισθήσας· 30. C. ὑπολισθήσειεν. 5. ἐξιππισάμενος cod. 14. ἔς τε. ἔσται cod. Ib. συσπειραθέντων cod.

tum venerunt, quo erat copiae Russicae compulsum robur. Qui, intus acriter se defendentes, eos qui per portulam se immittebant, obtruncabant, militesque sic ad centum quinquaginta, fortes viros, oppresserunt. Qua re cognita, Imperator equo admisso accurrens, cohorte praetoria omni vi in hostem niti iussa, ubi non multum profici posse intellexit (propterea quod non pauci angusta portula intromissi aque Tauroscythis excepti parvo negotio gladiis confecti interibant), inconsiderato Romanorum impetu represso, ignem undique per propugnacula in regiam immitti iussit. Magna flamma emicante, et obvia quaeque celeriter consumente, Russi tectis egressi plus VII M. numero, in locoque patenti aulae constipati, defensionem parabant. His Imperator Bardam Sclerum Magistrum cum cohorte expedita obiecit: neque vero Sclerus, postquam illos suo fortissimorum militum agmine circumsepserat, huic rei defuit. Ita praelio commisso tametsi Russi acriter resistebant, ita ut eorum nemo tergum verteret, tamen Romani virtute et exercitatione belli superiores facti omnes confixerunt. Eodem praelio Moesi quamplures ceciderunt, qui hostibus auxilio fuerant, Romanis infensi, quod adventus ho-

A. M. 6480 Ind. 15 Σφέγκελος δὲ παρὰ τὸν Σφενδοσθλάβον ᾤχετο, φυγῇ μετ' ὀλίγων κλέψας τὴν σωτηρίαν· αὖθις δὲ ἀνῃρέθη, ὥςγε μοι ἤδη εἰρήσεται. ἀλλ' οὕτω μὲν ἡ Πραισθλάβα, ἐν δυσὶν ἡλίοις ἁλοῦσα, ὑπὸ Ῥωμαίοις ἐγένετο.

η'. Ἰωάννης δὲ ὁ αὐτοκράτωρ, τὴν στρατιὰν, ὡς τὸ εἰκὸς, φιλοφρονησάμενος, διανέπαυε, καὶ τὴν θείαν ἀνάστασιν τοῦ Σωτῆρος αὐτόθι ἑώρταζεν. ἔκ τε τῶν δορυαλώτων Ταυροσκυθῶν τινας ἀποκρίνας ὡς τὸν Σφενδοσθλάβον ἐξέπεμπε, τὴν τῆς B πόλεως ἅλωσιν ἀπαγγελοῦντας αὐτῷ καὶ τὴν τῶν ἑταίρων ἀναίρεσιν, φράζειν τε, μὴ διαμέλλειν, ἀλλ' αἱρεῖσθαι τὴν ταχίστην δυοῖν θάτερον· ἢ τὰ ὅπλα καταθέσθαι καὶ τοῖς κρείττοσι πειθαρχεῖν, καὶ τῶν τετολμημένων συγγνώμην αἰτεῖν, ἀφιστάμενον ἐξαυτῆς χώρας τῆς τῶν Μυσῶν· ἢ, τοῦτο μὴ βουλομένου, ἀλλ' εἰς τὴν σύντροφον αὐθάδειαν ἀποκλίναντος, παντὶ σθένει ἐπιοῦσαν τὴν Ῥωμαϊκὴν ἀμύνεσθαι δύναμιν. ταῦτα μὲν ἀπαγγέλλειν Σφενδοσθλάβῳ παρήγγειλεν· αὐτὸς δὲ, ὀλίγων ἡμερῶν ἐνδιατρίψας τῇ πόλει, καὶ ταύτης τὰ πεπονηκότα ὀχυρωσάμενος, καὶ φρουρὰν Fol. 310 v. ἀποχρῶσαν καταλιπὼν, Ἰωαννούπολίν τε ταύτην ἐπὶ τῷ ἑαυτοῦ C καλέσας ὀνόματι, πανστρατὶ τὴν ἐπὶ τὸ Δορύστολον ἵετο. ὅπερ Κωνσταντῖνος, ὁ ἐν βασιλεῦσιν ἀοίδιμος, ἐκ βάθρων ἐδείματο, καὶ εἰς ὃ νῦν ὁρᾶται κάλλος καὶ μέγεθος ἤγειρεν, ὁπηνίκα τὸ σταυρικὸν σημεῖον κατηστερισμένον ἐν οὐρανῷ θεασάμενος, Σκύθας δυσμενῶς ἀντιτεταγμένους αὐτῷ καὶ μανικῶς ὁρμῶντας κατεπολέμησε. πάρεργον δὲ τῆς ὁδοῦ τήν τε καλουμένην Πλίσκου-

13. Male βουλομένους cod. 21. ὁρᾶται. Vid. supra 79. B.

stium ad se causa exstitissent. Sphencelus cum paucis, ad Sphendosthlabum clam elapsus, fuga sibi peperit salutem: eum posterius periisse mox demonstrabitur. In hunc modum Praesthlaba, biduo expugnata, in potestatem Romanorum venit.

8. Ioannes Imperator exercitui honestatibus, ut par erat, ornato requiem dedit, divinamque Servatoris resurrectionem eo in loco celebravit. Inde ex Scythis captis delectos aliquot ad Sphendosthlabum misit, qui oppidi expugnationem suorumque interitum nunciarent, dicerentque, sine mora duarum rerum, utra ei magis cordi esset, eam eligeret: aut, armis positis, victoribus obsequeretur, petitaque arrogantiae venia confestim Moesia decederet; aut, id si nollet, seque ad domesticam pervicaciam converteret, ut omni vi ab adventantibus Romanorum copiis se tueretur. His ad Sphendosthlabum datis mandatis, paucos dies in oppido commoratus, quod, collapsis moenium partibus communitis, iustoque praesidio relicto, Ioannopolim suo nomine appellaverat, omnibus copiis Dorystolum ire contendit. Hanc urbem Constantinus, hymnis inclytus princeps, a fundamentis construxit, adque eam, quae hodie suspicitur, speciem et amplitudinem excitavit, illo tempore quo, crucis signum sideris instar coelo inscriptum conspicatus, Scythas hostiliter sibi oppositos furioseque ruentes debellavit. Imperator autem Pli-

βαν καὶ Δίνειαν εἷλεν ὁ βασιλεὺς, καὶ συχνὰς τῶν πόλεων, αἳ A. C. 972
τῶν Σκυθῶν ἀφηνιάσασαι Ῥωμαίοις προσέθεντο. Σφενδοσθλά- I. I. 3
βος δὲ, τὸ κατὰ τὴν Πραισθλάβαν πάθος γνοὺς, ἤσχαλλε μὲν
καὶ ἤχθετο, οὐκ ἀγαθὸν οἰωνὸν τοῦ μέλλοντος τοῦτο τιθέμενος·
τῇ δὲ Σκυθικῇ ἀπονοίᾳ παρακροτούμενος, καὶ ταῖς κατὰ Μυ- D
σῶν νίκαις γαυρούμενος, εὐπετῶς ᾤετο καὶ τὴν Ῥωμαϊκὴν κατα-
γωνίσασθαι δύναμιν.

θʹ. Ὁρῶν δὲ Μυσοὺς τῆς ἐκείνου μὲν ἑταιρείας ἀφηνιάζον-
τας, τῷ δὲ βασιλεῖ προσχωροῦντας, πολλὰ γνωσιμαχήσας, καὶ
ἀνασκοπήσας, ὡς, εἰ πρὸς Ῥωμαίους οἱ Μυσοὶ ἀποκλίνειαν,
οὐκ εἰς καλὸν αὐτῷ τελευτήσει τὰ πράγματα, τοὺς γένει καὶ δυ-
ναστείᾳ διαφέροντας συνειλοχὼς τῶν Μυσῶν, εἰς τριακοσίους
ἀριθμουμένους, ὠμὸν καὶ ἀπάνθρωπον κατ' αὐτῶν ἐμελέτησε P. 86
τόλμημα. δειροτομήσας γὰρ πάντας ἀπέκτεινε· τὴν δ' ἄλλην
πληθὺν πεδήσας συνέκλεισεν ἐν εἱρκταῖς. αὐτὸς δὲ τὴν τῶν Ταυ-
ροσκυθῶν πανοπλίαν συναγαγὼν, εἰς ἑξήκοντα χιλιάδας συναγο-
μένην ἀνδρῶν, Ῥωμαίοις ἀντετάξατο. ἐν ᾧ δὲ ὁ βασιλεὺς σχο-
λαιότερον τὴν πρὸς αὐτοὺς ἐπεποίητο ἄφιξιν, τινὲς παραβόλῳ
τόλμῃ παρακροτούμενοι τῶν θρασυτέρων, τῆς Ῥωσικῆς ἀποῤῥα-
γέντες φάλαγγος, ἐς λόχον ἐκάθιζον, καὶ δὴ τῶν προδρόμων τι-
νὰς ἐκ τοῦ ἀφανοῦς ἐπελάσαντες ἔκτειναν. ὧν ὁ αὐτοκράτωρ
ἐῤῥιμμένα παρὰ τὴν ἀταρπιτὸν τὰ πτώματα κατιδὼν, τῷ ῥυτῆρι
τὸν ἵππον ἐπισχὼν, σχετλιάσας τε τὴν τῶν ὁμοεθνῶν ἀπώλειαν, B

16. συναγομένην. Nota inopiam aut negligentiam orationis in συναγαγὼν et συναγομένην. 18. ἄφιξιν. αὔξησιν cod.

scubam quae vocatur et Dineam obiter ex itinere cepit, itemque oppida alia non una, quae, excusso Scytharum imperio, in fidem se Romanorum permiserunt. Sphendosthlabus, clade ad Praesthlabam cognita, graviter quidem rem tulit, proque omine parum bono habuit: tamen, ut erat Scythica amentia inflammatus, simul quod victoriae de Moesis extulerant animum, Romanas opes item parvo negotio se fracturum existimabat.

9. Ita cum animadvertisset, Moesos alienatis a sua clientela voluntatibus Imperatori accedere, variis sententiis distractus, ac reputans, res suas, si ad Romanos Moesi deficerent, exitum minime felicem habituras, in Moesos, qui inter caeteros genere atque opibus praestabant, ad numerum ccc conquisitos, nefarium atque inhumanum facinus admisit. Omnes enim cervicibus abscisis interfecit: reliquam multitudinem vinctam in custodias inclusit. Ipse, omnibus Tauroscytharum coactis copiis, quarum summa erat circiter hominum millia sexaginta, adversus Romanos aciem constituit. Ad quam cum Imperator remissiore itinere adventaret, quidam animosiores caeca audacia incitati, ab exercitu Russico digressi, cum in insidiis consedissent, impressione ex inopinato facta antecursores aliquot oppresserunt. Quorum Imperator proiecta praeter viam corpora conspicatus, equum freno

A. M. 6480 Ind. 15 ἀνιχνεύειν τοὺς τοῦτο δεδρακότας ἐκέλευε. τῶν δὲ πεζεταίρων τοὺς δρυμοὺς καὶ τὰς λόχμας καταδραμόντων σπουδῇ, καὶ τοὺς πελάτας ἐκείνους συνειληφότων, εἰς ὄψιν τε πεπεδημένους παραγαγόντων τῷ βασιλεῖ, αὐθωρὸν κατασπαθίζειν τούτους προσέταττεν. οἱ δέ, μηδὲν μελλήσαντες, ξίφεσιν ἄρδην ἐμέλισαν ἅπαντας. ἄρτι δὲ τῶν στρατευμάτων ἐς τὸν πρὸ τοῦ Δορυστόλου χῶρον συνελθόντων, ὃ καὶ Δρίστραν κικλήσκειν εἰώθεσαν, Ταυροσκύθαι μὲν ἔγχεσι καὶ θυρεοῖς τὰς φάλαγγας C πυκνώσαντες, καὶ οἷον πυργώσαντες, τοὺς δυσμενεῖς παρὰ τὸ Fol. 311 r. μεταίχμιον ἔμενον. Ῥωμαίους δὲ κατὰ μέτωπον ἀντιτάξας ὁ βασιλεύς, καὶ τοὺς πανσιδήρους ἱππότας κατὰ θάτερον κέρας παραστησάμενος, τούς τε τοξότας καὶ σφενδονήτας ἐξόπισθεν ἐπιστήσας, καὶ θαμινὰ βάλλειν ἐγκελευσάμενος, ἐπῆγε τὴν φάλαγγα.

ι'. Τῶν δὲ στρατοπέδων εἰς χεῖρας ἀλλήλοις συναραχθέντων, καὶ σφοδρᾶς τῆς μάχης καταῤῥαγείσης, ἰσοπαλὴς παρὰ τὰς πρώτας προσβολὰς ὁ ἀγὼν τέως ἐν ἀμφοτέροις ἐγίνετο. Ῥῶς μὲν γὰρ δεινόν που καὶ σχέτλιον τιθέμενοι, εἰ δόξαν παρὰ τῶν προσοί- D κων ἐθνῶν ἔχοντες, ἐν ταῖς μάχαις ἀεὶ τῶν ἀντιπάλων κρατεῖν, νῦν ὑπὸ Ῥωμαίων αἰσχρῶς ἡττηθέντες ταύτης ἐκπέσοιεν, ἐκθύμως διηγωνίζοντο. Ῥωμαίοις δὲ αἰδώς τις εἰσῄει καὶ νέμεσις, εἰ τὸ ἀντίξουν ἅπαν ὅπλοις καὶ τῇ σφῶν ἀρετῇ καταστρεφόμενοι, νῦν ἀπέλθοιεν, παρὰ πεζομαχοῦντος ἔθνους, ἱππάζεσθαι μηδόλως εἰδότος, καταγωνισθέντες, ὥς τινες ἔργων μάχης ἀνάσκητοι, καὶ

7. Δρῆστραν (sic) cod.

sustinuit, deploratoque civium interitu percussores investigari iussit. Speculatores silvas dumetaque diligenter scrutati, aggressores illos comprehensos ac vinctos in conspectum Imperatoris producunt; at ille evestigio interfici eos iussit. Ita speculatores impigre districtis gladiis ad unum omnes conciderunt. Cum in campo ante Dorystolum, quod item Dristram appellare consuerunt, iam propius abessent exercitus, Tauroscythae cuneos suos hastis scutisque rigentes condensatosque, adeo ut murorum speciem haberent, in aciem explicant: opperiuntur hostes. Romanos ex adverso ita disposuit Imperator, ut equites cataphractos in utroque cornu collocaret; sagittarios, funditores, sine intermissione tela coniicere iussos, a tergo subiiceret. His ita constitutis, signa inferri imperat.

10. Exercitus cum manum undique consererent, commisso acerrime praelio a primo congressu aequo Marte diu dimicatum est. Russi enim, graviter et acerbe ferentes, si laudem, qua apud gentes finitimas floruissent, reportatae semper in praeliis victoriae, nunc turpiter a Romanis fusi amitterent, magna contentione rem gerebant. Romanis contra turpitudinis invidiaeque verecundia subibat, si, adversariis omnibus armis et virtute subactis, in praesentia a gente peditibus praeliante, equitandi autem usum omnino nullum habente, tanquam aliquot bello inexercitati tirunculi victi

τοσοῦτον αὐτοῖς ἐν ἀκαρεῖ κλέος οἰχήσεται. τὰς τοιαύτας δὴ δό- A. C. 972
ξας παρ' ἑαυτοῖς ἐντρέφοντα τὰ στρατεύματα θαῤῥαλέως διηγω- I. L 3
νίζοντο· καὶ Ῥῶς μὲν τῇ συντρόφῳ θηριωδίᾳ καὶ τῷ θυμῷ στρα-
τηγούμενοι, μετὰ ῥύμης κατὰ Ῥωμαίων ἐφήλλοντο, οἷον ἐνθου- P. 87
σιῶντες καὶ βρυχώμενοι· Ῥωμαῖοι δὲ μετ' ἐμπειρίας καὶ τεχνικῆς
ἐπιστήμης αὐτοῖς ἀντεπῄεσαν. καὶ συχνοὶ παρ' ἀμφοτέρων ἔπιπτον
τῶν μερῶν, καὶ μέχρι μὲν δείλης βαθείας ἀμφιτάλαντος ἡ νίκη
ἐδόκει, τῇδε κἀκεῖσε μεταφερομένης τῆς μάχης. ἤδη δὲ τοῦ
φωσφόρου καταφερομένου πρὸς δυσμὰς, τὴν ἵππον ὁ βασιλεὺς
ἀνὰ κράτος αὐτοῖς ἐπιῤῥάξας, ἐμβοήσας τε, Ῥωμαίους ὄντας
ἐπὶ τῶν ἔργων τὴν σφῶν ἀρετὴν ἐπιδείκνυσθαι, τῶν ἀνδρῶν
ἐπεῤῥώσε τὰ φρονήματα. ἐπέβρισαν γὰρ ἐκτόπῳ φορᾷ, καὶ οἱ B
σαλπιγκταὶ τὸ ἐνυάλιον ἐπηλάλαξαν, καὶ βοή τις ἀθρόα παρὰ
Ῥωμαίων ἤρθη. Σκύθαι δὲ, τὴν τούτων οὐκ ἐνεγκόντες ῥοπὴν,
ἐς φυγὴν ἔκλιναν καὶ πρὸς τὸ τεῖχος συνώσθησαν, πολλοὺς τῶν
σφετέρων παρὰ ταύτην ἀποβαλόντες τὴν μάχην. Ῥωμαῖοι δὲ,
τὰ ἐπινίκια παιωνίσαντες, ἐν εὐφημίαις εἶχον τὸν αὐτοκράτορα·
ὁ δὲ ἀξιωμάτων τότε διανομαῖς καὶ δεξιώσεσιν ἑστιάσεων ἐφιλο-
φρονεῖτο τούτους, καὶ προθυμοτέρους ἐπὶ τὰς μάχας εἰργάζετο.

abirent, tantaque sibi gloria puncto temporis eriperetur. Eiusmodi rationes animo agitantes exercitus summa vi confligebant: ita tamen, ut Russi, innutrita feritate atque iracundia ducti, temere Romanos assilirent, fanaticorum ritu rugientes; nostri illis usu ac scientia artis militaris obviam irent. Plurimis ex utraque parte occisis, cum usque ad multam vesperam victoria incerta videretur, ac modo hi modo illi propellerentur, vespero iam ad occasum vergente, Imperator equitatum in illos magna vi immisit; simulque cohortatus, ut tanquam Romani vernaculam virtutem factis declararent, animos militum confirmavit. Incubuerunt enim impetu singulari, tibicines bellicum concinunt, clamor undique a Romanis tollitur. Quorum impressionem cum Scythae sustinere non possent, fugae se commiserunt inque muros sunt compulsi, multis suorum in hac pugna amissis. Romani, victoriales cantus fundentes, Imperatorem laudibus ferebant: ipse eos officiorum tum distributione epularumque communicatione remuneravit, alacrioresque ad praelia reddidit.

# ΛΕΟΝΤΟΣ ΔΙΑΚΟΝΟΥ

## ΙΣΤΟΡΙΑΣ Θ.

# LEONIS DIACONI HISTORIAE

## LIBER IX.

### ARGUMENTUM.

*Imperator castra accurate muniri iubet. Secundum proelium equestre (Cap. 1). Tertium proelium ad Dorystolum. Lalaconis virtus (2). Leo Curopalates imperium occupaturus clam Byzantium petit (3). Mox deprehensus excaecatur (4). In quarto proelio ad Dorystolum Ioannes Curcuas a Russis occiditur (5). Quintum proelium. Foedae et cruentae Russorum superstitiones (6). Consilium militare Sphendosthlabi (8). Ultimum proelium ad Dorystolum (8). Ioannes ipse inclinatam aciem restituit. S. Theodorus in acie Romanorum conspectus (9). Insignis Romanorum victoria (10). Pax inter Russos et Romanos composita. Sphendosthlabi forma et figura (11). Russi in patriam redeuntes a Patzinacis opprimuntur. Imperator triumphans Constantinopolin intrat (12).*

A. M. 6480 α'. Ἄρτι δὲ ἡμέρας διαυγαζούσης, ἐρυμνῷ χάρακι τοῦτον τὸν
Ind. 15 A. C. 972 τρόπον ὁ βασιλεὺς τὸ στρατόπεδον ἐκρατύνετο. γεώλοφός τις χα-
I. I. 3 μαίζηλος τοῦ Δορυστόλου ἐκ διαστήματος κατὰ τὸ πεδίον ἀνί-
Fol. 311 v. P. 88 σταται. ἐν τούτῳ τὸ στράτευμα διασκηνισάμενος, ταφρείαν ἀνο-
ρύττειν κυκλόθεν ἐκέλευε· τόν τε χοῦν ἐκφοροῦντας ἐς τὴν τὸ

4. Fort. διασκηνησάμενος.

1. Ubi primum illuxit, Imper. firmo vallo in hunc modum castra communivit. Tumulus parum editus ante oppidum Dorystolum, ad planitiem versus surgit. Ibi collocatis castris fossam circumduci iussit, humum egestam in oram fossae castra ambientem comportari, aggeri in iustam altitudinem ex-

στρατόπεδον ταινιοῦσαν τῆς τάφρου ὀφρῦν ἀποτίθεσθαι, ἐς ὕψος A. M. 6480 δὲ ἀποχρῶν αἰρομένων τῶν χωμάτων ἄνωθεν καταπηγνύειν τὰ Ind. 15 A. C. 972 δόρατα, ἐπερείδειν τε τούτοις τοὺς θυρεοὺς ἀλλήλων ψαύοντας· I. I. 3 ὡς ἀντὶ τείχους χρηματίζειν τήν τε τάφρον καὶ τὸν ἐκφορηθέντα χοῦν τῷ στρατεύματι· καὶ μὴ ἐνὸν εἴη τοῖς ἐναντίοις ἔνδον διαβαίνειν, B ἀλλ' εἴργεσθαι τῆς ἐφόδου τῇ τάφρῳ ἐγχρίπτουσιν. εἰθισμένον δὲ Ῥωμαίοις, ταύτῃ τὴν σφῶν ἐπὶ τῆς πολεμίας διατίθεσθαι ἔπαυλιν. ἐπεὶ δὲ τὸν χάρακα τοῦτον τὸν τρόπον ἐκρατύνατο, τῇ ἐπιούσῃ ἐκτάξας τὴν στρατιὰν τῷ τείχει προσέβαλλε. Σκύθαι δέ, τῶν πύργων προκύπτοντες, βέλη καὶ χερμάδας, καὶ ὅσα ἑκηβόλα πέφυκεν ὄργανα, κατὰ τῆς Ῥωμαϊκῆς ἠφίεσαν φάλαγγος. οἱ δὲ καὶ αὐτοὶ σφενδόναις καὶ βέλεσι Σκύθας ἠμύναντο κάτωθεν. καὶ μέχρι τῶν τοιούτων ἀκροβολισμῶν ἀμφοτέροις ἡ μάχη περιΐστατο, καὶ Ῥωμαῖοι μὲν ἐπὶ τὸν χάρακα ᾔεσαν, καὶ δεῖπνον εἵλοντο· Σκύθαι δέ, κλινούσης ἡμέρας, ἔφιπποι τοῦ C περιβόλου ἐξῄεσαν, τότε πρώτως φανέντες ἐφ' ἵππων ὀχούμενοι. ἄφιπποι γὰρ παρὰ τοὺς πολέμους ἀεὶ χωρεῖν εἰώθεισαν, ἀνασκήτως ἔχοντες τῶν ἐφιππίων ἐπιβαίνειν, καὶ τοῖς πολεμίοις ἀνταγωνίζεσθαι. Ῥωμαῖοι δέ, σπουδῇ τοῖς ὅπλοις φραξάμενοι καὶ τῶν ἵππων ἐπιβάντες, τούς τε κοντοὺς ἀνειληφότες (ἐπιμήκεις δὲ τούτους παρὰ τὰς μάχας μεταχειρίζονται), μετὰ ῥύμης καὶ βιαίου P. 89 ὠθισμοῦ αὐτοῖς ἐπελαύνουσιν. οἱ δέ, μηδὲ τοῖς ῥυτῆρσι τοὺς ἵππους χαλιναγωγεῖν ἐπιστάμενοι, πρὸς τῶν Ῥωμαίων κατακοντιζόμενοι, νῶτα δόντες εἰς τὸ τεῖχος κατεκλείοντο.

2. αἰρομένῳ cod. 12. Malim ἠμύνοντο. 18. τῶν ἐφίππων cod. Fort. auctor scripserat, τοῦ ἐφ' ἵππων ἐπιβ., quod iteratur statim post. Alterum praetuli, quo Leo tautologia levaretur.

presso hastas superne infigi, hisque scuta inter se continuata superponi: ut pro muro exercitui tum fossa tum egestus agger esset; neque facultas ulla hostibus daretur intro irrumpendi, utque, si fossae se induissent, aditu arcerentur. Is Romanorum castra in regione hostili disponendi mos est. Perducta sic munitione, postridie eius diei aciem instructam ad murum admovet. Scythae, e turribus prospectantes, tela, saxa, et quaecunque tormentis mitti possunt, in phalangem Romanam coniiciunt. Hi fundis sagittisque Scythas submovent, ipsi inferius constituti. Neque ultra eiusmodi iaculationes progressa erat pugna, cum Romani in castra reversi corpora curaverunt: Scythae, vergente die, coeperunt cum equitatu ex moenibus prodire, tuncque primum in equis sedentes apparuerunt. Consueverant enim semper pedibus praelium inire, quod nullum habent neque in sellas ascendendi neque ex equo cum hostibus pugnandi usum. Romani celeriter arma capiunt, insessisque equis et arreptis contis (quibus praelongis in praeliis utuntur), acriter magno impetu procurrunt. Ita hostes, cum ne regere quidem habenis equos scirent, a nostris confixi terga verterunt, intraque muros sunt conclusi.

A. M. 6480 Ind. 15 *β'. Τηνικαῦτα δὴ καὶ αἱ τῶν Ῥωμαίων πυρφόροι τριήρεις μετὰ τῶν σιτηγῶν πορθμείων διὰ τοῦ Ἴστρου ἐφάνησαν ἀναπλέουσαι· ἃς Ῥωμαῖοι μὲν ἰδόντες ἀῤῥήτου χαρμονῆς ὑπεπλήσθησαν, Σκύθας δὲ δέος ᾔρει, τὸ ἐπιφερόμενον αὐτοῖς ὑγρὸν πῦρ δεδιότας. ἠκηκόεισαν γὰρ πρὸς τῶν γεραιτέρων τοῦ σφῶν ἔθνους, ὡς τὸν μυριόστολον στρατὸν Ἴγγορος, τοῦ τὸν Σφεν-* B *δοσθλάβον τεκόντος, Ῥωμαῖοι τῷ τοιούτῳ Μηδικῷ πυρὶ κατὰ τὸν Εὔξεινον ἐξετέφρωσαν. ἐντεῦθεν σπουδῇ τὰ ἑαυτῶν συναγαγόντες ἀκάτια, πρὸ τοῦ περιβόλου τοῦ ἄστεος εἵλκυσαν, ἵνα παραῤῥέων ὁ Ἴστρος τὸ θάτερον τοῦ Δορυστόλου περικλύζει πλευρόν. ταῦτα αἱ πυρφόροι νῆες κυκλόθεν ἐφρούρουν, ὡς μὴ εἴη Σκύθαις ἐνόν, αὐτῶν ἐπιβεβηκόσιν, ἐπὶ τὴν σφῶν ἀνασώζεσθαι γῆν. τῇ δὲ ὑστεραίᾳ Ταυροσκύθαι, τοῦ ἄστεος ὑπεκδύντες, κατὰ τὸ πεδίον ἐτάξαντο, ποδηνεκεῖς θυρεοὺς προβαλλόμενοι καὶ θώρακας ἁλυσιδωτούς. Ῥωμαῖοι δὲ καὶ αὐτοὶ τοῦ χάρακος ὑπεξ-* Fol. 312 r. *ήεσαν ἐς τὸ ἀκριβὲς τεθωρακισμένοι· καὶ καρτερῶς ἄμφω τὰ* C *μέρη διηγωνίζοντο, καὶ ἀμφίδοξος ἡ νίκη ἐδόκει, ἄλλοτε θατέρου μέρους ὠθοῦντος. ἐπεὶ δέ τις Ῥωμαίων τῆς φάλαγγος ἀποῤῥαγεὶς τὸν μετὰ Σφενδοσθλάβον τρίτον παρὰ Ταυροσκύθαις τιμώμενον Σφέγκελον, ἐκθύμως τότε διαγωνιζόμενον, κατηκόντισεν, ἄνδρα γιγαντώδη καὶ νεανικόν· ἐπὶ τῷ τούτου πτώματι διαταραχθέντες Ταυροσκύθαι βάδην τοῦ πεδίου ὑπενόστουν καὶ πρὸς τὸ ἄστυ ἠπείγοντο. τηνικαῦτα καὶ Θεόδωρος, ὁ τὴν κατεπωνυμίαν Λαλάκων, ἀνὴρ κατά τε ἀλκὴν καὶ σώματος ῥώμην*

13. ὑστερέᾳ cod. 21. ἐπεὶ τὸ τούτου πτώματι cod.

2. Eodem tempore triremes igniferae Romanorum cum navibus frumentariis adverso Istro adnavigantes conspiciebantur: quas nostri videntes incredibili sunt laetitia affecti, nec minus Scythae perturbati, quod impositum navibus madidum ignem verebantur. Audierant enim a maioribus natu gentis, quemadmodum maximam classem Ingoris, patris Sphendosthlabi, Romani eodem Medico igne in Ponto combussissent. Ita celeriter lenunculos suos contractos ante muros oppidi subduxerunt, qua praeterfluens Ister alterum latus Dorystoli alluit. Eosdem igniferae nostrae naves circumcirca observabant, ne Scythis facultas daretur, conscensis scaphis, in suam se regionem recipiendi. Postero die Tauroscythae, ex oppido egressi, aciem in planitie instruxerunt, scutis ad pedes usque pertinentibus et loricis hamatis tecti. Item Romani castris progressi sunt bene loricati: et acriter utrimque pugnatum est, incerta victoria, altero alterum propellente. Ubi vero Romanorum aliquis ex phalange procurrens Sphencelum, qui tertio post Sphendosthlabum loco a Tauroscythis honorabatur, animose tunc praeliantem confixit, virum vasto corpore et audacia iuvenili: huius casu perturbati Tauroscythae e planitie pedem referre, inque oppidum se recipere coeperunt. Eodem praelio Theodorus cognomento Lalaco, homo ob robur corporis, quod summum erat in illo, metuendus et

δυσάντητος καὶ ἀκαταγώνιστος, πλείστους τῶν δυσμενῶν σιδηρᾷ κορύνῃ ἀπέκτεινεν. A. C. 972 I. I. 3 ἰσχύϊ γὰρ χειρὸς ταύτην καταφέρων, αὐτῇ κυνῇ καὶ τὴν ταύτῃ περιστελλομένην συνέθλαττε κεφαλήν. D ἀλλ' οὕτω μὲν τότε Σκύθαι, τὰ νῶτα δόντες, διὰ τοῦ ἄστεος ὑπενόστησαν. Ῥωμαίους δὲ ὁ βασιλεύς, τὸ ἀνακλητικὸν ἐπαυλεῖν ἐγκελεύσας, συνεκαλεῖτο ἐπὶ τὸν χάρακα, οὓς δώροις καὶ προπόσεσιν ἐθεράπευε, προθυμοποιῶν, ῥωμαλέως ἐπὶ τοὺς πολέμους χωρεῖν.

γ'. Ἐν τούτῳ δὲ τῶν πραγμάτων ᾐωρημένων, καὶ τῆς μάχης ἔτι συνεστηκυίας, Λέων Κουροπαλάτης, ὁ τοῦ αὐτοκράτορος Νικηφόρου ὁμαίμων, ἐπὶ τὴν κατὰ Λέσβον Μήθυμναν ἅμα Νικηφόρῳ P. 90 τῷ υἱῷ φρουρούμενος, ὥς μοι ἤδη δεδήλωται, χρυσῷ τοὺς φρουροὺς διαφθείρας, ἐς ἀποστασίαν ἀπέκλινεν, ἀσινεῖς ἔχων τὰς κόρας τῶν ὀφθαλμῶν. ὁ γὰρ ἐκτυφλοῦν τὸ πρόσθεν αὐτὸν προτραπείς, εἴτε κατ' ἐντολὴν τοῦ βασιλέως τοῦτο πεποιηκὼς (ὑπονοεῖται γὰρ καὶ τοῦτο· τεκμήριον δέ, ὅτι μετὰ τὴν τοῦ δράματος διάγνωσιν κακῶν ἀπαθὴς ὁ ἄνθρωπος ἔμεινεν), εἴτε καὶ οἴκτῳ τῆς τοσαύτης ἐπικαμφθεὶς συμφορᾶς, τὰς μὲν βλεφαρίδας ἐκείνου κατέκαυσεν, ἀσινεῖς δὲ καὶ ἀκηράτους τὰς κόρας παρέλιπε. τότε γοῦν εἰς ἀκάτιον ὁ Κουροπαλάτης ἐμβάς, τῇ κατ' ἀντιπέρας Βυζαντίου B χθονὶ λεληθότως προσώρμισεν, ἐπί τι φροντιστήριον, ὃ Πηλαμὺς κέκληται, κρυπτόμενος. ἐκεῖθέν τε διά τινος τῶν οἰκείων τοῖς φίλοις καὶ γνωστοῖς τὴν αὐτοῦ καταμηνύει ἄφιξιν. οἱ δὲ παντὶ σθένει συνάρασθαί οἱ διωμολόγουν, καὶ πλῆθος συναθροίσειν ἐνόπλων ἀν-

3. κυνῇ] κοινῇ cod. συνέθλαττε. Lege aut συνέθλα, aut συνέθλασε. 14. αὐτῶν cod.

inexpugnabilis, hostes numero plurimos clava ferrea interfecit. Quam manu tam valenti demittebat, ut simul et galeam et caput illa tectum confringeret. In hunc modum Scythae, fuga facta, in oppidum reverterunt. Romanos Imperator, receptui cani iubens, in castra revocavit: ubi donis eos conviviisque accepit, animosque ad strenue ineundam pugnam maiores fecit.

3. Eatenus dubio rerum exitu, flagrante etiam bello, Leo Curopalates, Nicephori Imperatoris frater, quem Methymnae in Lesbo insula asservatum esse supra demonstravi, custodibus pecunia corruptis, rebellavit: quippe illaesas habebat oculorum pupillas. Etenim cui prius fuerat eius excaecatio mandata, is sive Imperatoris iussu (suspicantur et hoc, ob rationem illam, quod re patefacta homo impunitus permansit), sive misericordia motus tantae calamitatis, cilia eius combussit, pupillas illaesas et intactas reliquit. Ita Curopalates, conscenso lembo, ad oram contra Constantinopolim clam appulit, inque monasterio, quod Pelamys vocatur, se occultavit. Inde mittit certum hominem, qui amicis et familiaribus nunciaret se venisse. Hi suum auxilium pro viribus pollicentur: manum armatorum sese coacturos;

A. M. 6480 δρῶν, καὶ τὰς τῆς βασιλικῆς ἑστίας κλεῖς ὑφελέσθαι, δι' ὧν αὐτῷ
Ind. 15 εὐπετῶς ἡ ἐς τὰ βασίλεια γένοιτο πάροδος. καὶ δῆτα ἔργου εἴχοντο, καὶ τὴν διὰ λόγων ὑπόσχεσιν καὶ δι' ἔργων ἀνύττειν ἐπεχείρουν, μηδόλως μελλήσαντες. ἐντεῦθεν δή τινα τῶν βασιλικῶν κλειδούχων δωρεαῖς ὑποποιησάμενοι, κηρῷ τὰς κλεῖς ἐκτυποῦν ἔπεισαν,
C καὶ αὐτοῖς ἐπιδοῦναι τὸν κηρόν. καὶ ὅς, οὐδὲν ἀναδύς, τυπώσας
Fol. 312 v. τὸν κηρὸν ἐπεδίδου· οἱ δέ, βάναυσον μισθωσάμενοι, τὰς κλεῖς ἐφ' ἑστίας ὡς τάχος ἐχάλκευσαν.

δ'. Ἐπεὶ δὲ πάντα τούτοις κατὰ γνώμην, ὥς γε ἐδόκει, ἐχώρει, τὸν Κουροπαλάτην ἐκάλουν περαιοῦσθαι τὸν Βόσπορον, καὶ καταίρειν ἐπὶ τὸ Βυζάντιον. ὁ δέ, τῶν νυκτῶν ἀωρὶ νεὼς ἐπιβὰς καὶ τῇ ἀκροπόλει προσσχών, ἐκεῖθεν διά τινος πυλίδος ὑπὸ τὴν τοῦ ἁγίου Φωκᾶ τελεθούσης ἑστίαν, ἔνδον εἰσῄει τοῦ ἄστεος, τὴν τῆς ἡγεμονίας ἀρχὴν ἤδη κατέχειν ἐν ταῖς χερσὶν ὀνειροπολῶν.
D τῷ δέ, ἀντὶ πορφυρίδος λαμπρᾶς, καὶ σκήπτρων χρυσῶν, καὶ τυραννίδος, ἣν ὡς μὴ ὤφελεν ἐμελέτησεν, ἐκτύφλωσιν πικρὰν καὶ ὑπερορίαν μακράν, καὶ δήμευσιν τῶν οἰκείων ἡ τύχη ἐσκαιωρεῖτο, ἐπιγελῶσά που τοῖς ἐλπιζομένοις τἀνδρί, ὡς οὐκ ἐν ἐχυρῷ κειμένοις, ἀλλ' εἰς τοὔμπαλιν αὐτῷ περιτρεπομένοις, καὶ χαλεπὴν τῶν ἀτυχημάτων ἐπικυλίνδουσι συμφοράν. ἄρτι γάρ, ἐπείπερ κατ' οἶκόν τινος τῶν ὑπηρετουμένων αὐτῷ ἐν τοῖς τοῦ Σφορακίου μέρεσι καθῆστο, τοὺς συνωμότας συνελθεῖν ἐκδεχόμενος, εἷς τῶν ἑπομένων αὐτῷ, τῆς ἑστίας ὑπεξελθών, πρόσ-
P. 91 εισι τῶν συνήθων τινί, βασιλικῆς ἱστουργίας ὄντι μελεδωνῷ, τὴν

12. προσχὼν cod. 13. τελεσούσης cod. 15. τῷ] τὸ cod. 22. καθεῖσθαι cod.

claves palatii surrepturos, per quas facilis ei fieret in sacrum limen ingressus. Proinde suscipiunt negotium: quod verbis erant polliciti, nil morati re perficere conantur. Persuadent uni ex ostiariis palatinis donis inducto, ut in cera claves imprimeret, ceram sibi communicaret. Is, promtus ad rem, ceram informatam tradit: coniurati, opificem conducentes, claves celeriter domi cudendas curant.

4. Cum omnia ex sententia, ut rebantur illi, successissent, vocant Curopalatem, ut, traiecto freto, Constantinopolim appelleret. Is nocte intempesta navi conscensa ad arcem delatus, ibi per portulam, quae sub S. Phocae est, urbem intrat, imperium iam se manibus tenere somnians. Verum huic pro fulgente purpura, pro sceptro aureo, pro tyrannide, quam infausto omine machinabatur, excaecationem diram, longinquum exilium, publicationem bonorum parabat fortuna, irridens spem hominis, quae nimium fallax in contrariam partem evasit, acerbamque illi malorum miseriam intulit. Dum enim in aedibus cuiusdam ex facientibus secum in regione Sphoracii desidet, coniuratorum conventum praestolans, aliquis assedarum, aedibus elapsus, ad familiarem ipsius, textrini Augusti procuratorem, acce-

τοῦ Κουροπαλάτου ἐνδημίαν μηνύων αὐτῷ, καὶ τὸ δρᾶμα ἀνα- A. C. 972
καλύπτων, καὶ προσλιπαρῶν συνάρασθαι αὐτοῖς μετὰ τοῦ τὴν I. I. 3
ἱστουργικὴν αὐτουργοῦντος συστήματος. ὁ δὲ τὴν ταχίστην βοηθεῖν ἐπηγγέλλετο, καὶ ἀναστὰς ὡς τὸ περὶ αὐτὸν πλῆθος καλέσας ἀπῄει. παρὰ Λέοντα δὲ τὸν Πατρίκιον καὶ πλωΐμου Δρουγγάριον ἀφικόμενος, ὃς τότε παρὰ βασιλέως τὴν τοῦ Βυζαντίου ἐκεχείριστο πρόνοιαν, πάντα τούτῳ δηλοῖ· καὶ ὡς ὁ Κουροπαλάτης ἐκ τῆς ὑπερορίας ἀναχθεὶς, ἐπηλύτης τε ὢν, καὶ κατά τινα οἰκουρῶν ἑστίαν, ὅσον οὔπω βούλεται τυραννεῖν. ὁ δὲ τῷ B
ἀθρόῳ τῆς ἀγγελίας καταπλαγεὶς, εἶτ' αὖθις ἀνενεγκὼν (ἦν δὲ σταθηρὸς ἐν περιστάσεσι, καὶ τὸ δέον δραστήριος ἐν ἀπόροις ἐξευρεῖν), τὸ περὶ αὐτὸν στῖφος ἀνειληφὼς, ἐξαυτῆς τῇ οἰκίᾳ, καθ' ἣν ὁ Κουροπαλάτης κατήγετο, ἐπιτίθεται. ἐπεὶ δὲ ἔγνω, τὸ καθ' αὐτὸν δρᾶμα κατάφωρον ὁ Κουροπαλάτης καὶ ἔκδηλον γεγονὸς, διά τινος παραθύρου μετὰ τοῦ υἱοῦ ὑπεκδὺς Νικηφόρου, ἐς τὸν θεῖον καὶ μέγαν καταφεύγει σηκὸν, ἱκέτης ἐλεεινὸς ἀντὶ σοβαροῦ τυράννου καὶ ἀλαζόνος ὁρώμενος. ὃν ἐκεῖθεν οἱ περὶ τὸν Δρουγγάριον ἀποσπάσαντες, εἰς ἀκάτιόν τε ἅμα τῷ υἱῷ Νικηφόρῳ ἐμβαλόντες, πρὸς τὴν λεγομένην Καλώνυμον νῆσον περιορίζουσι· κελεύσει τε βασιλικῇ αὖθις πρὸς τοῦ αὐτοκράτορος ἐκ Μυσίας ἐνηνεγμένῃ ἀμφοτέρους ἀποτυφλοῦσι, καὶ τὴν τούτων περιουσίαν δημεύουσιν.

ε'. Ἀλλ' οὕτω μὲν τῷ Κουροπαλάτῃ Λέοντι τὰ τῆς τυραν- Fol. 818 r.
νίδος εἰς δεινὸν καὶ ὀλέθριον κατέληξε τέλος. οἱ δὲ Ῥῶς συνα- C

8. ἐπιλύτης cod. 10. ἀνενεγκών. Vid. supra 24. C. 21. ἐνηνεγμένης cod.

dit: nunciat, Curopalatem venisse: consilio patefacto rogat, ut sibi cum corpore textorum auxilio sit. Hic se cito praesto illi fore spondet, surgens tanquam officium vocaturus abit. Verum, ad Leonem Patricium classis Drungarium introductus, cui ab Imperatore erat Constantinopolis commissa cura, ibi omnia defert: Curopalatem, de exilio reversum, in urbe commorari, domo aliqua se continere, nec quicquam propius esse quam ut regnaret. Perculsus subito hoc nuncio Drungarius ubi se collegit (ut erat firmo in periculis animo, et industrius in rebus dubiis ad optima consilia invenienda), sumta sua cohorte, domum, in qua Curopalates deversabatur, continuo invasit. Is cum rem deprehensam perspectamque esse intellexisset, per posticum cum Nicephoro filio elapsus in divinam et magnam aedem confugit, miser supplex ex tyranno glorioso atque arrogante factus. Inde eum protractum homines Drungarii in lenunculum cum Nicephoro filio coniiciunt, inque insulam, quae vocatur Calonymus, deportant: ubi mandato Aug. a principe ex Moesia allato ambos excaecant, bonis eorum publicatis.

5. In hunc modum Leonis Curopalatae rebellio tristem et fatalem habuit

A. M. 6480 Ind. 15 σπῖσαντες (αὖθις γὰρ ὁ λόγος, ὅθεν ἐξέβη, ἐπάνεισιν), ἐπὶ τὸ πεδίον ἐξῄεσαν, παντὶ σθένει πειρώμενοι, τὰς τῶν Ῥωμαίων πυρπολεῖν μηχανάς. οὐ γὰρ τὰς τούτων μετὰ ῥοίζου ἔστεγον ἐκπεμπομένας βολὰς, πλείστων ὁσημέραι ὑπὸ τῶν ἀφιεμένων λίθων ἀναιρουμένων Σκυθῶν. Ἰωάννης δὲ ὁ Κουρκούας καὶ Μάγιστρος, ἐκ γένους προσήκων τῷ βασιλεῖ, τὴν τῶν τοιούτων μη- D χανημάτων ποιούμενος φυλακὴν, τὴν μετὰ θράσους ὁρμὴν τῶν ἐναντίων ἰδὼν, καὶ ἄλλως οἴνῳ καρηβαρῶν καὶ νευστάζων (μετ' ἄριστον γὰρ ἦν), ἵππου ἐπιβὰς, σὺν τοῖς ἑφεπομένοις λογάσιν ἤλαυνε κατ' αὐτῶν. βόθρῳ δὲ ὁ ἵππος κατενεχθεὶς ἀποβάλλει τῶν νώτων τὸν Μάγιστρον. οἱ δὲ Σκύθαι, ἀριπρεπῆ πανοπλίαν ἰδόντες, καὶ φάλαρα τοῦ ἵππου καὶ τὴν ἄλλην σκευὴν ἐξειργασμένα λαμπρῶς (ἐτύγχανον γὰρ καταχόρως ἀληλιμμένα χρυσῷ), δόξαντες αὐτὸν ἐκεῖνον εἶναι τὸν αὐτοκράτορα, ἀθρόως περιδρα- P. 92 μόντες αὐτοῖς ὅπλοις τοῦτον τοῖς ξίφεσι καὶ πελέκεσι κατεμέλισαν ἀπηνῶς· δορατίῳ τε τὴν κεφαλὴν περιπείραντες, ἐπὶ τῶν πύργων κατέπηξαν, Ῥωμαίους τωθάζοντες, ὡς τὸν σφῶν βασιλέα δίκην βοσκήματος κρεουργήσαντες. ἀλλὰ τοιαῦτα μὲν Ἰωάννης ὁ Μάγιστρος ἀπηνέγκατο τὰ ἐπίχειρα, ὧν εἰς τοὺς θείους πεπαρῳνήκει σηκοὺς, θυμοῦ βαρβαρικοῦ γεγονὼς παρανάλωμα. λέγεται γὰρ πολλοὺς τῶν κατὰ Μυσίαν κεραΐσαι, καὶ τὰ τούτων ἔπιπλα καὶ σκεύη τὰ ἱερὰ εἰς ἰδιωτικὰ μετασκευάσαι κειμήλια.

ς'. Ῥῶς δὲ τῇ τοιαύτῃ νίκῃ κατεπαρθέντες, ἐς τὴν ἐπιοῦσαν B τοῦ ἄστεος ὑπεξιόντες, παρὰ τὸ μεταίχμιον ἐτάξαντο· Ῥωμαῖοι

13. ἀληλεγμένα cod.

exitum. Russi vero, phalange facta (redit enim eo, unde egressa est, oratio), in campum processerunt, summa vi contendentes, ut Romanorum tormenta concremarent. Aegre enim tela cum stridore inde missa tolerabant, quibus quotidie Scythae plurimi lapidibus icti deiiciebantur. Agebat tormentorum custodiam Ioannes Curcuas magister militiae, genere cum Imperatore coniunctus. Is ubi hostes audacter procurrentes vidit, vini somnique plenus (quod post prandium res gerebatur), equo conscenso, cum sequentibus delectis contra venit. Equus in scrobem delatus dorso eum excutit. Tum Scythae, insignem armaturam eius, phalerasque equi cum reliquo ornatu elaboratas magnifice conspicati (erant enim affatim inducta auro), rati Imperatorem esse, omnes simul circumfusi una cum armis eum gladiis securibusque ferum in modum articulatim dividunt: caput pilo fixum in turribus constituunt, Romanos irridentes, quod eorum Imperatorem victimae ritu obtruncassent. Has Ioannes Magister poenas scelerum in aedes sacras commissorum tulit, ut a furore barbarorum opprimeretur. Etenim ecclesias multas in Moesia vastasse dicitur, earumque vestem et vasa sacra in privatam supellectilem convertisse.

6. Russi eiusmodi victoria elati, postridie eius diei oppido egressi, adversa acie constiterunt: itemque Romani, in altum cuneum conferti, ob-

δὲ καὶ αὐτοί, ἐς βαθεῖαν συνασπίσαντες φάλαγγα, τούτοις ἀν- A. C. 972
τεπῄεσαν. ἐνταῦθα Ἴκμορα, τὸν μετὰ τὸν Σφενδοσθλάβον τὸ I. L. 8
Σκυθικὸν ἄγοντα στράτευμα καὶ τιμώμενον εὐθὺς μετ' ἐκεῖνον,
ἄνδρα γιγαντώδη καὶ νεανικόν, ἰδὼν Ἀνεμᾶς, ὁ τῶν βασιλικῶν
σωματοφυλάκων εἷς, καὶ τοῦ τῶν Κρητῶν υἱὸς ἀρχηγοῦ, ἐν-
θουσιωδῶς ἐφορμῶντα μετὰ τῆς τῶν ἑπομένων πεζεταίρων
φάλαγγος καὶ πλείστους Ῥωμαίων ἀποκτιννύοντα, ἀλκῇ τε φύ-
σεως ἐπαρθείς, τὸ παρῃωρημένον ξίφος ἑλκύσας, καὶ τὸν ἵππον
τῇδε κἀκεῖσε παρεξελάσας, τοῖς τε μύωψι καταικίσας, κατὰ τοῦ
Ἴκμορος ἵεται, καὶ τοῦτον κατειληφὼς πλήττει κατὰ τοῦ τένον- C
τος· ἡ δὲ τοῦ Σκύθου κεφαλὴ σὺν τῇ δεξιᾷ ἐκτμηθεῖσα χειρὶ
πρὸς τοὔδαφος ἀπηράττετο. τοῦ δὲ πεσόντος, βοή τις παρὰ τῶν
Σκυθῶν οἰμωγῇ σύμμικτος αἴρεται· Ῥωμαῖοι δὲ τούτοις ἐπέ-
δραμον. οἱ δὲ οὐκ ἤνεγκαν τὴν τῶν ἐναντίων ῥοπήν, ἀλλὰ τῷ
τοῦ σφῶν στρατηγοῦ πάθει ἐκτόπως περιαλγήσαντες, τὰ σάκη Fol. 313 v.
κατωμαδὸν ἄραντες, ἐχώρουν διὰ τοῦ ἄστεος, οὓς ἐπισπόμενοι
Ῥωμαῖοι ἀπέκτεινον. ἤδη δὲ νυκτὸς κατασχούσης, καὶ τῆς μήνης
πλησιφαοῦς οὔσης, κατὰ τὸ πεδίον ἐξελθόντες τοὺς σφετέρους
ἀνεψηλάφων νεκρούς· οὓς καὶ συναλίσαντες πρὸ τοῦ περιβόλου
καὶ πυρὰς θαμινὰς διανάψαντες, κατέκαυσαν, πλείστους τῶν D
αἰχμαλώτων, ἄνδρας καὶ γύναια, ἐπ' αὐτοῖς κατὰ τὸν πάτριον
νόμον ἐναποσφάξαντες. ἐναγισμούς τε πεποιηκότες, ἐπὶ τὸν
Ἴστρον ὑπομάζια βρέφη καὶ ἀλεκτρυόνας ἀπέπνιξαν, τῷ ῥοθίῳ
τοῦ ποταμοῦ ταῦτα καταποντώσαντες. λέγεται γὰρ Ἑλληνικοῖς

4. νεανικόν. Vid. supra 89. C. Ἀναιμᾶς cod., sed Cedrenus II. 678. D. et alibi recte per ε.

viam procedunt. Erat Icmor, qui sub Sphendosthlabo exercitum Scythicum ducebat, proximus post illum auctoritate, vir immani corpore et ferocia iuvenili. Hunc Anemas ex protectoribus palatinis, Cretici satrapae filius, conspicatus magno impetu cum cohorte satellitum, quos circa se habebat, incurrere, Romanorumque complures occidere, virtute animi elatus, gladio ab latere stricto, huc illuc conversum incensumque calcaribus equum in Icmorem immisit: quem nactus cervicem gladio appetit: Scythae caput cum manu dextra abscisum solo afflixit. Duce cadente clamor a Scythis lamentatione permixtus tollitur: fit in eos a Romanis impetus. Quem illi non sustinuerunt; sed, praetoris caede vehementer commoti, scutis post humeros reiectis in oppidum reversi sunt. Romani quos possunt consectantur atque occidunt. Coepta iam nocte, cum luna pleno orbe colluceret, in campum egressi mortuos suos conquisiverunt: hos pro muro coacervatos rogis compluribus accensis cremaverunt, in iisdem captivos numero plurimos, viros et mulieres, patrio more iugulantes. Item inferias celebrantes, in Istro lactentes infantes et gallos gallinaceos suffocabant, undis fluminis mersos. Etenim dicuntur gentilium sacris addicti, Graecorum more sacrificia et li-

A. M. 6480 Ind. 15 ὀργίοις κατόχους ὄντας, τὸν Ἑλληνικὸν τρόπον θυσίας καὶ χοὰς τοῖς ἀποιχομένοις τελεῖν, εἴτε πρὸς Ἀναχάρσεως ταῦτα καὶ Ζαμόλξιδος, τῶν σφετέρων φιλοσόφων, μυηθέντες, εἴτε καὶ πρὸς τῶν τοῦ Ἀχιλλέως ἑταίρων. Ἀῤῥιανὸς γάρ φησιν ἐν τῷ Περίπλῳ,
P. 93 Σκύθην Ἀχιλλέα τὸν Πηλέως πεφηνέναι, ἐκ τῆς Μυρμηκιῶνος καλουμένης πολίχνης, παρὰ τὴν Μαιῶτιν λίμνην κειμένης· ἀπελαθέντα δὲ πρὸς τῶν Σκυθῶν διὰ τὸ ἀπηνὲς, ὠμὸν, καὶ αὔθαδες τοῦ φρονήματος, αὖθις Θετταλίαν οἰκῆσαι. τεκμήρια τοῦ λόγου σαφῆ ἥ,τε τῆς ἀμπεχόνης σὺν τῇ πόρπῃ σκευὴ, καὶ ἡ πεζομαχία, καὶ ἡ πυρσὴ κόμη, καὶ οἱ γλαυκιῶντες ὀφθαλμοὶ, καὶ τὸ ἀπονενοημένον, καὶ θυμοειδὲς, καὶ ὠμόν· ἃ καὶ ὀνειδίζων Ἀγαμέμνων ἐπέσκωπτεν, οὑτωσὶ λέγων·

„Αἰεὶ γάρ τοι ἔρις τε φίλη, πόλεμοί τε, μάχαι τε."

φόνῳ γὰρ εἰσέτι καὶ αἵματι τὰ νείκη Ταυροσκύθαι διακρίνειν
B εἰώθασιν. ὅτι δὲ τὸ ἔθνος ἀπονενοημένον, καὶ μάχιμον, καὶ κραταιὸν, πᾶσι τοῖς ὁμόροις ἐπιτιθέμενον ἔθνεσι, μαρτυροῦσι πολλοὶ, καὶ ὁ θεῖος δὲ Ἰεζεκιὴλ, μνήμην τούτου ποιούμενος, ἐν οἷς ταῦτά φησιν· „Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ τὸν Γὼγ καὶ Μαγὼγ, ἄρχοντα Ῥώς." Ἀλλ' ἀπόχρη μὲν ταῦτα περὶ τῶν Ταύρων ἐναγισμῶν.

ζ'. Τότε δὲ ἤδη διανισχούσης ἡμέρας βουλὴν ὁ Σφενδοσθλάβος τῶν ἀρίστων ἐκάθιζεν, ἣν καὶ κομέντον τῇ σφετέρῳ διαλέκτῳ φασίν. ἄρτι δὲ συναθροισθέντων περὶ αὐτὸν, καὶ ὅ,τι

5. πεφηνέναι. Vid. supra 51. C. 60. D. 102. B. 13. Iliad. A. 177. 18. τὸν Ἀγὼγ καὶ Μαγὼγ cod. Ezech. XXXIX. 1. Ἰδοὺ ἐγὼ ἐπὶ σὲ Γὼγ ἄρχοντα ῥώς· et idem XXXVIII. 2.

bamina manibus offerre, sive ab Anacharside et Zamolxi, suis philosophis, ad hunc modum, sive a sociis Achillis initiati. Siquidem Arrianus in Periplo auctor est, Achillem Pelei filium Scytham exstitisse, Myrmecione natum, quod est ad Maeotidem paludem oppidulum: expulsum vero a Scythis ob saevitiam, crudelitatem, arrogantiam animi, in Thessalia posthaec sedem collocasse. Cuius rei clara argumenta sunt amictus fibulati ratio, pugna pedestris, capillus rufus, oculi glauci, amentia, iracundia, crudelitas: quae ipsa conviciis Agamemnon consectabatur, sic dicens:

„Huic semper iurgia cordi,
Rixaeque, pugnaeque."

Caede enim et sanguine ad hanc diem Tauroscythae dirimere rixas consuerunt. Audaciam autem et virtutem atque robur gentis, finitimum quemque populum invadentis, cum multi alii testantur, tum etiam divus Ezechiel, mentione eius facta, ubi ad hunc modum ait: „Ecce ego induco super te Gog et Magog, principem Rhos." Sed de inferiis Taurorum haec sufficiant.

7. Inter haec prima luce Sphendosthlabus consilium primorum ordinum constituit, quod sua lingua comentum appellant. Coactos quid agat

δεῖ καὶ δρᾶν πρὸς αὐτοῦ διερωτηθέντων, οἱ μὲν ἀωρὶ συνε- A. C. 972
βούλευον τῶν νυκτῶν, ἐπιβάντες τῶν πλοίων, πάσῃ μηχανῇ I. I. 8
κλέψαι τὴν φυγήν· μὴ γὰρ οἵους τε καθεστάναι ἱππόταις πανσι- C
δήροις ἀνδράσι συμπλέκεσθαι, ἀποβαλόντας καὶ ταῦτα τοὺς
πρωταγωνιστάς, ὑφ' ὧν τὸ στρατόπεδον ἀνεῤῥώννυτο, καὶ οἱ
θυμοὶ τῶν ἀνδρῶν παρεθήγοντο. οἱ δὲ τοὔμπαλιν δεξιὰς ἐμβάλ-
λειν Ῥωμαίοις ἐξυνεβούλευον, καὶ πίστεις λαμβάνειν, καὶ οὕτω
διασώζειν τὴν περιλειφθεῖσαν στρατιάν. οὐδὲ γὰρ ἔχειν εὐχερῶς Fol. 814 r.
κλέψαι τὸν ἀπόπλουν, τῶν πυρφόρων νεῶν παρὰ τοῦ Ἴστρου ἄν-
δηρα ἑκατέρωθεν φρουρουσῶν τὰ πορθμεῖα, ὡς, ἡνίκα πειρα-
θεῖεν ἐκπλεῦσαι τὸν ποταμόν, πυρπολήσειν ἐξαυτῆς ἅπαντα.
ὁ δὲ Σφενδοσθλάβος, μύχιον καὶ πικρὸν ἀνοιμώξας, „οἴχεται D
τὸ κλέος," ἔφη, „ὃ τῇ Ῥωσικῇ πανοπλίᾳ συνείπετο, τὰ πρόσοικα
καταστρεφομένῃ ἔθνη ἀπονητί, καὶ χώρας ὅλας ἀνδραποδιζο-
μένῃ ἀναιμωτί, εἰ νῦν ἀκλεῶς Ῥωμαίοις ὑπείξομεν. ἀλλὰ γάρ,
τὴν ἐκ προγόνων ἀνειληφότες ἀρετήν, ἀναλογισάμενοί τε, ὡς ἀκα-
ταγώνιστος ἡ Ῥωσικὴ μέχρι καὶ τήμερον καθέστηκεν ἀλκή, ἐκ-
θύμως ὑπὲρ τῆς σφῶν σωτηρίας διαγωνισώμεθα. οὐδὲ γὰρ ἔθι-
μον ἡμῖν φεύγουσιν ἐς τὴν πατρίδα φοιτᾶν, ἀλλ' ἢ νικῶντας
ζῆν, ἢ εὐκλεῶς τελευτᾶν, ἔργα ἐπιδεδειγμένους γενναίων ἀνδρῶν."
τοσαῦτα μὲν ὁ Σφενδοσθλάβος ἐβούλευσεν.

η' Λέγεται δὲ καὶ τοῦτο περὶ Ταυροσκυθῶν, μήποτε μέχρι P. 94
καὶ νῦν ἑαυτοὺς ἐγχειρίζειν τοῖς δυσμενέσιν ἡττωμένους· ἀλλ' ἤδη
τῆς σωτηρίας ἀπαγορεύσαντας ὠθεῖν τε κατὰ τῶν σπλάγχνων τὰ

7. ἐξυνεβούλευον. Sic cod., duplici augmento. 9. πορφύρων cod. παρὰ τοῦ] Sic cod. Leg. παρὰ τὰ τοῦ.

consulit. Alii multa de nocte naves conscendendas, omnibusque modis furtim elabendum, existimant; nullo se pacto equites cataphractos sustinere posse, idque postquam virtute praestantes duces amisissent, qui exercitum confirmare, animos militum incitare consueverint. Contra ea alii censebant compositionem cum Romanis fieri oportere, atque ita fide accepta reliquias exercitus servari. Clam ab oppido solvere non esse facile, quod igniferae naves ad ripam Istri utrobique transitum custodirent, ut, simul ac conarentur in amnem enavigare, cuncta evestigio cremarent. Tum vero cum ingemuisset vehementius Sphendosthlabus, „Periit," inquit, „gloria, arma Russica sequens, quae modo populos finitimos nullo negotio subegerunt, modo citra sanguinem integras tenuerunt regiones, si nunc turpiter cedimus Romanis. Quin, repraesentantes patriam virtutem, reputamus, invictum usque adhuc perstitisse Russicum robur, et pro nostra salute acriter confligimus? Non solemus nos quidem fugientes in patriam reverti, sed vel vivere victores, vel gloriose mori, effectis virorum fortium facinoribus." Eiusmodi consilium egit Sphendosthlabus.

8. Memoratur illud quoque de Tauroscythis, eos nunquam usque ad hanc diem hostibus dedere se victos: verum, salute desperata, gladio vi-

A. M. 6480 Ind. 15 ξίφη, καὶ οὕτως ἑαυτοὺς ἀναιρεῖν. τοῦτο δὲ πράττουσι, δόξαν κεκτημένοι τοιαύτην· φασὶ γὰρ τοὺς πρὸς τῶν ἐναντίων κατακτεινομένους ἐν τοῖς πολέμοις, μετὰ τὸν μόρον καὶ τὴν ἐκ τῶν σωμάτων διάζευξιν τῶν ψυχῶν ἐν ᾅδου τοῖς αὐθένταις ὑπηρετεῖν. Ταυροσκύθαι δὲ, τὴν τοιαύτην δεδιότες λατρείαν, ἀποστυγοῦντες δὲ καὶ τοῖς ἀναιροῦσιν αὐτοὺς ἐξυπηρετεῖν, τῆς ἑαυτῶν σφαγῆς B αὐτόχειρες γίνονται. ἀλλὰ τοιαύτη μὲν ἡ ἐπικρατήσασα ἐν αὐτοῖς δόξα. τότε δὲ, τῶν τοῦ ἄρχοντος λόγων ἀκούσαντες, φιλοψυχότατα τὸν ὑπὲρ τῆς σφῶν σωτηρίας αἱρεῖσθαι κίνδυνον κατετίθεντο, ἐκθύμως τε πρὸς τὴν Ῥωμαϊκὴν ἀντιτάξασθαι δύναμιν. τῇ γοῦν ὑστεραίᾳ (ἕκτη δὲ ἦν τῆς ἑβδομάδος ἡμέρα, καὶ εἰκάδα τετάρτην ἤλαυνεν ὁ Ἰούλιος μήν), περὶ καταφορὰν ὄντος ἡλίου, πανσυδὶ τῆς πόλεως ἐξελθόντες οἱ Ταυροσκύθαι, παντὶ σθένει διακινδυνεύειν ἤροῦντο, εἰς φάλαγγα καρτερὰν συνασπίσαντες, καὶ προβαλόντες τοὺς ἄκοντας. Ῥωμαίους δὲ διατάξας ὁ βασιλεὺς ὑπεξῆγε C τοῦ χάρακος. ἤδη δὲ τῆς μάχης καταῤῥαγείσης, εὐρώστως οἱ Σκύθαι Ῥωμαίοις ἐπῄεσαν, τοῖς τε ἀκοντίοις σινόμενοι, καὶ τοῖς βέλεσι τοὺς ἵππους τιτρώσκοντες, καὶ τοὺς ἐπιβάτας εἰς γῆν καταβάλλοντες. ἐνταῦθα ὁ τῇ προτεραίᾳ ἠριστευκὼς Ἀνεμᾶς καὶ τὸν Ἴκμορον κατακτείνας, τὸν Σφενδοσθλάβον ἰδὼν ἐνθουσιωδῶς κατὰ Ῥωμαίων ὁρμῶντα καὶ μανικῶς, καὶ τὰς αὐτοῦ ἐπιῤῥωννύοντα φάλαγγας, τὸν ἵππον παρεξελάσας (εἰθισμένον δὲ ἦν αὐτῷ τοῦτο δρᾶν, καὶ πλείστους τῶν Σκυθῶν τοιούτῳ τρόπῳ Fol. 314 v. ἀνεῖλε τὸ πρότερον), ὅλην ἡνίαν τῷ ἵππῳ ἀνεὶς ὡς αὐτὸν ἵεται,

20. Ἴκμορον. Supra 92. B. Ἴκμορα.

scera transverberare, seque ipsos sic interimere. Id faciunt, quod opinionem habent eiusmodi: aiunt si qui in bello ab hostibus occidantur, eos post mortem animorumque a corporibus discessum interfectoribus apud inferos servire. Quem famulatum verentes, Tauroscythae, potius quam percussoribus suis ministrent, rei remedium voluntaria morte quaerunt. Haec apud illos invaluit persuasio. Tunc vero, audita regis oratione, laete suae salutis causa subire periculum decreverunt, seque vi Romanorum fortiter opponere. Itaque postridie eius diei (qui dies erat septimanae sextus, a. d. ix kal. August.), iam ad occasum vergente sole, cum omnibus copiis ex oppido egressi totis viribus confligere statuunt: aciem condensam dirigunt, infestis pilis. Contra Imperator milites instructos ex castris educit. Praelio commisso, fortiter Scythae in Romanos impetum fecerunt, ita ut nostros pilis configerent, telis equos vulnerarent, sessoresque deiicerent. Ibi Anemas ille, qui pridie summam virtutem Icmore occiso praestiterat, Sphendosthlabum conspicatus temere effrenateque Romanos invadentem, phalangesque ipsius cohortantem, prorumpens se equo (quod consueverat facere, plurimosque Scytharum hoc pacto iam prius protriverat) effusis habenis in

καὶ ξίφει παίει κατὰ τῆς κλειδὸς, καὶ τὸν μὲν πρηνῆ καταβάλλει, A. C. 972
οὐ μὴν κατακτείνει. ἐπήρκεσε γὰρ ὁ ἁλυσιδωτὸς χιτὼν καὶ τὸ I. I. 3
σάκος, ἃ, δεδιὼς τὰς Ῥωμαϊκὰς αἰχμὰς, ἠμφιέννυτο. Ἀνεμᾶς D
δὲ, πρὸς τῆς τῶν Σκυθῶν κυκλωθεὶς φάλαγγος, τοῦ ἵππου
καταβληθέντος συχναῖς τῶν δοράτων βολαῖς, πλείστους μὲν
ἀναιρεῖ τούτων, ἐναποσφάττεται δὲ καὶ αὐτὸς, ἀνὴρ οὐδενὸς
τῶν ἡλικιωτῶν ἡττώμενος ἐν τοῖς κατὰ τὰς μάχας ἀνδραγαθήμασιν.

θʹ. Ἐπὶ τῷ τούτου τοίνυν οἱ Ῥῶς ἀναθαῤῥήσαντες πταίσματι, γεγωνόν τι καὶ ἄγριον ἐπηλάλαξαν, καὶ Ῥωμαίους ἀνώθησαν. οἱ δὲ προτροπάδην ὑπενόστουν, τὴν ἀλλόκοτον ὁρμὴν
ἐκκλίνοντες τῶν Σκυθῶν. ἐνταῦθα ὁ βασιλεὺς, ὡς ᾔσθετο κλι- P. 95
νομένην τὴν Ῥωμαϊκὴν φάλαγγα, δεδοικὼς, μὴ καταπτοηθεῖσα τὸ ἀλλόκοτον ὅρμημα τῶν Σκυθῶν, περὶ αὐτὰ πταίσοι τὰ καίρια, τοῖς ἀμφ᾽ αὐτὸν ἐγκελευσάμενος καὶ τὸ δόρυ σθεναρῶς μεταχειρισάμενος, κατὰ τῶν ἀντιπάλων ἐχώρει. ἐπαταγεῖτο δὲ καὶ τὰ τύμπανα, καὶ τὸ ἐνυάλιον συνεπήχουν αἱ σάλπιγγες. Ῥωμαῖοι δὲ, τὴν τοῦ αὐτοκράτορος καταιδεσθέντες ὁρμὴν, τοὺς ἵππους περιελίξαντες, μετὰ ῥύμης τοῖς Σκύθαις ἐφώρμησαν. παραυτίκα δὲ καὶ θύελλα ψεκάδι συμμιγὴς ἀναῤῥιπισθεῖσα, ἐπὶ πολύ τε τοῦ ἀέρος χεθεῖσα, τοὺς δυσμενεῖς ἔβαλλε, καὶ ἡ κόνις
ἐγειρομένη τοὺς αὐτῶν ἔβλαπτεν ὀφθαλμούς. λέγεται δὲ καί τινα B
λευκόπωλον ἄνδρα φανῆναι, προηγεῖσθαί τε Ῥωμαίων, καὶ τούτοις προτρέπεσθαι, χωρεῖν κατὰ τῶν Σκυθῶν· ὅστις θεσπεσίως

1. πρηνῆς cod. 11. Nota ἀλλόκοτον ὅρμημα repetitum statim post, 95. A. lin. 2. 15. ἀφ᾽ cod., ut saepe.

eum involat, iugulum gladio appetit, ipsum praecipitem deturbat: interficere tamen non potuit. Restitit enim tunica hamis conserta et scutum, quae, Romanorum cuspides veritus, sumserat. Anemas, a cuneo Scytharum circumventus, equo multis hastarum ictibus confosso, postquam complures eorum interfecerat, ipse ibidem concidit, vir a nullo coaequalium facinoribus bellicis superatus.

9. Huius casu Russi denuo confirmati altius barbarorum more conclamant, hostros propellunt. Iamque illi cursim retro regredi, singularem vim hostium devitantes. Tum Imperator, ubi aciem Romanam inclinatam vidit, veritus ne coeco Scytharum impetu perterrita in extremum discrimen adduceretur, cohortem circa se hortatus, lancea fortiter arrepta, contra adversarios ipse processit. Pulsantur tympana, tubae bellicum concinunt. Romani, Imperatoris incursum reveriti, conversis equis acriter Scythas aggrediuntur. Eodem tempore et turbo imbri mixtus exstitit, qui coelo late offusus hostibus incumbebat, et pulvis coortus eorum oculos infestavit. Perhibent vero etiam virum quendam equo albo vectum apparuisse, qui Romanis ductor esset, et ad irruendum in Scythas hortaretur: eum vehe-

A. M. 6480 Ind. 15 τὰς τῶν δυσμενῶν διακόπτων συνετάραττε φάλαγγας. τοῦτόν φασι μήτε πρότερόν τις ἐν τῷ στρατοπέδῳ θεάσασθαι, οὔτ' αὖθις μετὰ τὴν μάχην ἑωρακέναι· καίτοι βασιλέως αὐτὸν ἀναψηλαφῶντος, ὡς δωρεαῖς ἐπαξίως φιλοφρονήσαιτο, καὶ ἀμοιβαῖς ἕκατι τῶν πόνων ἀμείψαιτο. ἀλλ' οὐχ εὑρέθη ζητούμενος. ἐντεῦθεν ἀναμφίλεκτος ὑπόνοια ὑποτρέχει, τὸν μέγαν ἐν μάρ- C τυσι Θεόδωρον εἶναι, ὃν παρὰ τοὺς ἀγῶνας ὁ βασιλεὺς σύμμαχον ἐξελιπάρει παρίστασθαι, ῥύεσθαί τε καὶ σώζειν συνάμα παντὶ τῷ στρατεύματι. φασὶ δὲ καὶ τοιοῦτόν τι συμβῆναι παρὰ τὴν πρὸ τῆς μάχης ἑσπέραν. ἐν Βυζαντίῳ παρθένος τῶν ἀνατεθειμένων Θεῷ καθ' ὕπαρ ὁρᾷν ἐδόκει τὴν θεοτόκον, ὑπό τινων φλογοειδῶν δορυφορουμένην ἀνδρῶν. φάναι δὲ πρὸς αὐτούς· „καλέσατε δή μοι τὸν μάρτυρα Θεόδωρον·" παραυτίκα δὲ παραχθῆναι γενναῖον ἄνδρα καὶ νεανικὸν, ἔνοπλον. εἰπεῖν τε πρὸς αὐτὸν τὴν θεοτόκον· „ὁ σὸς παρὰ τὸ Δορύστολον Ἰωάννης, κύριε Fol. 315 r. Θεόδωρε, Σκύθαις μαχόμενος, ἄρτι περιστατεῖται δεινῶς. ἀλλ' εἰς τὴν ἐκείνου σπεῦσον βοήθειαν. εἰ γὰρ μὴ προφθάσῃς, ἐς D κίνδυνον αὐτῷ τελευτήσει τὰ πράγματα." τὸν δὲ αὖθις, ἑτοίμως ἔχειν, εἰπεῖν, τῇ μητρὶ τοῦ Θεοῦ καὶ δεσπότου μου πειθαρχεῖν· φάμενος δὲ τοῦτο εὐθὺς οἴχεσθαι, καὶ οὕτω τὸν ὕπνον ἀποπτῆναι τῆς παρθένου τῶν ὀφθαλμῶν. ἀλλὰ τῇ μὲν παρθένῳ τὸ ὕπαρ ἐς τοῦτο συνεπεραίνετο.

ι'. Ῥωμαῖοι δὲ, τῷ προπορευομένῳ θείῳ ἀνδρὶ ἐφεπόμενοι,

2. πρότερον τῆς cod. Sed Leo scribere debuisset τινά. 3. ἀναψηλαφῶντος ὡς δωρεαῖς ἐπαξίως φιλοφρονῆσαι, τὸ καὶ cod. 20. φάμενος. Nota anacoluthon, fort. ipsi Leoni tribuendum.

menter aciem hostium strage edita conturbasse. Neque antea illum in castris visum esse aiunt, neque post praelium apparuisse: tametsi investigaret eum Imperator, ut munera illi debita largiretur, gratiamque pro laboribus referret. Sed quantumvis quaesitus non inventus est. Unde indubia pervasit existimatio, magnum in martyribus Theodorum fuisse, quem in praeliis Imperator sibi exercituique socium et adiutorem deposcere solebat. Aiunt etiam illiusmodi aliquid accidisse ad vesperam, pridie quam pugna committeretur. Constantinopoli virgo numini dicata in somno Deiparam videre sibi visa est, aliquot viris flammeis stipatam. His eam dixisse: „Vocate ergo mihi Theodorum martyrem": statimque illi adductum esse iuvenem fortem et armatum. Huic dixisse Deiparam: „Ioannes tuus apud Dorystolum, domine Theodore, Scythis pugnans, iam gravius premitur. Quare vade cito, ut ei auxilium feras. Nisi ante occupas, in periculum illi res vertetur." Illum contra „se paratum esse" dixisse, „ut matri Dei ac Domini sui obsequatur:" quibus dictis continuo excessisse: simul somnum ex virginis oculis evolasse. Atque hunc quidem finem habuit virginis insomnium.

10. Romani vero, divum antesignanum insecuti, manus cum adversa-

τοῖς ἐναντίοις συμπλέκονται, καὶ καρτερᾶς μάχης συστάσης, A. C. 972
οὐκ ἐνεγκόντες τὴν τῆς ἱππικῆς φάλαγγος οἱ Σκύθαι ῥοπὴν, I. L. 3
κυκλωθέντες τε πρὸς τοῦ Μαγίστρου Βάρδα, ᾧ Σκληρὸς ἡ ἐπίκλησις (ἐκεῖνος γὰρ μετὰ τοῦ συνεπομένου πλήθους τὴν κύκλω- P. 96
σιν ἐποιήσατο), εἰς φυγὴν ἔκλιναν, καὶ μέχρι τοῦ περιβόλου συμπατούμενοι, ἀκλεῶς ἔπιπτον. μικροῦ δὲ καὶ αὐτὸς ὁ Σφενδοσθλάβος ἐλήφθη, ἔξαιμος γεγονὼς καὶ καταβελὴς, εἰ μὴ ἡ νὺξ ἐπελθοῦσα τοῦτον διέσωσεν. λέγεται δὲ παρὰ ταύτην τὴν μάχην πέντε καὶ δέκα χιλιάδας πρὸς τοῖς πεντακοσίοις ἀναιρεθῆναι Σκυθῶν, ληφθῆναι δὲ δισμυρίαν ἀσπίδα, καὶ ξίφη πάμπολλα. Ῥωμαίων δὲ τριακοσίους ἀποκτανθῆναι πρὸς τοῖς πεντήκοντα, τρωθῆναι δὲ συχνούς. ἀλλὰ τοιαύτην μὲν Ῥωμαῖοι τὴν νίκην παρὰ τὸν ἀγῶνα ἠνέγκαντο τουτονί. ὁ δὲ Σφενδοσθλάβος, παρ' ὅλην τὴν νύκτα βαρυθυμῶν ἐπὶ τῇ κατακοπῇ B
τῆς ἑαυτοῦ στρατιᾶς, ἤσχαλλε μὲν καὶ ἐσφάδαζε τῷ θυμῷ. μὴ ἐξισχύων δ' ἔτι πρὸς ἀκαταγώνιστον ἀνύττειν πανστρατιὰν, ἔγνω, στρατηγοῦ νοῦν ἔχοντος ἔργον εἶναι, ἐν ἀμηχάνοις καταληφθέντα δεινοῖς, μὴ καταπίπτειν τοῖς λυπηροῖς, παντὶ δὲ τρόπῳ διασώζειν πειρᾶσθαι τοὺς ὑπ' αὐτόν. καὶ δῆτα παρὰ τὴν ἕω πρέσβεις ὡς τὸν αὐτοκράτορα Ἰωάννην στείλας, πίστεις ᾔτει ξυμβάσεων, ἐπὶ τῷ, Ταυροσκύθας μὲν τό, τε Δορύστολον ἐγχειρίσαι Ῥωμαίοις, καὶ τοὺς αἰχμαλώτους ἀπολῦσαι, καὶ Μυσίας ἀφέξεσθαι, καὶ πρὸς τὴν σφῶν ἀναζεῦξαι πατρίδα· Ῥωμαίους δὲ παραχωρῆσαι αὐτοῖς τοῦ ἀπόπλου, καὶ μὴ ἐνα- C

9. χιλιάδες cod. 12. ταύτην cod. Sed correctum est manu prima τοιαύτην. 16. Fort. δέ τι.

riis conserunt. Fit praelium acri certamine. Tandem Scythae, cum neque per se vim turmarum nostrarum sustinere possent, et a Barda magistro, cui Scleri cognomen, a tergo invaderentur (is enim cum suis copiis eos circumvenerat), fugae se mandant: usque ad moenia proteruntur. Fit foeda caedes. Paulumque abfuit quin ipse Sphendosthlabus caperetur, exsanguis et sauciatus, nisi nox superveniens eum servasset. Ferunt hoc praelio Scytharum caesa esse millia xv et quingentos; scuta ad millia xx, gladios quamplurimos, capta. Romanos interfectos esse CCCL, vulneratos non paucos. Eiusmodi victoriam Romani hoc praelio consecuti sunt. Sphendosthlabus, per totam noctem internecione copiarum perturbatus, dolore et iracundia efferebatur. Tamen, cum adversus invictum exercitum nihil posset proficere, intellexit, boni imperatoris esse, in rebus desperatis non succumbere tristi fortunae, sed id agere, ut milites suos quoque modo salvos praestet. Ita sub mane legatis ad Ioannem Imperatorem missis de fide danda et compositione egit, conditionibus his, ut Tauroscythae Dorystolum traderent Romanis, captivos redderent, Moesia abstinerent, domum reverterentur: Romani contra illis potestatem facerent enavigandi, neque eos in itinere

A. M. 6480 Ind. 15 γομένοις ἐπιτεθήσεσθαι μετὰ τῶν πυρφόρων νεῶν (ἐκτόπως γὰρ ἐδεδίεσαν τὸ Μηδικὸν πῦρ, δυνάμενον καὶ τοὺς λίθους ἀποτεφροῦν)· ἐπισιτισμόν τε πρὸς τούτοις ἐπιχορηγῆσαι, καὶ φίλους ἡγεῖσθαι αὐτοὺς, κατ' ἐμπορίαν πρὸς τὸ Βυζάντιον στελλομένους, καθάπερ ἀνέκαθεν ἔθιμον ἦν.

ια'. Βασιλεὺς δὲ, τὰς τοιαύτας ἄσμενος διαλλαγὰς προσδεξάμενος (εἰρήνην γὰρ διαφερόντως τῆς μάχης ἐτίμα· τὴν μὲν γὰρ ᾔδει τοὺς λαοὺς διασώζουσαν, τὴν δὲ τοὔμπαλιν διαφθείρουσαν), τάς τε ξυνθήκας ἐτέλει καὶ τὰς σπονδὰς, καὶ σῖτον ἐδίδου, Fol. 315 v. ἑκάστῳ ἀνδρὶ μετρῶν ἀνὰ μεδίμνων δύο. εἶναι δὲ τοὺς εἰληφότας τὸν σῖτόν φασιν ἄνδρας δισμυρίους πρὸς τοῖς δισχιλίοις, οἳ ἐκ τῶν ἑξήκοντα χιλιάδων τῆς Ῥωσικῆς στρατιᾶς τότε τὸν ὄλεθρον ἔφυγον· τὰς γὰρ τριάκοντα καὶ ὀκτὼ χιλιάδας ἡ Ῥωμαϊκὴ αἰχμὴ κατηκόντισε. μετὰ δὲ τὸ προβῆναι τὰς σπονδὰς, εἰς ὁμιλίαν ὁ Σφενδοσθλάβος τῷ βασιλεῖ συνελθεῖν ἐξαιτεῖ. ὁ δὲ, μηδὲν ἀναδὺς, διαχρύσῳ πανοπλίᾳ καθοπλισθεὶς, ἔφιππος παρὰ τὴν ὄχθην τοῦ Ἴστρου ἀφίκετο, μυρίανδρον ἴλην χρυσοφορούντων ἐνόπλων ἱππέων P. 97 συνεπαγόμενος. καὶ ὁ Σφενδοσθλάβος δὲ ἧκεν ἐπί τινος Σκυθικοῦ ἀκατίου παραπλέων τὸν ποταμὸν, τῆς κώπης ἡμμένος καὶ σὺν τοῖς ἑτέροις ἐρέττων, ὡς εἷς τῶν λοιπῶν. τὴν δὲ ἰδέαν τοιόσδε τις ἦν· τὴν ἡλικίαν μεμετρημένος, οὔτε εἰς ὕψος παρὰ τοῦ εἰκότος ἠρμένος, οὔτε εἰς βραχύτητα συστελλόμενος· δασεῖς τὰς ὀφρῦς, γλαυκοὺς ἔχων τοὺς ὀφθαλμοὺς, τὴν ῥῖνα σιμὸς,

8. ᾔδη cod. 14. ἰσομιλίαν cod. 17. μυρίανδρον — συνεπαγόμενος. Supra 36. C. μυρίανδρον ἱππέων ἴλην ἐπιφερόμενος. 20. Leg. ἑταίροις. Vid. infra C. lin. 3.

cum navibus igniferis adorirentur (nam magnopere timebant ignem Medicum, qui vel lapides in cinerem redigere potis est); frumento insuper iuvarent eos, amicorumque numero haberent, mercaturae causa Constantinopolim commeantes, quemadmodum erat antiquitus institutum.

11. Libenti animo accipiens hanc compositionem Imperator (multo pluris enim pacem quam bellum faciebat: quod non ignorabat, alteram servare populos, alterum eos perdere), et pactiones foedusque sanxit, et frumentum distribuit, medimnos binos singulis admetiens. Quod frumentum qui acceperint fuisse aiunt millia militum XXII, quae ex millibus LX, quibus constabat exercitus Russicus, mortem effugerant: reliqua XXXVIII millia cuspis Romana confoderat. Foedere firmato, Sphendosthlabus in Imperatoris colloquium ut venire liceret postulavit. Non respuit is conditionem: armatura inaurata tectus, ad ripam Istri adequitavit, catervam innumerabilem equitum auro armisque nitentium adducens. Contra Sphendosthlabus processerat in navicula Scythica flumen devectus, remo se applicans, et ipse cum caeteris lintrem propellens, ut unus de multis. Specie autem erat huiusmodi: statura iusta, neque praeter modum in altum expressa, neque in nimiam brevitatem contracta: superciliis spissis, oculis caesiis, naso simo, barba rara,

ἐψιλωμένος τὸν πώγωνα, τῷ ἄνωθεν χείλει δασείαις καὶ εἰς [A. C. 972] [I. L. 3] μῆκος καθειμέναις θριξὶ κομῶν περιττῶς. τὴν δὲ κεφαλὴν πάνυ ἐψίλωτο· παρὰ δὲ θάτερον μέρος αὐτῆς βόστρυχος ἀπῃώρητο, τὴν τοῦ γένους ἐμφαίνων εὐγένειαν· εὐπαγὴς τὸν αὐχένα, τὰ [B] στέρνα εὐρὺς, καὶ τὴν ἄλλην διάπλασιν εὖ μάλα διηρθρωμένος· σκυθρωπὸς δέ τις καὶ θηριώδης ἐδείκνυτο. θατέρῳ δὲ τῶν ὤτων χρύσειον ἐξῆπτο ἐνώτιον, δυσὶ μαργάροις κεκοσμημένον, ἄνθρακος λίθου αὐτοῖς μεσιτεύοντος. ἐσθὴς τούτῳ λευκὴ, οὐδέν τι τῶν ἑτέρων ὑπαλλάττουσα ἢ καθαρότητι. ὀλίγα γοῦν ἄττα περὶ διαλλαγῆς τῷ βασιλεῖ ἐντυχὼν, παρὰ τὸν ζυγὸν τοῦ ἀκατίου ἐφεζόμενος, ἀπηλλάττετο. ἀλλ' ὁ μὲν τῶν Ῥωμαίων πρὸς Σκύθας πόλεμος ὧδε ἐτελεύτα.

ιβ'. Ὁ δὲ Σφενδοσθλάβος, τὸ Δορύστολον ἀπολιπὼν καὶ [C] τοὺς αἰχμαλώτους προσεπιδοὺς κατὰ τὰς σπονδὰς, ἀπέπλει μετὰ τῶν περιλειφθέντων ἑταίρων, ἐπὶ τὴν πατρίδα ἱέμενος. Πατζινάκαι δὲ παρὰ τὸν ἀπόπλουν ἐλλοχήσαντες, ἔθνος νομαδικὸν τοῦτο καὶ πολυάνθρωπον, φθειροφάγον τε καὶ φερέοικον, ἐπ' ἀμαξῶν ὡς τὰ πολλὰ βιωτεῦον, σχεδὸν διέφθειραν ἅπαντας, καὶ αὐτὸν δὲ τὸν Σφενδοσθλάβον τοῖς λοιποῖς συγκατέσφαξαν, ὡς ἐκ τῆς τοσαύτης τῶν Ῥῶς στρατιᾶς εὐαριθμήτους ἀνασωθῆναι ἐς ἤθη τὰ πάτρια. Ἰωάννης δὲ ὁ αὐτοκράτωρ, ἐν τέτταρσιν ὅλοις μησὶ τὴν Ῥωσικὴν πανοπλίαν καταγωνισάμενος, ὡς φθάσας ὁ λόγος δεδήλωκε, καὶ τὴν Μυσίαν Ῥωμαίοις ἀνασω- [D]

9. ἑτέρων. Vid. supra A. lin. 3. 17. φερέοικον. Herod. IV. §. 109. Strabo XI. 754. A. Arrianus Periplo Pont. Euxini 130. B.

praeter labrum superius, densis et in longitudinem promissis capillis bene pilosum. Capite item erat admodum glaber; nisi quod ad utrumque latus cincinnus dependebat, nobilitatem generis declarans: cervicibus firmis, pectore lato, caeteris quoque membris aequalis sane et congruens; tristitiam nihilominus feritatemque aliquam ore repraesentabat. Ex altera auricula aurea dependebat ei inauris, duabus margaritis ornata, carbunculo intermedio illis interiecto. Veste erat candida, nulla alia re nisi munditia a caeteris differente. Sic pauca de pace, transtro naviculae insidens, cum Imperatore collocutus, ad suos se recepit. Bellum quod a Romanis cum Scythis gestum est, hunc finem habuit.

12. Sphendosthlabus, Dorystolo relicto captivisque insuper ex foedere redditis, cum copiis quae supererant naves solvit, inque patriam cursum habere coepit. Enaviganti Patzinacae insidias posuerunt, gens pastoralis, frequens, pediculivora, domiporta, in carris plerumque victitans. Hi cum Scythas fere omnes occiderunt, tum ipsum quoque oppresserunt Sphendosthlabum una cum caeteris, ut ex tanto Russorum exercitu admodum pauci domum incolumes pervenirent. Ioannes vero Imperator, quatuor solis mensibus deleta Russorum armatura, ut supra demonstratum est, Moesiaque

A. M. 6480 Ind. 15 σάμενος, τό, τε Δορύστολον Θεοδωρούπολιν ἐπ' ὀνόματι τοῦ στρατηλάτου καὶ μάρτυρος Θεοδώρου μετονομάσας, φυλακήν τε ἀξιόμαχον ταύτῃ παραλιπὼν, μετὰ μεγίστων τροπαίων ἐπάνει- Fol. 316 r. σιν ἐπὶ τὸ Βυζάντιον, τοὺς ἀστικοὺς πρὸ τῶν περιβόλων κατειληφὼς, στεφάνοις αὐτὸν καὶ σκήπτροις δεξιουμένους, ἐκ χρυσοῦ καὶ λίθων ἐξειργασμένοις πολυτελῶν. ἦγον δὲ καὶ χρυσοκόλλητον λευκόπωλον ἅρμα· οὗ προσεπιβῆναι τοῦτον ἠξίουν, καὶ τὸν νενομισμένον καταγαγεῖν θρίαμβον. ὁ δὲ τοὺς μὲν στεφάνους καὶ τὰ σκῆπτρα προσήκατο, καὶ πολλαπλασίως τούτους P. 98 δώροις ἠμείψατο· ἐπιβῆναι δὲ τοῦ ἅρματος οὐκ ἠνέσχετο· ἀλλὰ τὴν τῆς θεομήτορος εἰκόνα, ἐνηγκαλισμένην τὸν θεάνθρωπον λόγον, ἣν ἐκ Μυσίας εἰλήφει, ἐπὶ τὸν τοῦ ἅρματος χρυσήλατον θρόνον ἀνέθηκε, τὰς ἁλουργοὺς τῶν Μυσῶν στολὰς ὑποθεὶς, καὶ τὰ στέμματα. αὐτὸς δὲ, ἵππῳ κέλητι ἐποχούμενος, μετόπισθεν εἵπετο, τεταινιωμένος τὴν κεφαλὴν διαδήματι, καὶ τοὺς στεφάνους φέρων καὶ τὰ σκῆπτρα ἐν ταῖς χερσίν. οὕτω τὸν θρίαμβον καταγαγὼν διὰ μέσης τῆς πόλεως, ἐσθήσεσιν ἁλουργοῖς κεκοσμημένης ἑκασταχοῦ, καὶ δίκην θαλάμου τοῖς B τε τῶν δαφνῶν κλάδοις καὶ τοῖς χρυσοϋφέσι πέπλοις οὔσης συνηρεφοῦς, ἐς τὸν μέγαν τῆς τοῦ Θεοῦ Σοφίας εἰσελαύνει σηκόν· καὶ τὰς εὐχαριστηρίους εὐχὰς ἀποδοὺς, τό, τε τῶν Μυσῶν ἐκπρεπέστατον στέφος οἱονεὶ πρωτόλειον δῶρον τῷ Θεῷ καταθέμενος, εἰς τὴν ἀνακτορικὴν ἑστίαν φοιτᾷ, καὶ τῶν Μυσῶν βασιλέα Βορὴν παραγαγὼν τὰ τῆς βασιλείας ἀποθέσθαι παράσημα παρεσκεύασε. τὰ δὲ ἦν τιάρα περιπόρφυρος, χρυσῷ καὶ μαρ-

23. τῶν] Leg. τὸν, aut τὸν τῶν.

recepta, Dorystolum ex nomine ducis et martyris Theodori Theodoropolim nuncupavit; ibidemque iusto praesidio relicto, cum maximis tropaeis Constantinopolim redit: ubi urbanam multitudinem extra muros offendit, coronas illi et sceptra, ex auro lapillisque pretiosis facta, offerentem. Ducebant et currum auro compactum equis albis iunctum: quo ut ascenderet rogabant, consuetumque triumphum duceret. Ipse vero coronas quidem et sceptra suscepit, maioraque multo his munera rependit: ut autem in currum ascenderet induci non potuit; sed divinae matris imaginem, deivirile Verbum amplexantem, quam ex Moesia attulerat, in aureo sedili currus collocavit, substratis purpureis Moesorum tunicis, et coronis. Ipse, singulari equo vectus, pone sequebatur, caput diademate cinctus, ac coronas gestans et sceptra in manibus. Hac triumphi specie per mediam urbem, purpureis vestibus undique ornatam, thalamique ritu lauri ramis pallisque auro textis contectam, ad magnam Sapientiae divinae ecclesiam processit: ubi gratiarum actionis exsolutis precibus, Moesorum magnificentissimam coronam ut manubiarum primitias Deo dicans, inde in palatium se recepit, et Borim Moesorum regem productum insignia regia deponere iussit. Ea erant tiara

γάροις κατάστικτος, ἐσθής τε ἁλουργὸς, καὶ πέδιλα ἐρυθρά. A. C. 972
τοῦτον δὲ τῷ τῶν Μαγίστρων τετίμηκεν ἀξιώματι. τοιαῦτα ἐν I. I. 3
εὐαριθμήτῳ καιρῷ παρὰ πᾶσαν ὑπόνοιαν ὁ αὐτοκράτωρ Ἰωάννης
διαπραξάμενος τρόπαια, τήν τε Ῥωσικὴν αὐθάδειαν καὶ τὰ ἐπηρ- C
μένα τούτων φρονήματα ἐμπειρίᾳ πολέμων καὶ λελογισμένης ἀνδρείας τόλμῃ καταβαλὼν καὶ κατασπάσας εἰς γῆν, καὶ τὴν Μυσίαν Ῥωμαίοις καθυποτάξας, παρὰ τὸ Βυζάντιον ἐπανελθὼν διεχείμαζε, καὶ τὸ ὑπήκοον δώροις, ὡς εἰκὸς, ἐφιλοφρονεῖτο, καὶ θαλείαις ἐθεράπευεν ἑστιάσεσιν.

purpura circumclusa, auroque et margaritis interstincta: item vestis blattea, et calcei rubri. Ipsum regem Magistrorum dignitate ornavit. Eiusmodi Ioannes Imperator brevi admodum tempore praeter omnem exspectationem partis victoriis, contumaciam Russicam elatosque eorum animos usu bellorum, ratione, virtute, audacia frangens et deturbans in terram, Moesia sub imperium Romanum subiuncta, Constantinopolim redux hiberna egit, populumque muneribus rite prosecutus est, et festis epulis sibi conciliavit.

# ΛΕΟΝΤΟΣ ΔΙΑΚΟΝΟΥ

## ΙΣΤΟΡΙΑΣ Ι.

# LEONIS DIACONI HISTORIAE

## LIBER X.

### ARGUMENTUM.

*Expeditio Syriaca. Nisibis a Romanis capta* (*Cap.* 1). *Imperator expeditionem contra Ecbatana meditatur, sed infecta re Byzantium redit. Basilius patriarcha sede pellitur* (2). *Antonius creatur patriarcha: Gemini monstrosi* (3). *Alia expeditio Syriaca. Damascus, Berytus et aliae urbes capiuntur* (4). *Miraculum Beryti effectum in effigie Servatoris* (5). *Cometa visus per octoginta dies* (6). *Bardae Scleri sub Basilio defectio* (7). *Infelix Basilii contra Bulgaros expeditio. Clades Romanorum stella cadente portenta* (8). *Bardas Phocas novam seditionem parat. Eius interitus* (9). *Terrae motus Constantinopoli factus et aliae calamitates Romanum imperium premunt* (10). *Ioannes Tzimisces ex Syria reversus, Basilii fraude veneno absumtus, moritur* (11).

A. M. 6482 α'. Θερείας δὲ ὥρας ἐνισταμένης, καὶ σταθηρᾶς αἰθρίας κατὰ
Ind. 2 τὴν περίγειον ἡπλωμένης, τοῦ Βυζαντίου ἀπάρας ὁ αὐτοκράτωρ
A. C. 974
I. I. 5 κατὰ τῶν Ἀγαρηνῶν, τῶν τὴν ἄνω Συρίαν οἰκούντων, ἐστρά-
P. 99 τευσε. καὶ δῆτα τὴν μεσογαίαν περιοδεύσας, τὸν Εὐφράτην
ἐπεραιώθη. μέγιστος δὲ οὗτος τῶν τὴν Ἀσίαν διατεμνόντων

1. Post finem libri IX unius anni intervallum intercedere necessario statuendum est: nam libri VIII et IX continuam tertii Tzimiscis anni historiam complectuntur; liber X autem, in quo duorum annorum res gestae narrantur, quum initio septimi eiusdem imperii anni terminetur, aperte a quinto anno incipere existimandus est.

1. Aestivum tempus cum instaret, serenitasque iam continua per terram sese expandisset, Constantinopoli profectus Imperator contra Saracenos, qui in Syria superiore habitant, expeditionem suscepit. Ita mediterraneis peragratis, Euphratem transiit. Is est amnium Asiam interse-

ποταμῶν, καὶ εἷς τῶν ἐκ τῆς Ἐδὲμ ὁρμωμένων, ὡς ἐκ τῆς θείας A. M. 6482
γραφῆς μεμαθήκαμεν. ἐνταῦθά τις ἐν ὑπογραφεῦσι τελῶν, Νι- Ind. 2 A. C. 974
κήτας ὀνομαζόμενος, εἰς ἄκρον γνώσεως ἐληλακὼς καὶ συνέσεως, I. I. 5
ἄγων αὐτὸ τῆς ἡλικίας βιώσιμον, τῷ βασιλεῖ κατὰ ταύτην δυστυ- Fol. 316 v. B
χῶς τὴν ἐκστρατείαν συνείπετο, πολλὰ τοῦ φύντος μὴ τοῦτο πράττειν προσλιπαροῦντος, οἰκουρεῖν δὲ μᾶλλον καὶ γηροτροφεῖν τὸν τεκόντα προσέποντος, καὶ αὐτὸν θεραπεύειν εἰς δύναμιν, περὶ γήραος ἐληλακότα οὐδῷ, καὶ πρὸς τὰς τοῦ βίου ὅσον οὔπω δυσμὰς ἐπειγόμενον. ὁ δὲ, τῶν τοῦ πατρὸς ἐντολῶν ὡς οὐκ ὤφελεν ἀλογήσας, καὶ παρὰ φαῦλον ἐπισκήψεις τὰς ἐκείνου θέμενος, ὡς εἶχεν ἐνσκευασάμενος ᾔει πρὸς τὸ στρατόπεδον. ἄρτι δὲ τὸν ποταμὸν
περαιούμενος πρὸς τὴν πληθώραν ἰλιγγιάσας τοῦ ὕδατος, τοῦ ἵππου C
ἐξολισθήσας ἐπὶ τὸν ποταμὸν καταφέρεται, τῷ τε ῥοθίῳ παρασυρεὶς, ἐλεεινῶς ἀποπνίγεται, ἐπίχειρα τῆς παρακοῆς τὴν ἐν τῷ Εὐφράτῃ ἀπενεγκάμενος πνιγμονήν. ὁ δὲ βασιλεὺς σὺν παντὶ τῷ στρατεύματι Συρίαν κατέτρεχεν, οὐδενὸς αὐτῷ ἀντιπάλου ἀντικαθισταμένου τῶν δυσμενῶν, τῇ φήμῃ τῆς ἐφόδου πάντων καταπλαγέντων καὶ συγκλεισθέντων ἐπὶ τὰ σφῶν φρούριά τε καὶ πολίσματα. καὶ δῆτα τὸ Ἔμετ (πόλις δὲ αὕτη ὀχυρὰ καὶ περιφανής)
καταλαβὼν καὶ λόγῳ ὑποποιησάμενος, καὶ λύτρα λαβὼν ἀριθμὸν P. 100
ὑπερβαίνοντα, ἐκεῖθεν ὁρμηθεὶς πρὸς τὸ Μιεφαρκὶμ ἠπείγετο. ἄστυ δὲ τοῦτο περιφανὲς καὶ περίβλεπτον, πλούτῳ τε καὶ βοσκήμασι τῶν ἄλλων ὑπερτεροῦν τῶν κατὰ τὸν αὐτὸν χῶρον πεπο-

1. ὁρμωμένων. Vid. supra 80. A. 7. προσέποντος. Sic cod.
12. πληρώραν cod.

cantium maximus, unusque de illis qui ex Eden manant, quemadmodum ex sacra Scriptura didicimus. Ibi aliquis in notariis militans, Nicetas nomine, summam cum doctrinam tum prudentiam assecutus, in ipsa aetatis vitalitate Imperatorem malo omine hac expeditione comitabatur: quanquam patre ipsius multum deprecante, id ne faceret, atque hortante, ut apud larem familiarem senium aleret suum, ipsique in aetatis limine constituto, et ad vitae terminos iam properanti, officium pro facultate praestaret. Ille, paternis monitis, contra atque oportebat, neglectis, nullaque iussorum eius ratione habita, ut erat accinctus in castra profectus est. Iam vero Euphratem transmittens ad tumorem undae vertigine est correptus, delapsus de equo in amnem praecipitavit, vique fluminis rapiente miserabiliter depressus praemium contumaciae suffocationem in Euphrate consecutus est. At Imperator omni cum exercitu percurrebat Syriam, nemine iam ex hostibus contra veniente, quod, fama adventus eius exterriti, in castella atque oppida sese sua concluserant. Ita ubi Emet tenuit (munitum id est et nobile oppidum) in deditionem redactum, pecuniasque innumerabiles ab oppidanis redemtionis nomine accepit, castris inde motis, Miepharcim proficisci contendit. Ea est urbs nobilis et conspicua, et caeteris, quotquot per haec loca habitantur, opibus gregibusque antecellens. Quam cum item

A. M. 6482 Ind. 2 λισμένων. καὶ αὐτὸ δὲ λόγῳ παραστησάμενος, καὶ πλεῖστα καὶ κάλλιστα δῶρα ἐν χρυσῷ καὶ ἀργύρῳ καὶ χρυσοστίκτοις ὑφάσμασιν ἐταζόμενα πρὸς τῶν ἐν αὐτῷ κατοίκων ἐνειληφὼς, ἐπὶ τὴν Νίσιβιν ἵεται· καθ' ἣν ὁ μέγας Ἰάκωβος, τῶν τῆς ἐπισκοπῆς οἰάκων ἐπειλημμένος, Πέρσαις μεγάλῳ στρατῷ ἐπελθοῦσι κατὰ B τῆς Νισίβεως ἠμύνατο, σκνιπῶν αὐτοῖς καὶ κωνώπων σμήνη ἀντιστρατεύσας, καὶ φυγάδας παρασκευάσας ἐξαυτῆς, καὶ τούτῳ τῷ τρόπῳ τοὺς δυσμενεῖς καταγωνισάμενος. ἣν καὶ ἀοίκητον εὗρεν ὁ βασιλεὺς, τῶν ταύτην οἰκούντων δέει τῆς Ῥωμαϊκῆς ἐκστρατείας μεταναστάντων, καὶ φυγαδείᾳ χρησαμένων πρὸς τὰ ἐνδότερα.

β'. Καταδραμὼν οὖν τὴν περίχωρον, καὶ ὑπόσπονδον Ῥωμαίοις ταύτην θέμενος, ἠπείγετο καὶ μέχρις Ἐκβατάνων ἀφικέσθαι, ἵνα τὰ τῶν Ἀγαρηνῶν τυραννεῖα καθέστηκεν, ἀμύθητον ἄργυρον καὶ χρυσὸν καὶ πλοῦτον παντοδαπὸν ἔνδον κατέ- C χοντα, ἐξ ἐπιδρομῆς καὶ ταῦτα ἑλεῖν προθυμούμενος. λέγεται γὰρ τῶν ἄλλων πόλεων μᾶλλον, ὅσαι τελοῦσιν ὑπὸ τὸν ἥλιον, πολύολβον καὶ πολύχρυσον τὴν Ἐκβατάνων πολιτείαν τελεῖν. Fol. 317 r. αἴτιον δὲ τὸ ἐκ πολλῶν μὲν χώρων αὐτὴν χρηματίζεσθαι, μηδεμίαν δὲ προτοῦ τῶν δυσμενῶν ὑπομένειν καταδρομήν. ἀλλὰ γὰρ ἐπέσχε τὴν τούτου ὁρμὴν ἥ,τε λειψυδρία τῶν τόπων, καὶ ἡ σπάνις τῶν ἀναγκαίων. ἡ γὰρ ἐπιλεγομένη Καρμανῖτις ἔρημος διὰ τῶν ἐκεῖσε χωρίων διήκει, τραχεῖαν καὶ ἀνάντη προβαλλομένη ὁδὸν, καὶ μήτε ὕδωρ βλυστάνουσα, μήτε βοτάνην ἀνα-

4. Νίσιβον cod. 5. Πέρσαις. Sic cod. 19. χρημάζεσθαι cod.

compositione sibi subiunxisset, donaque conquisita plurima et pulcherrima ex auro, argento, vestibus auro pictis, accepisset ab oppidanis, Nisibim versus movit: unde magnus Iacobus, antistitii clavum tenens, Persas ingentibus copiis Nisibim adorientes arcuit, quod muscarum illis culicumque examina pro exercitu immitteret, in fugamque iis evestigio versis, hostes hoc pacto refutaret. Id oppidum desertum reperit Imperator, quia excesserant habitatores irruptionis Romanorum metu, fugaque sese ad interiora receperant.

2. Ita vastata ac in Romanorum ditionem redacta vicinitate, properabat Ecbatana usque penetrare, ubi Saracenorum constituta regia est, argenti, auri, divitiarum cuiusque generis inexplicabili vi referta, eo consilio, ut subita incursione illam quoque obtineret. Quippe praeter caeteras urbes, quotquot sub sole sunt, una Ecbatanorum civitas opum aurique plenissima perhibetur. Eius rei hanc esse causam, quod ipsa multis ex partibus coëgerit pecunias, incursum autem hostilem adhuc sit omnino nullum passa. Atenim Imperatoris tunc impetum compressit cum locorum siccitas, tum rerum necessariarum inopia. Pertinet per eas partes quam Carmanitim vocant solitudo, asperam arduamque praetendens viam, neque aquam eructans

βλαστάνουσα, ψαφαρά τις οὖσα καὶ ἄνικμος. διὰ ταῦτα πρὸς A. C974
τῶν Ἀγαρηνῶν αὐτῷ προσαχθέντα δῶρα ἐνσκευασάμενος, ἐν I. L. 5
μυριάσι τριακοσίαις ἀργύρου καὶ χρυσοῦ ἀριθμούμενα, εἰς τὸ Βυ- D
ζάντιον ἐπανέζευξε, καὶ τόν τε χρυσὸν καὶ τὸν ἄργυρον καὶ τὰ
ἐκ Σηρῶν ὑφάσματα καὶ ἀρώματα, καὶ ὅσα πρὸς τῶν Ἀγαρη-
νῶν ἀνείληφε δῶρα, διὰ τῆς ἀγορᾶς ἐθριάμβευσε, τῶν ἀστικῶν
θεωμένων καὶ τὸ πλῆθος αὐτῶν θαυμαζόντων, φιλοτίμως τε
τοῦτον ὑποδεχομένων, καὶ σὺν εὐφημίαις προπεμπόντων εἰς τὰ
βασίλεια, τοῖς τοιούτοις τροπαίοις κλεϊζόμενον. τηνικαῦτα καὶ
ὁ πατριάρχης Βασίλειος, φθόνῳ τῶν ἐπισκόπων διαβληθεὶς πρὸς
τὸν αὐτοκράτορα, ὥς δή τινι τῶν μέγα δυναμένων χρᾷ τὴν τῆς P. 101
ἡγεμονίας ἀρχὴν, καὶ τὰ τῆς ἐκκλησίας οὐκ εὐθύνει καθὰ καὶ
πρὸς τῶν θείων κανόνων νενόμισται, εἰς τὸ βασιλικὸν εἰσεκα-
λεῖτο δικαστήριον. ἐπεὶ δὲ μὴ ἀπήντα, ἀλλ' οἰκουμενικὴν ἀν-
τέλεγεν ἰσχυριζόμενος ἀθροισθῆναι σύνοδον, καὶ τηνικαῦτα δια-
λύσασθαι τὰ ἐγκλήματα· τοῦτο γὰρ βούλεσθαι καὶ τὰ τῶν πα-
τέρων θεόπνευστα παραγγέλματα, οἰκουμενικὴν ἐπὶ πατριάρχου
καθαιρέσει συγκροτεῖσθαι σύνοδον· εἰς τὸ κατὰ τὸν Σκάμανδρον
τελοῦν φροντιστήριον, ὅπερ αὐτὸς ἐδείματο, πρὸς τοῦ βασιλέως
περιορίζεται· ἀνὴρ ἄτροφος σχεδόν τε καὶ ἄσαρκος, ἐξ ἁπαλῶν
ὀνύχων ἀσκητικοῖς ἀγῶσιν ὑπὲρ φύσιν ἐγγυμνασάμενος, ἀμπε- B
χόνῃ κεχρημένος θέρει τε καὶ χειμῶνι μιᾷ, καὶ ταύτῃ μὴ ἀπεκ-
δυόμενος, ἕως ἂν διεῤῥύῃ καὶ ἄχρηστος ἐξεγένετο, βρωτῶν δὲ
μὴ γενόμενος ἢ ποτῶν, πλὴν ὕδατος καὶ τῶν ἐξ ἀκροδρύων χυ-

1. Fort. ταῦτα τά.

**neque plantam fundens ullam, arida, humore carens. Ita ablatis quae a Saracenis sibi deferebantur donis, numero tricies centenis millibus argenti et auri, Constantinopolim revertit, ubi aurum, argentum, vestem sericam atque odores, dona denique a Saracenis accepta, in triumpho per forum tulit, spectante copiamque rerum mirante populo; et studiose sane ab eodem est receptus, et cum acclamationibus magnaque harum victoriarum praedicatione in palatium deductus. Eadem tempestate Basilius patriarcha antistitum invidia calumniatus est apud Imperatorem, quasi cuidam e potentibus viris principatum praedixisset; simul quod ecclesiam non ita administraret, quemadmodum divinis legibus esset constitutum: ita ad consistorium palatinum vocatus est. Ubi cum non stitisset, contraque affirmaret, concilium generale convocandum esse, ibi se crimina diluturum: ita velle Patrum inflatu divino fusa oracula, ut ad amovendum patriarcham comitia essent maxima instituenda: in monasterium ad Scamandrum, quod ipse aedificaverat, ab Imperatore amandatus est. Erat is homo cibo propemodum abstinens et carne carens, a teneris unguiculis in certaminibus asceticis supra naturam exercitatus, amiculo et aestate et hieme eodem utens, quod ne deponebat quidem, donec dilapsum utilitatem praeberet nullam: esculenta autem et poculenta omnino non gustabat, praeter aquam et baccarum succos.**

A. M. 6482 Ind. 2 μῶν. λέγεται δὲ μηδὲ παρὰ κλίνην καθευδῆσαι, ἀλλ' ἐπ' ἐδάφους, παρ' ὅλον αὐτοῦ τὸν καιρὸν τῆς ἀσκήσεως. ἐλάττωμα δὲ τοῦτο μόνον φασὶ προσεῖναι τἀνδρὶ, τὸ τὰς ἀναγωγὰς καὶ ἀναστροφὰς τῶν ἀνδρῶν περὶ πλείστου ποιεῖσθαι διαγινώσκειν, πολυπραγμονοῦντι καὶ διερευνωμένῳ πέρα τοῦ δέοντος.

C γ'. Ὑπερορίᾳ τοιγαροῦν τοῦ Βασιλείου κατακριθέντος, τοὺς τῆς πατριαρχίας οἴακας Ἀντώνιος ἐγχειρίζεται, ἀνὴρ ἐν τῇ τοῦ Στουδίου μονῇ τὴν ἀσκητικὴν ἐκ νεότητος πολιτείαν ἀναιρετισάμενος, καὶ βίον ἕλκων ἀποστολικόν. πλέον γὰρ τῶν τῇ σαρκὶ ἀποχρώντων ἀμφίων οὐδὲν ἐπεφέρετο, καίτοι πρὸς τῶν μέγα δυναμένων, Fol. 317 v. καὶ βασιλέων αὐτῶν, πλεῖστα φιλοφρονούμενος διὰ τὴν ἐνοῦσαν αὐτῷ ἀρετήν. οὐ μόνον δὲ, ἀλλὰ κἀκ τοῦ προσόντος αὐτῷ ἀξιώματος ποριζόμενος (τῷ τοῦ Συγκέλλου γὰρ τὸ πρότερον ἐτιμᾶτο ἀξιώματι), πάντα τοῖς πένησι διεδίδου, τὸν ἔλεον μιμούμενος D τοῦ Θεοῦ, καὶ γνῶσιν θείαν καὶ ἀνθρωπίνην, εἴ καί τις ἄλλος, ἐπλούτει. τούτου τῇ ὄψει καὶ τοῖς ἤθεσι θαυμαστή τις ἐπέλαμπε χάρις ἐν βαθυτάτῃ τῇ πολιᾷ. οὐ γάρ τις παρέβαλλε τούτῳ τῶν τρυφώντων καὶ μέγα φυσώντων τῇ τῶν ματαίων σκηνῇ, ὃς μὴ σωφρονῶν εὐθὺς ἀπηλλάττετο, σκιὰν καὶ ὄναρ τὸν βίον τελεῖν παιδευόμενος· οὐδὲ τοὔμπαλιν συμφοραῖς ἀνηκέστοις περιόδυνον ἕλκων τὴν βιοτὴν, ὃς μὴ ἀπέτρεχεν εὐθυμῶν, διδασκόμενος, μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσιν, ἀλλ' ἑαυτὸν ἐπιῤῥίπτειν πρὸς τὸν δυνάμενον σώζειν ἐκ θλίψεως, καὶ παρ' ἐκείνου τὴν σωτηρίαν ἐπι-

Neque unquam in lecto somnum cepisse perhibetur, verum humi, per omne exercitationis eius tempus. Quo in viro unum vitium fuisse aiunt illud, quod in disciplinis hominum atque consuetudinibus cognoscendis studium plurimum poneret, curiosusque esset et inquisitor plus quam oporteret.

3. Ita Basilio in exilium pulso, gubernacula patriarchatus prehendit Antonius: vir qui in septo Studii victu ascetico a pueritia electo, apostolicam vitam egerat. Etenim praeter indumenta corpori necessaria omnino nihil ferebat, tametsi, ob insitam ei virtutem, tum a viris potentissimis, tum ab Imperatoribus ipsis, large sane munerabatur. Neque id solum, sed item quae ex officio capiebat suo (erat enim antehac Syncelli dignitate ornatus), omnia egentibus distribuebat, misericordiam Dei imitans, divinaque et humana scientia, ut si quis alius, affluebat. Emicabat autem ex ore habituque eius mirifica quaedam dulcitudo, idque summa senectute. Neque accedebat ad eum quisquam ex delicatis magnosque spiritus gerentibus ob istam vanitatis scenam, quin continuo temperatus ac sapiens abiret, umbramque et somnium hanc vitam esse didicisset: neque contra ullus aetatem agens tam insanabilibus aerumnis pressam, ut non laetus discederet, cognovissetque, non succumbendum esse malis, sed ad illum confugiendum, qui eripere nos ex miseriis potest, ab eodemque salutem esse expetendam.

ζητεῖν. τοιοῦτος δή τις ἦν τόν τε βίον καὶ λόγον ὁ Ἀντώνιος, A. C. 974
ἀγγελικός τις καὶ θεῖος τελῶν ὁ ἀνήρ, ὡς ἐν κεφαλαίῳ εἰπεῖν. I. I. 5 P. 102
κατὰ τοῦτον δὴ τὸν καιρὸν καὶ δίδυμοι ἄνδρες, ἐκ τῆς τῶν Καππαδοκῶν χώρας ὁρμώμενοι, πολλαχοῦ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐφοίτων, οὓς καὶ αὐτὸς ὁ ταῦτα ξυγγράφων πολλάκις κατὰ τὴν Ἀσίαν τεθέαμαι, τεράστιόν τι θαῦμα πέλοντας καὶ καινόν. ἄρτια γὰρ αὐτοῖς καὶ ὁλότητα περισώζοντα τὰ τοῦ σώματος καθίσταντο μόρια· ἀπὸ δὲ μάλης καὶ μέχρι λαγῶνος αἱ πλευραὶ τούτοις ἐκεκόλληντο, ἑνοῦσαι τὰ σωμάτια καὶ εἰς ἓν συναρμόζουσαι. καὶ ταῖς μὲν ψαυούσαις ἀλλήλων τῶν χειρῶν τοὺς B
σφῶν περιέπλεκον τένοντας, θατέραις δὲ βακτηρίας ἔφερον, αἷς βαδίζοντες ἐσκηρίπτοντο, τριακοστὸν τῆς ἡλικίας ἔτος ἄγοντες. καὶ σώματα τούτοις εὖ ἐπεφύκει, ἀνθηρὰ πεφηνότα καὶ νεανικά. ἡμιόνῳ δὲ κατὰ τὰς μακρὰς ἀποδημίας ὠχοῦντο, θηλυπρεπῶς παρὰ τὴν ἀστράβην ἑζόμενοι, ἄλεκτόν τι χρῆμα γλυκυθυμίας καὶ ἐπιεικείας τυγχάνοντες. ἀλλὰ περὶ τούτων μὲν ἅλις.

δ'. Ὁ δὲ αὐτοκράτωρ Ἰωάννης, αὖθις τοῦ ἦρος ἀναλάμ- A. M. 6483
ψαντος, τὰς Ῥωμαϊκὰς συγκροτήσας δυνάμεις, καὶ ταύτας εἰς τὸ Ind. 3 A. C. 975
ἀκριβὲς καθοπλίσας, τῆς βασιλευούσης ἀπάρας, διὰ τῆς Παλαιστί- I. I. 6
νης ἐχώρει, γῆς εὐδαίμονος, γάλα τε καὶ μέλι ῥεούσης, προφητικῶς C
εἰπεῖν. ἐνταῦθα φρουρίῳ προσβάλλει, τῷ τῇ Σύρᾳ φωνῇ καλουμένῳ Μέμπετζε· ὃ καὶ πολέμῳ καὶ ταῖς παντοδαπαῖς μηχαναῖς παρα-

10. τοὺς] τὰς cod. 20. γῆς εὐδαίμ. Sic cod., sed fort. magis ex Leonis more scribend. ἐχώρει τῆς εὐδαίμ. sublato commate. Ib. γάλα — ῥεούσης. Exod. III. 8. 17. XIII. 5. XXXIII. 3. Levit. XX. 24. et alibi saepe.

**Talis fuit in vita atque sermone Antonius, in summa, vir angelicus prorsus, ac divinus. Sub idem tempus homines gemelli, ex Cappadocum provincia oriundi, imperium Romanum late obierunt, quos ipse quoque, qui haec conscripsi, per Asiam crebro vidi, portentosum sane ostentum, atque novum. His erant integra minimeque decurtata corporis membra, latera autem ab axillis ad ilia usque conglutinata, ita ut coniungerent corpuscula, unumque efficerent. Ita alteris brachiis, quibus sese tangebant, cervices circumplectebantur suas, in alteris bacilla gerebant, quibus nitebantur ambulantes. Aetatis annum agebant tricesimum: corporibus erant bene formatis, floridis ad speciem ac vigentibus. In peregrinationibus longioribus vehebantur mula, cuius in sella sedebant feminarum more, erantque animo miti ac mansueto, plus quam dici potest, praediti. Verum de his gemellis satis est dictum.**

**4. Vere denuo relucescente, Ioannes Imp., in unum locum coactis diligenterque armatis Romanorum copiis, profectus ab urbe est, perque Palaestinam processit, terram felicem, lacte et melle affluentem, ut cum divinis doctoribus loquar. Hic castrum aggreditur, quod Syrorum lingua Mempetze vocatur: quo vi belli omnique machinarum genere in potestatem reda-**

A. M. 6483 Ind. 3 στησάμενος, τὰ τοῦ Σωτῆρος Χριστοῦ σανδάλια ἐκεῖσε ἀνευρηκώς, ἀνείληφεν ὥς τι δῶρον οὐράνιον, καὶ τὰς τοῦ σεβασμίου τε Προδρόμου τρίχας, τοῦ Κήρυκος. καὶ τὰ μὲν αὖθις ἐν τῷ περιπύστῳ τῆς θεομήτορος σηκῷ, τῷ κατὰ τὴν ἀνακτορικὴν ἑστίαν δε- Fol. 318 r. δομημένῳ, ἀπέθετο, ὥς τινα πολύολβον θησαυρόν· τὰς δὲ ἐν τῷ D τοῦ Σωτῆρος νεῷ, ὃν αὐτὸς ἐκ βάθρων ἀνήγειρεν. ἐκεῖθεν ἀπάρας Ἀπαμείᾳ προσέβαλε, φρούριον δὲ αὕτη ὀχυρὸν καὶ δυσάλωτον. ἀλλὰ καὶ ταύτην εὐαριθμήτοις ἡμέραις ᾑρηκὼς καὶ καταστρεψάμενος, ἐπὶ Δαμασκὸν μετὰ τοῦ στρατεύματος ἵεται. οἱ δὲ ταύτην οἰκοῦντες, πολλοῦ τιμώμενα δῶρα ταῖς χερσὶν ἀνειληφότες, πρὸς τοῦ ἐμπορίου τῷ βασιλεῖ ὑπηντίαζον, παραιτούμενοί τε τὸν τούτου θυμόν, καὶ τοῖς δώροις αὐτὸν ἐξευμενιζόμενοι. ὁ δέ, φόρους αὐτοῖς τάξας ῥητοὺς καὶ ὑποσπόνδους Ῥωμαίοις ἀπεργασάμενος, ἐκεῖθεν ὁρμηθεὶς διὰ τοῦ Λιβάνου (ὄρος P. 103 δὲ ὁ Λίβανος κατ' ἐκεῖνον τὸν χῶρον τραχὺ καὶ μέγιστον διατεῖνον, τήν τε Φοινίκην καὶ Παλαιστίνην ἀλλήλων ἀπείργει) ἐγκαρσίως ἠπείγετο, καὶ κατ' αὐτὴν τὴν ῥαχίαν ἀφικόμενος, τὴν Βορζῶ, πόλιν ἐρυμνωτάτην, ἐξ ἐπιδρομῆς εἷλεν. ἐντεῦθεν ἀπάρας ἐς Φοινίκην κάτεισι, καὶ τάς τε Βαλαναίας τὸ φρούριον αἱρεῖ, καὶ τὴν Βηρυτὸν πολιορκεῖ· ἐν ᾗ καὶ τὴν τοῦ Σωτῆρος ἐν εἰκόνι σταύρωσιν εὑρηκώς, καὶ ταύτην ἐκεῖθεν ἀνειληφώς, ἐν τῷ τοῦ Σωτῆρος νεῷ, ὃν ἐκ βάθρων ἐδείματο, παρεκπέμπει.

B ε'. Λέγεται δὲ περὶ ταύτης τῆς θείας εἰκόνος ἐξαίσιόν τι συμβεβηκέναι τεράστιον. φασὶ γὰρ κατά τινα ἑστίαν τῆς Βηρυτοῦ

11. πρὸς] Leg. πρό. 17. ῥαχιὰν cod., oxytonos.

cto, reperta ibi sandalia Servatoris tanquam coeleste donum quoddam sustulit, itemque capillos venerandi Praecursoris et Praeconis. Atque illa quidem in illustri templo Matris Dei, quod in palatio exstructum est, ditissimi thesauri instar deposuit: hos in aede Servatoris, quam a fundamentis excitaverat. Inde profectus ad Apameam accessit, munitum captuque difficile castellum. Sed tamen hanc quoque post dies non ita multos cepit, suaeque ditionis fecit, ac Damascum versus cum exercitu contendit. At Damasceni cum donis magni pretii in manibus, pro suo emporio Imperatori obviam veniunt, ut eius iram deprecarentur, ipsumque muneribus placarent. Ita, ubi certa illis tributa imposuit in potestatemque Romanorum ipsos suscepit, inde motis castris per Libanum (mons est Libanus asper ac maximus, qui per partes illas pertinens Phoeniciam a Palaestina disterminat) transverso itinere tendit, in ipsumque enixus iugi dorsum, urbem munitissimam Borzo subita incursione cepit. Inde profectus in Phoeniciam se demittit, castellum Balanaeas occupat, Berytum obsidet: quo in oppido cum crucifixionem Servatoris depictam invenisset, eam inde sublatam in Servatoris aedem, quam a fundamentis exaedificaverat, mandat.

5. Circa hanc divinam imaginem stupendum quoddam prodigium contigisse narratur. Aiunt Christianae religionis hominem Beryti in quadam do-

ἄνδρα τὰ Χριστιανῶν πρεσβεύοντα παροικεῖν, καθ' ἣν καὶ τὴν A. C. 975 ῥηθεῖσαν εἰκόνα σεβόμενον ἀναθέσθαι. χρόνον δὲ ὕστερον καθ' I. I. 6 ἑτέραν οἰκίαν μεταναστεῦσαι, καὶ, κατὰ θείαν τινὰ πρόνοιαν, λήθῃ περισχεθέντα κατὰ τὴν προτέραν οἰκίαν τὴν εἰκόνα παραλιπεῖν. ταύτην δὲ τὴν ἑστίαν Ἰουδαῖον παρειληφέναι τινὰ, ὥστε καὶ κατοικεῖν· τὸν δὲ τῶν ὁμοθρήσκων αὐτοῦ τινας εἰς τὴν ὑστεραίαν ἠστιακέναι. οὓς τῷ δόμῳ ὑπεισελθόντας καὶ πρὸς ἐνώπια τὴν τοῦ Σωτῆρος σταύρωσιν ἀνατεθειμένην ἀθρήσαντας, δεινῶς λοιδορεῖσθαι τὸν Ἰουδαῖον, ὡς ἔκσπονδον τῆς σφῶν θρησκείας C καὶ τὰ τῶν Χριστιανῶν σέβοντα. τὸν δὲ ὅρκοις αὐτοὺς διαβεβαιοῦσθαι, ἦ μὴν μὴ τὴν τοιαύτην εἰκόνα ἕως τοῦ παρόντος θεάσασθαι. αὖθις δὲ πρὸς αὐτὸν τοὺς παλαμναίους ἐκείνους εἰπεῖν καὶ, „εἰ μὴ τὰ τῶν Χριστιανῶν ὀργιάζεις, ἔργοις ἡμᾶς πληροφόρησον, καὶ ταύτην τὴν λόγχην ἀνειληφὼς, νύξον τὸ τοῦ Ναζαραίου εἰκόνισμα κατὰ τῆς πλευρᾶς, τὸν τρόπον, ὃν οἱ πατέρες ἡμῶν τοπάλαι τοῦτον σταυρώσαντες ἐλόγχευσαν." τὸν δὲ, τὴν λόγχην μεταχειρισάμενον, ὡς εἶχε θυμοῦ, καὶ μάλιστα πληροφορεῖν ἐκείνους βουλόμενον, τὸ περιαπτόμενον αὐτῷ ἔγκλημα κατεπειγόμενον ἀποτρίψασθαι, νύξαι τὴν τῆς εἰκόνος πλευράν. D ἅμα δὲ τῇ προσβολῇ τῆς αἰχμῆς, πλῆθος καταῤῥεῦσαι σὺν ὕδατι αἵματος· τοὺς δὲ δυσσεβεῖς Ἰουδαίους πεπηγέναι τῷ φρικτῷ τοῦ θεάματος, καὶ τῆς φήμης διαδοθείσης, τοὺς τὰ Χριστιανῶν σέβοντας εἰσπηδῆσαί τε τὴν τοῦ Ἑβραίου ἑστίαν, καὶ τὴν Fol. 318 v. σεπτὴν τοῦ Σωτῆρος ἀνειληφέναι σταύρωσιν, ἔτι τὸ θεῖον ἐκβλύ-

4. λήθης cod.

**mo habitasse, in qua imaginem, quam dicebam, multo cum honore deposuisset. Eundem posterius demigrasse in alias aedes, et, divinae providentiae nutu, sacri pignoris oblitum, in priore domo imaginem reliquisse. Easdem aedes Iudaeum aliquem tenuisse, ut habitaret, nonnullosque superstitionis suae postero die ad coenam vocasse. Illos domum ingressos, inque parietibus Servatoris cruci affixi imaginem videntes, gravibus maledictis Iudaeum incessisse, ut persuasionis suae desertorem et Christianorum fidem colentem. Hunc iureiurando affirmare, sese illam imaginem ante hoc tempus omnino non vidisse. Tum scelesti illi, „Si quidem," inquiunt, „Christianorum sacra non colis, rebus ipsis certam fidem facito, arreptaque lancea ista Nazareni effigiem in latere pungito, eodem modo, quo nostri olim patres eum cruci fixum confoderunt." Tum ille, lancea in manus accepta, ut flagrabat ira, quo illis quam maxime fidem faceret, affictum sibi crimen diluere cupiens, latus imaginis percussit. Vix autem cuspidem impegerat, cum sanguinis aqua mixti copia effluxit. Ad horribile spectaculum obriguisse ferunt impios Iudaeos: reique fama divulgata, persuasionis Christianae homines aedes Hebraei invasisse, sublatamque crucifixi Servatoris venerandam imaginem, sanguinis rivos etiam tum fundentem, in sacro de-**

A. M. 6483 Ind. 3 A. C. 975 I. I. 6 ζουσαν αἷμα, καὶ εἰς ἱερὸν ἀναθεῖναι σηκὸν, καὶ τιμᾷν μεγαλοπρεπῶς. ταύτην ὁ βασιλεὺς τὴν θεάνθρωπον μορφὴν ἐκεῖθεν ἀνειληφὼς, τῷ Βυζαντίῳ παρέπεμψεν, ὥς μοι ἤδη δεδήλωται.

P. 104 ς'. Ἐπεὶ δὲ τάς τε Βαλαναίας καὶ Βηρυτὸν τῷ πολεμεῖν ᾕρηκε, Τριπόλει προσβάλλει. καὶ μὴ οἷός τε ὢν ταύτην πολιορκεῖν ἐξ ἐπιδρομῆς (περιβόλοις γὰρ κατὰ τὴν ἤπειρον ἐρυμνοῖς περιείληπται, ἐπὶ λόφου τινὸς ἀποτόμου διατείνουσα· κατὰ θάτερον δὲ μέρος θαλάσσῃ περικλύζεται, ἐπίνειον καὶ προκόλπιον προβαλλομένη εὔορμον καὶ εὐχείμερον), ἐκεῖθεν ἀπάρας, τὰς παραλίους πολίχνας ὁδῷ προβαίνων ἐξεπολιόρκει. κατὰ τοῦτον δὴ τὸν καιρὸν, Αὔγουστος δὲ μὴν ἦγεν ἀρχὴν, κομήτης ἐξεφάνη ἀστὴρ, χρῆμα θεῖόν τι καὶ καινὸν, λογισμὸν ὑπερβαῖνον ἀνθρώπινον. οὐδὲ B γὰρ τοιοῦτόν τι κατὰ ταύτας ὤφθη τὰς γενεὰς, οὐδ' ἐπὶ τοσαύτας ἡμέρας ἐπιφαίνειν τὸ πρόσθεν συμβέβηκεν. οὗτος ἀπ' ἀνατολῆς βορειότερος ἀνίσχων, καὶ εἰς ὕψος ὅ,τι πλεῖστον αἰρόμενος, ὡς κυπάριττός τε ὑψούμενος, εἶτα ἠρέμα κυρτούμενος, πρὸς μεσημβρίαν ἀπένευεν, ἀπλέτῳ πυρὶ ἐκκαιόμενος, καὶ τηλαυγεῖς καὶ λαμπρὰς τὰς ἀκτῖνας ἐπαφιεὶς, πρᾶγμα δείμα-

A. M. 6484 Ind. 4 A. C. 975 I. I. 6 τος καὶ φρίκης γέμον τοῖς ἀνθρώποις ὁρώμενος. ἀπ' ἀρχῆς δὲ μηνὸς Αὐγούστου, ὡς ἔφην, φανεὶς, ἐφ' ὅλαις ἡμέραις ἐπεποίητο τὴν ἐπιτολὴν ὀγδοήκοντα, ἀπὸ μέσων ἀνίσχων νυκτῶν, καὶ C μέχρι σταθηρᾶς ἡμέρας ὁρώμενος. βασιλεὺς δὲ, τὸ ἀσύνηθες τεράστιον κατιδὼν, τοὺς περὶ τὴν τῶν μετεώρων ἐσχολακότας ἠρώτα

5. Τριπόλει. Sic cod. hic: supra 43. D. mendose Τρίπολι. 15. Fort. βορειοτέρας.

lubro deposuisse, honoreque affecisse amplissimo. Hanc Deihominis effigiem Imperator inde sublatam, ut iam demonstratum abs me est, Constantinopolim misit.

6. Balanaeis et Beryto bello captis, ad Tripolim accessit. Quam cum oppugnare ex itinere non posset (nam qua spectat continentem moenibus firmis cingitur, per tumulum abscisum porrecta ipsa: alterum latus mare alluit, navaleque praetendit et stationem portuosam ac tutam), inde motis castris minora in littore oppida continuato progressu expugnavit. Sub idem tempus, quod erat Augusti mensis initium, stella crinita apparuit, divinum prorsus ac novum portentum, rationem superans humanam. Neque enim huiusmodi aliquid visum memoria nostra est, neque omnino unquam ante factum ut per tot dies luceret. Surgens illa ab ortu hiberno, in altitudinemque plurimam evecta, erecta cyparissi ritu, et leviter a summo inflexa, ad meridiem vergebat, multo igni flagrans, radiosque spargens lucidos ac illustres, plenum formidinis horrorisque spectaculum hominibus praebebat. Cumque ineunte mense Augusto, quemadmodum dixi, apparuisset, per octoginta totos dies in conspectum sese dedit, ita ut oriretur de nocte media, videretur usque ad claram lucem. At Imperator, cum insolitum id portentum item conspexisset, ex iis qui vacabant observationi siderum quaesivit,

παρατήρησιν, ὅ,τι δὴ καὶ βούλοιτο τὸ τοιοῦτον ἐξαίσιον. οἱ A. M. 6484
δὲ, οὐχ ὡς ἡ τέχνη παρεῖχε τεκμαίρεσθαι, πρὸς δὲ τὸ τοῦ βασι- Ind. 4 A. C. 975
λέως βούλημα, τὴν τοῦ κομήτου παρεξηγοῦντο ἐπιτολὴν, νίκην I. I. 6
τε αὐτῷ κατ' ἐχθρῶν καὶ μακρότητα ἡμερῶν ἐπαγγελλόμενοι
ἔσεσθαι. ἥστην δὲ οἱ ταῦτα παρεξηγούμενοι Συμεώνης τε, ὁ Λο-
γοθέτης καὶ Μάγιστρος, καὶ ὁ τῆς Νικομηδείας πρόεδρος Στέφα-
νος, ἄνδρες τῶν τότε σοφῶν ὄντες ἐλλογιμώτεροι. ἀλλ' οὐχὶ ταῦ-
τα ἡ τοῦ κομήτου παρεδήλου ἐπιτολὴ, ἃ πρὸς χάριν οἱ ἄνδρες τῷ
αὐτοκράτορι ὑπηγόρευον, ἀποστασίας δὲ χαλεπὰς, ἐθνῶν τε ἐπι- D
δρομὰς, καὶ ἐμφυλίους στάσεις, καὶ μεταναστάσεις πόλεων καὶ
χώρων, λιμοὺς καὶ λοιμοὺς, καὶ φρικώδεις σεισμοὺς, καὶ πανω-
λεθρίαν σχεδὸν τῆς Ῥωμαϊκῆς ἐπικρατείας, ἅπερ ἡμεῖς ἐκ τῆς τῶν
πραγμάτων ἐκβάσεως εἴδομεν.

ζ'. Μετὰ γὰρ τὴν τοῦ αὐτοκράτορος Ἰωάννου ἐκδημίαν ἀπὸ Fol. 319 r.
τοῦ σώματος, Βάρδας Μάγιστρος, ὁ κατ' ἐπωνυμίαν Σκληρὸς,
φιλαρχίαν καὶ ἀπληστίαν νοσῶν, ἀπάτῃ δὲ μετελθὼν καὶ φενακί-
σας τὸν πολὺν ὄχλον καὶ εὔκολον, ἀποστασίαν δεινὴν κατὰ τῶν P. 105
κρατούντων ἐμελέτησεν· ἐπὶ τετραετῆ τε ἐνιαυτὸν τὴν Ἀσίαν κα-
τέδραμε, χώρας πυρπολῶν, καὶ πόλεις καταστρεφόμενος, τήν
τε Ῥωμαϊκὴν δύναμιν, ἐξ ἀντιπάλου παρατάξεως ἀντιτασσομένην
αὐτῷ, τρεπόμενος καὶ κατακαίνων ὠμῶς· τοῦτο μὲν ὑπὸ τοῦ
Πατρικίου Πέτρου καὶ στρατοπεδάρχου δημαγωγουμένην, ὅτε
κατὰ τὴν Λάπαραν τὸ πεδίον (μεθόριον δὲ τοῦτο τῆς χώρας τῶν
Ἀρμενίων) ἡ μάχη συνεκροτεῖτο, ὁπηνίκα καὶ αὐτὸς ὁ Πατρίκιος
Πέτρος, δορατίῳ βληθεὶς καὶ τοῦ ἵππου κατενεχθεὶς, παρ' αὐτὴν

prodigium eiusmodi quid sibi vellet. Illi non ex argumentis quae ars suppeditabat, sed ad optatum Imperatoris, cometae ortum interpretabantur perperam, victoriam ei de hostibus ac vitam diutinam pollicentes. Quam explanationem ementiebantur Simeon Logotheta et Magister, atque Stephanus Nicomediae antistes, inter doctos illius temporis prae caeteris clari. Tametsi cometae accessus non ea portendebat, quae Imperatori obsequenter exponebant, sed rebelliones calamitosas, incursiones gentium, motus civiles, ex oppidis et agris fugam, caritates, pestes, terrae motus horrificos, denique paene occasum imperii Romani, quemadmodum nos in eventu rerum vidimus.

7. Etenim post Ioannis Imperatoris e vita discessum, Bardas Magister cognomento Sclerus, dominandi habendique morbo laborans, cum levem multitudinem praestigiis captam infatuasset, periculosam adversus principes rebellionem molitus est: per quadrienniumque Asiam pervasit, provincias vastans, oppida eruens; copias autem Romanas, castris ex adverso factis sibi oppositas, in fugam vertit, conciditque atrociter: semel exercitum Petri Patricii ac Praetoris, cum in Laparae agro (is provinciae Armeniorum est finitimus) praelium committeretur, ubi et ipse Petrus Patricius, cuspide ictus et

A. M. 6484 Ind. 4 ἐξέπνευσε τὴν παράταξιν, πλείστων ὅτι τῶν ὑπασπιστῶν συναναιρεθέντων αὐτῷ· τοῦτο δὲ ὑπὸ Βάρδα Μαγίστρου τοῦ Φωκᾶ, ὃς πρὸς τῶν κρατούντων τὸ τοῦ Δομεστίκου τῶν Σχολῶν ὑποζωσάμενος ἀξίωμα, ἀντίπαλος τῷ Σκληρῷ κατὰ τὴν Παγκάλειαν παρετάξατο. ἱππήλατον τοῦτο πεδίον, τῷ Ἀμωρίῳ προσέγγιον. ὅπου δὴ καὶ παρὰ τὸ μεταίχμιον ῥάβδῳ κατὰ τοῦ κρανίου πληγεὶς ὁ Φωκᾶς, τοῦ ἵππου τε κατενέχθη καὶ εἰς γῆν κατεβλήθη· καὶ κἂν ἥλω τῶν ἐναντίων καὶ ἀκλεῶς παραπώλετο, εἰ μὴ ὡς εἷς τῶν πολλῶν παρώφθη παρὰ τῶν δυσμενῶν, ἠγνοηκότων αὐτόν, ἐπελθοῦσα δὲ ἡ νὺξ τοῦτον διέσωσεν. ὁ δὲ Σκληρός, ταῖς τοιαύταις C νίκαις ἐπαρθείς τε καὶ φρενωθείς, ἀνυπόστατός τις καὶ ἀκαταγώνιστος ἐνομίζετο. ἐντεῦθεν τήν τε Νίκαιαν, καὶ Ἄβυδον, καὶ Ἀττάλειαν τῷ πολεμεῖν παρεστήσατο, καὶ τὴν τῆς Ἀσίας ἐπεποιήσατο Ῥωμαϊκὴν ἐπικράτειαν· καὶ πλείστας τριήρεις προσείληφε, καὶ θαλασσοκρατῶν μεγάλα τοὺς ἐμπόρους ἐσίνετο, καὶ αὐτὴν ἤδη τὴν βασιλεύουσαν, τὰς σιτηγοὺς φορτίδας οὐκ ἐῶν εἰς αὐτὴν ἀναπλέειν κατὰ τὸ πρότερον· ἕως οὗ ἐκ Βυζαντίου πυρφόροι νῆες πρὸς τῶν κρατούντων λαθραίως ἐξαπεστάλησαν. ἃς Βάρδας Μάγιστρος ὁ Παρσακουτηνὸς ἄγων, αἰφνίδιον τῇ Ἀβύδῳ προσορμισθεὶς, τάς τε τριήρεις τοῦ τυράννου κατέφλεξε, καὶ τὴν τῶν D στρατιωτῶν κατηκόντισε φάλαγγα, καὶ τὸ φρούριον εἴληφεν. αὖθις Fol. 319 v. δὲ ὁ Φωκᾶς, χεῖρα περὶ αὐτὸν πλείστην στρατιωτῶν ἠθροικώς, τῷ Σκληρῷ ἐπιτίθεται, καὶ τοῦτον τρεψάμενος ἐν Ἐκβατάνοις πρὸς τοὺς Ἀγαρηνοὺς φυγεῖν παρεσκεύασεν.

13. Leg. ὑπεποιήσατο. Vid. 107. B. lin. 12. 108. A. lin. 5.

deiectus equo, in ipsa acie animam efflavit; protectores autem quamplurimi una cum illo occubuerunt: deinde sub Barda Phoca Magistro, qui cum a principibus dignitatem Domestici Scholarum recepisset, acie adversus Sclerum in Pancalea constitit. Is equitabilis propter Amorium campus est. Ibi inter infesta tela caput ligno percussus Phocas ex equo cecidit: humique stratus captus esset ab hostibus, interiissetque ignobiliter, nisi ut unus de multis neglectus esset ab adversariis, quod speciem eius ignorarent, fuissetque ab nocte superveniente servatus. At Sclerus, elatus eiusmodi victoriis atque obcaecatus, fortior iam habebatur, quam ut vi ulla armisque superari posset. Ex quo et Nicaeam, Abydum, Attaleam bello cepit, et quicquid in Asia Romanis paret subiunxit sibi: simul assumtis triremibus bene multis, dominansque mari, male cum negotiatores tum ipsam iam urbem vexavit, ad quam appellere, ut antehac, navibus frumentariis minime permisit: donec ignifera classis clam a principibus Constantinopoli emissa est. Cui classi praefectus Bardas Parsacutenus, Magister, derepente devectus ad Abydum, triremes tyranni incendit, adversariorum multitudinem confodit, arcem ipsam tenuit. Posthaec Phocas, maxima manu militum circa se coacta, iterum adortus Sclerum est, fusumque Ecbatana ad Saracenos fugere coëgit.

η'. Εἶτ' αὖθις, ἐπεὶ τὸ ληστρικὸν τῶν συνωμοτῶν τοῦ Σκλη- A. C. 975
ροῦ Βάρδα τελέως ἐσκίδνατο, τὰς δυνάμεις ἀνειληφὼς ὁ αὐτο- I. 1. 6
κράτωρ Βασίλειος ἠπείγετο κατὰ τῶν Μυσῶν. ἡ γὰρ ἐκείνων αὐ-
θάδεια καὶ ἀπήνεια, φονικὸν περιπνέουσα, τὴν Ῥωμαϊκὴν ἐσίνετο
ἐπικράτειαν, καὶ τὰ τῶν Μακεδόνων ἀφειδῶς ἐληΐζετο, ἡβηδὸν P. 106
ἅπαντας διαφθείρουσα. τῷ τοι καὶ θερμότερον ἤπερ ἔδει μᾶλλον
κινηθεὶς ἢ προμηθέστερον, αὐτοβοεὶ καθελεῖν ταύτην ἠπείγετο.
ἀλλὰ τῶν ἐλπίδων ἐπηρείᾳ τύχης ἡμάρτανεν. ἐπεὶ γὰρ τὰς ἐστε-
νωμένας καὶ κρημνώδεις ἀτραποὺς διοδεύσας, κατὰ τὴν Σαρδι-
κὴν ἐπεχωρίασεν, ἣν καὶ Τράλιτζαν ἡ Σκυθικὴ συνήθεια κέ-
κληκεν, ἐνταῦθα τὸν τοῦ στρατοπέδου ἐπήξατο χάρακα, καὶ αὐ-
τὴν παρακαθισάμενος, ἐφ' ἡμέραις εἴκοσιν ἐφρούρει. ἀλλ' οὐ-
δὲν εἶχεν ἀνύσειν, τῇ κακοπραγίᾳ τῶν στρατηγῶν ἐς ῥᾳστώ-
νην καὶ νωθείαν ἀποκλινάσης τῆς στρατιᾶς. τοίνυν πρότερον μὲν B
τοὺς ἐπὶ χιλὸν καὶ χορτάσματα τοῦ χάρακος ἐξιόντας ἐνεδρεύ-
σαντες οἱ Μυσοὶ, πολὺν φόνον εἰργάσαντο, καὶ πλῆθος ὑποζυ-
γίων καὶ ἵππων ἀπήγαγον. ἔπειτα τῶν ἑλεπόλεων καὶ τῶν λοιπῶν
μηχανημάτων ἀπειρίᾳ τῶν προσαγηοχότων ταῦτα τοῖς τείχεσιν
ἀπρακτησάντων, καὶ πυρποληθέντων παρὰ τῶν δυσμενῶν· ἐπεὶ καὶ
σπάνις τῶν ἀναγκαίων κατεῖχε τὴν στρατιὰν, τῶν συμπεφορημέ-
νων ἐπισιτισμῶν ἤδη ἀναλωθέντων, τῷ μὴ πεφεισμένως ἀλλ' ἄδην
κατεμφορεῖσθαι αὐτῶν, ἐνσκευασάμενος συνάμα τῇ στρατιᾷ τὴν
ἐπὶ τὸ Βυζάντιον ᾔει. πανημέριος δὲ διοδεύσας, ἐπί τινα λόχμην

10. Fort. Τριαδίτζαν. 14. τοίνυν. Nota, particulam praeter consuetudinem Atticam esse προτακτικήν.

8. Deinde, ubi praedatoriam manum asseclarum Bardae Scleri prorsus dissipaverat, revocatis copiis Basilius Imperator adversus Moesos contendit. Quippe contumacia eorum ac saevitia, caedem spirans, cum totum vexabat Romanum imperium, tum vero Macedoniam misere populabatur, occisione per omnem pubem facta. Ex quo, non tam prudentia quam ardore mentis plus quam satis erat motus, uno impetu tollere illos properavit. Quanquam spes eum ob fortunae iniuriam frustrata est. Nam, ubi transmissis arctis arduisque itineribus ad Sadicam accesserat, quam item Tralitzam Scythica nominavit consuetudo, castris ibi communitis, urbem per dies viginti obsessam tenuit. Neque tamen quicquam profecit, propterea quod ob ducum pravitatem inertiae desidiaeque tradiderat sese exercitus. Ex quo primum e castris pabulationis foenisiciique causa egressos ex insidiis adorti Moesi, magnam eorum caedem fecerunt, abductis iumentis equisque quamplurimis. Postea cum testudines ac caeterae machinae nihil effecissent imperitia eorum qui ad muros illas admoverant, essentque ab adversariis incensae; simul quod inopia rerum necessariarum premebat exercitum, consumto iam frumento, quod secum advexerant milites, non parce, sed intemperantius illo usi: ibi tum Imperator collectis sarcinis cum exercitu Constantinopolim versus movit. Neque intermisso toto illo die itinere, loco silvestri castra

A. M. 6484 διεσκηνίσατο, καὶ τὴν πληθὺν διανέπαυε. μήπω δὲ τῆς πρώτης
Ind. 4 C φυλακῆς τῆς νυκτὸς συμπεραιωθείσης, ἐξαίφνης ἀστὴρ παμμεγέθης ἐκ τοῦ ἑῴου μέρους τοῦ χάρακος ὁρμηθεὶς καὶ τὰς σκηνὰς περιλάμψας ἀπλέτῳ φωτὶ, ἐπὶ τὸ ἑσπέριον μέρος παρ᾽ αὐτὴν τὴν ταφρείαν καταπεσὼν, καὶ εἰς σπινθῆρας συχνοὺς διαιρεθεὶς, ἀπεσβέσθη. τὴν αὖθις δὲ τοῦ στρατοῦ παρεδήλου διαφθορὰν ἡ τοῦ ἀστέρος καταφορά. ἔνθα γὰρ τοιουτότροπόν τι γενέσθαι συμβέβηκε, τοῦ ὑποκειμένου πανολεθρίαν ἐσήμηνε. τεκμήριον τοῦτο σαφὲς ὁ ἐπὶ τῆς Τρωϊκῆς πληθύος κατενεχθεὶς ἀστὴρ, ὁπηνίκα
Fol. 320 r. Πάνδαρος τῷ Μενελάῳ ἐπετοξάζετο· ἐκεῖ γὰρ αὐθημερὸν ἡ Τρωϊκὴ φάλαγξ πρὸς τῶν Ἀχαιῶν εἰς φυγὴν ἀγεννῆ συνεκλείετο. καὶ
D ἐπὶ τῶν Ῥωμαϊκῶν δὲ πολέμων εὕροι τις ἂν, τὴν ἱστορίαν μετιὼν, τὸ τοιοῦτον πολλάκις συμβὰν, καὶ τὸ στράτευμα διαφθαρὲν, ἵνα τὸ φάσμα ἐπέσκηψεν. εἴδομεν δὲ καὶ αὐτοὶ ἐπὶ τῆς τοῦ προέδρου Βασιλείου ἑστίας τοιοῦτόν τι κατενεχθέν· καὶ μήπω καιροῦ συχνοῦ διαῤῥεύσαντος ἐκεῖνόν τε τοῦ βίου ὑπαπελθόντα, καὶ εἰς διαρπαγὴν καὶ προνομὴν ἐκδοθέντα τὰ αὐτῷ διαφέροντα. ἀλλὰ περὶ μὲν τῆς τοῦ ἀστέρος φαντασίας ὧδέ πη ἐχέτω· τότε δὲ, κατὰ τὴν ὑστεραίαν, διά τινος ὑλώδους καὶ σηραγγώδους αὐλῶνος διῄει τὸ
P. 107 στράτευμα· ἐκεῖνον δὲ μόλις παραδραμὸν, χαραδρώδεις καὶ ἀνάντεις κατελάμβανε χώρους· ἐν οἷς οἱ Μυσοὶ Ῥωμαίοις ἐπιθέμενοι πλεῖστον ὅτι πλῆθος ἀνδρῶν διέφθειραν, καὶ τήν τε βασίλειον ἀρχὴν καὶ τὸν πλοῦτον εἰλήφεσαν, καὶ τὴν ἀποσκευὴν τῆς στρατιᾶς ἐλαφυραγώγησαν ἅπασαν. τότε δὴ καὶ αὐτὸς ὁ ταῦτα ἐκ-

8. Fort. τούτου. Confer. 93. A.

posuit, ibi milites refecit. Prima noctis vigilia nondum transacta, subito stella permagna ex parte orientali valli emicans larga luce tentoria circumfudit: cumque in parte occidentali propter ipsam fossam decidisset, in scintillas scissa permultas, atque restincta est. Cuius stellae casus internecionem exercitus, quae insecuta est, praemonstravit. Etenim ubicunque quicquid eiusmodi accidit, ibi interitum praenunciavit rerum subiectarum. Cuius quidem rei clarum argumentum est delapsa in exercitum Troianum stella tum, cum Pandarus in Menelaum arcum intendit: nam illo ipso die Troianorum copia in turpem fugam a Graecis compulsa est. Neque minus in Romanorum bellis reperiet, qui annalium monimenta tractare velit, saepe idem venisse usu, ut ubi hoc portentum irrueret, ibi exercitus interiret. Quin et ipsi vidimus in aedes Basilii praesidis tale aliquid delabens: neque ita multo tempore post cum ipsum discedentem a vita, tum direptioni compilationique tradi fortunas eius. Verum de visione stellae haec sufficiant: tunc vero, postridie illius diei, exercitus silvestrem transgressus atque cavernosam vallem, vixdum inde emersus intercisa arduaque subiit loca: in quibus ex insidiis adorti Romanos Moesi numerum ingentem militum conciderunt, ceperunt autem Imperatoris tum praetorium, tum thesauros, atque impedimenta exercitus universa. Aderam tunc et ipse, qui haec defleo, adversa

τραγῳδῶν ἐκεῖσε παρήμην, τῷ κρατοῦντι δυστυχῶς συνεπόμενος A. C. 975 καὶ τῇ τοῦ διακόνου λειτουργίᾳ ὑπηρετούμενος. καὶ κἂν ἐξεχύθη L. I. 6 μου παρὰ μικρὸν τὰ διαβήματα, καὶ μαχαίρας Σκυθικῆς γέγονα παρανάλωμα, εἰ μή με θεία τις ἐξ αὐτοῦ τοῦ κινδύνου ἀπήγαγε πρόνοια, ἥτις ἐξιππάσασθαι τάχος πεποίηκε, πρὸ τοῦ καταλη- B φθῆναι τὴν φαραγγώδη πρὸς τῶν δυσμενῶν ἄνοδον, παρελθεῖν τε ταύτην, καὶ δρομαίως καταλαβεῖν τὴν ἀκρώρειαν. μόλις οὖν διὰ δυσβάτων ὀρέων τὸ περιλειφθὲν τοῦ στρατεύματος τὴν καταδρομὴν διέφυγε τῶν Μυσῶν, τὴν ἵππον σχεδὸν ἀποβαλὸν ἅπασαν καὶ τὴν ἐπικομιζομένην ἀποσκευήν, καὶ πρὸς τὰ Ῥωμαϊκὰ ἐπανέζευξεν ὅρια.

θ'. Μήπω δὲ τοῦ τοιούτου πάθους τελευταίως ὑπολωφήσαντος, Βάρδας Μάγιστρος ὁ Φωκᾶς κατὰ τῶν κρατούντων ἐτραχηλίασε, καὶ τὴν τῆς Ἀσίας Ῥωμαϊκὴν ὑπεποιήσατο δύναμιν, καὶ κατὰ θάλασσαν ἐπίνεια καὶ πτολίσματα πλὴν Ἀβύδου C εἷλε· καὶ τριήρεις συχνὰς νεολκήσας, ἐφρούρει τὸν τοῦ Ἑλλησπόντου πορθμόν, οὐκ ἐῶν τὰς φορτίδας ἀνάγεσθαι πρὸς τὴν βασιλεύουσαν· στρατιάν τε πλείστην, ἧς Λέων Μάγιστρος ὁ Μελισσηνὸς ἡγεῖτο, παρὰ τὴν ἤπειρον τῆς Ἀβύδου καθίδρυσε, τάς τε σφετέρας τριήρεις φρουροῦσαν, καὶ πολιορκοῦσαν τὴν Ἄβυδον. αὖθίς τε χάρακα καρτερὸν πρὸ τοῦ Βυζαντίου ἐπὶ τοῦ τῆς Χρυσῆς πόλεως λόφου ἔπηξεν, ἱππικὴν ὅτι πλείστην καὶ πεζικὴν στειλάμενος δύναμιν· ἀρχηγοὺς δὲ τῆς στρατιᾶς ταύτης τόν τε σύναιμον αὐτοῦ τὸν Πατρίκιον Νικηφόρον, καὶ Καλοκύρην Πατρίκιον, ᾧ ἐπί- D κλησις Δελφινᾶς προεστήσατο. τούτους ὁ αὐτοκράτωρ αὖθις Βα- Fol. 320 v.

2. ἐξεχύθη—διαβήματα. Psalm. LXXII. 2.

avi principem comitatus, cui in officio Diaconi dabam operas. Nec multum abfuit, quin „effunderentur gressus mei," gladioque iugularer Scythico, nisi ex ipso periculo me eripuisset divinum quoddam consilium, quod effecit, ut celeriter equum permitterem, antequam clivus arduus ab adversariis teneretur, illoque superato ad summum iugum cursim evolarem. Reliquiae exercitus, aegre per invia montium Moesis insequentibus elapsae, amisso equitatu fere omni, atque impedimentis quotquot secum vexerant, in fines Romanos se receperunt.

9. Nequedum penitus remiserat haec calamitas, cum Bardas Phocas Magister, rebellione adversus principes facta, Asiaticas sibi subiunxit imperii opes, navalia atque oppida maritima cepit, praeter Abydum: triremibusque magno numero deductis obsedit fretum Hellesponti, ne onerariae ad urbem accederent: exercitum autem permagnum, cui Leo Melissenus Magister praeerat, in ora ad Abydum constituit, qui et suis triremibus praesidio esset, et Abydum oppugnaret. Altera castra item firma posuerat contra Constantinopolim in monte Chrysopolitano, quo equitatum exercitumque plurimum miserat: his copiis praefecit Nicephorum Patricium fratrem suum, et Calocyrem Patricium, cognomento Delphinam. Sed hos Ba-

A. M. 6484 σίλειος, μετὰ δυνάμεως ἀποχρώσης τὸν Βόσπορον περαιωθεὶς,
Ind. 4 ἐξ ἀντιπάλου μάχης ἐτρέψατο· καὶ ζωγρίας συνειληφὼς, τὸν μὲν
Νικηφόρον καὶ ὁμαίμονα τοῦ Φωκᾶ πεδήτην ἀποφήνας, εἱρκτῇ
συνέκλεισε· τὸν δέ γε Καλοκύρην τὸν Δελφινᾶ αὐτοῦ που παρὰ
τὸν τῆς Χρυσοπόλεως λόφον, ἵνα καὶ ἡ σκηνὴ αὐτῷ ἐπήγνυτο,
ἀνεσκολόπισε. Βάρδας δὲ ὁ Φωκᾶς, τὴν ἐν Χρυσοπόλει πανο-
λεθρίαν τῆς στρατιᾶς διενηχηθεὶς, τήν τε τοῦ ὁμαίμονος σύλλη-
P. 108 ψίν τε καὶ κάθειρξιν, καὶ τὴν τοῦ Δελφινᾶ ἐπὶ τοῦ ξύλου προσ-
παττάλευσιν, τὰς περὶ αὐτὸν δυνάμεις συνηθροικὼς, εἰς Ἄβυ-
δον κάτεισι, τό,τε φρούριον τὸ ἐκεῖσε πειρώμενος πολιορκῆσαι,
καὶ πρὸς τὴν Εὐρώπην διαπεράσαι, ὡς καὶ ταύτην ὑποποιή-
σαιτο. ὁ δὲ αὐτοκράτωρ Βασίλειος, τὴν ἐν Ἀβύδῳ κάθοδον
τοῦ τυράννου ἐνωτισθεὶς, τὴν περὶ αὐτὸν στρατιὰν συναγηοχὼς,
καὶ τὰς πυρφόρους τριήρεις ἐξαρτυσάμενος, ἀντίπαλος τούτῳ
καθίσταται· καὶ, περαιωθεὶς τὸν Ἑλλήσποντον, ἐν τῷ πρὸ τῆς
Ἀβύδου πεδίῳ τὴν βασίλειον σκηνὴν ἐπήξατο, ὁσημέραι τὰς φά-
λαγγας συντάττων καὶ ἐξασκῶν, καὶ γνωματεύων ὅτῳ τρόπῳ τῷ
B ἀποστάτῃ ἐπέλθοι. μιᾷ τοιγαροῦν τῶν νυκτῶν ἐς λόχους συν-
τάξας τὸ στράτευμα, διὰ τῆς παρὰ θάλασσαν ἀταρπιτοῦ τοῖς
ἐναντίοις ἐπέθετο, καὶ, ἤδη τῆς ἡμέρας διαφανούσης, τάς τε
τριήρεις πάσας ἐνέπρησε, καὶ τοὺς ἐναντίους κατακαίνων οὐκ
ἀνίει. Βάρδας δὲ ὁ Φωκᾶς, τῷ αἰφνιδίῳ τῆς ἀφίξεως καὶ ἐπι-
θέσεως τοῦ αὐτοκράτορος ἐκπλαγεὶς, ἀντιμέτωπος τοῦ χάρακος
ἔξεισι· καὶ δῆτα κατὰ τὸ μεταίχμιον ἀντικαταστὰς, καὶ τοῦ
ἵππου ἀθρόον κατενεχθεὶς, ξίφει τὸν αὐχένα ἐκκόπτεται. καὶ τὸ

10. Fort. ἐκπολιορκῆσαι, ut expugnaret. 20. διαφανούσης. Conf. supra 23. A. 57. A.

silius Imperator, cum manu idonea Bosporum transgressus, signis collatis fudit captivosque fecit: Nicephorum, Phocae fratrem, vinctum in custodiam condidit: Calocyrem Delphinam autem ibidem in monte Chrysopolitano, ubi tabernaculum eius collocatum erat, in crucem egit. Tum Bardas Phocas, ubi cognovit, exercitum suum ad Chrysopolim deletum, fratrem captum ac custodiae mandatum, Delphinam palo affixum esse, coactis quas ipse habebat copiis ad Abydum descendit, ut arcem, quae ibi est, si posset, oppugnaret, et in Europam transvectus hanc quoque sibi adiungeret. Basilius Imperator, certior factus tyrannum ad Abydum devenisse, contracto item suo exercitu instructisque triremibus igniferis, adversus illum constitit: ac, tramisso Hellesponto, in campo ante Abydum tabernaculum imperatorium collocavit, instruens quotidie legiones atque exercens, et meditans qua ratione rebellem adoriretur. Ita quadam nocte instructum in insidiis exercitum per semitam secundum mare in adversarios rapit, ac, die iam illucescente, triremes combussit omnes, caedem hostium facere non intermisit. Bardas Phocas, Imperatoris repentino adventu impetuque exterritus, contra de vallo prodit: ibi inter infestas acies praelians cecidit ex equo subito, estque illi

μὲν γιγαντῶδες τούτου σῶμα κατὰ τὴν Ἄβυδον τῇ γῇ κατορύττεται· [A. C. 975 I. I. 6] ἡ δὲ κεφαλή, πρὸς τὴν βασιλεύουσαν ἐκπεμφθεῖσα καὶ δορατίῳ περιπαρεῖσα, κατὰ τὰς ἀγυιὰς θριαμβεύεται, καὶ τοῖς [C] κατὰ τὴν Ἀσίαν καταπέμπεται στασιάζουσι. καὶ οὕτω τὰ τῆς ἀποστασίας εἰς σταθηρὰν γαλήνην μετεσκευάζετο.

ι'. Καὶ ἄλλα δὲ παγχάλεπα ἡ τοῦ φανέντος ἀστέρος παρεδήλου ἐπιτολή, καὶ οἱ παραδειχθέντες αὖθις πρὸς τὸ βόρειον μέρος ἀωρὶ τῶν νυκτῶν πύρινοι στῦλοι, καὶ τοὺς ὁρῶντας ἐκδειματούμενοι. καὶ γὰρ καὶ οὗτοι τήν τε συμβᾶσαν πρὸς τῶν Ταυροσκυθῶν τῆς Χερσῶνος ἅλωσιν παρεδήλουν, καὶ τὴν τῆς Βεῤῥοίας κατάσχεσιν παρὰ τῶν Μυσῶν. ἔτι δὲ ὁ πρὸς δύσιν ἐπὶ καταφορὰν τοῦ φωσφόρου ἀνίσχων ἀστήρ, ὃς ἑσπερίους ποιούμενος [D] τὰς ἐπιτολάς, οὐδένα στηριγμὸν ἐφ' ἑνὸς διεφύλαττε κέντρον, λαμπρὰς δὲ καὶ τηλαυγεῖς τὰς ἀκτῖνας ἐπαφιείς, μεταβάσεις ἐποιεῖτο συχνάς, πῇ μὲν βορειότερος ὁρώμενος, πῇ δὲ νοτιώτερος, [Fol. 321 r.] ἔστι δ' ὅτε καὶ αὐτὴν τὴν μίαν ἐπιτολὴν καὶ μεταμείβων τὸν αἰθέριον τόπον, καὶ ποιούμενος ἐναργῆ καὶ σύντομον τὴν μετάβασιν· ὡς θαυμάζειν τοὺς ὁρῶντας καὶ καταπλήττεσθαι, καὶ οὐκ εἰς καλὸν τελευτήσειν οἴεσθαι τὴν τοῦ κομήτου ἀλλόκοτον κίνησιν. ὃ δὴ καὶ συνέβαινε κατὰ τὴν τῶν πολλῶν ὑπόνοιαν. καὶ γὰρ ἑσπέρας ἐνισταμένης, ἐν ᾗ μνήμην τοῦ μεγάλου Δημητρίου καὶ Μάρτυρος τελεῖν παρέλαβεν ἡ συνήθεια, φρικώδης [P. 109] ἐπενεχθεὶς σεισμός, καὶ οἷος οὐκ ἄλλος κατὰ ταύτας δὴ συνέβη τὰς γενεάς, τά τε πυργώματα τοῦ Βυζαντίου πρὸς γῆν κατε-

9. Ταυροσκύθων cod. 16. καὶ] Leg. κατ'. 17. Leg. σύντονον.

gladio caput abscisum. Ita immane eius corpus in terram est ad Abydum defossum: caput, quod ad urbem detulerant, in pilo fixum, per vias triumpho gestatum, ad rebellantesque in Asia missum est. Eo demum modo in stabilem serenitatem perturbatio seditionum se commutavit.

10. Praeter haec, alia, acerba sane, praenunciabantur tum stellae illius illustris ortu, tum item columnis igneis, quae intempestis noctibus per plagam septentrionalem conspectae exterrebant videntes: quippe et illae significabant, a Tauroscythis Chersonem expugnatum, a Moesis Berrhoeam occupatum iri. Tum versus occidentem post luciferi obitum oboriens stella, quae surgens vespere constitionem eodem in cardine faciebat nullam, sed illustres fundens ac micantes radios huc illuc subinde transferebatur, modo magis se ad septentrionem, modo ad meridiem ostendens, interdum unius ortus tempore locum in coelo mutans, manifesto ac citato motu: ut mirantes, qui videbant, et perterriti, non bonum exitum habiturum portentosum cometae motum arbitrarentur. Quod ipsum accidit iuxta suspicionem vulgi. Etenim instante vespera, qua memoriam Demetrii magni Martyris celebrari usu receptum est, terrae motus horribilis, qualis nusquam alius exstitit per has aetates, Byzantii turres in terram deiecit, domos plerasque stravit, ut ha-

A. M. 6484 Ind. 4 ρίπωσε, καὶ τὰς πλείους ἑστίας ἀνέτρεψε, τάφον αὐτὰς τοῖς οἰκοῦσιν ἀπεργασάμενος, τά τε προσέγγια τοῦ Βυζαντίου χωρία μέχρις ἐδάφους κατέβαλε, καὶ πολὺν τῶν ἀγροίκων φθόρον ἐποίησεν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸ ἡμισφαίριον τῆς ὑπερῴας τῆς μεγάλης ἐκκλησίας σὺν τῇ πρὸς δύσιν ἀψῖδι κατέβαλε καὶ εἰς γῆν κατερίπωσεν· ἅπερ αὖθις ὁ αὐτοκράτωρ Βασίλειος ἐν ἓξ ἐνιαυ- B τοῖς ἐδομήσατο. καὶ οἱ παγχάλεποι δὲ λιμοὶ, καὶ λοιμοὶ, αὐχμοί τε, καὶ ἐπικλύσεις, καὶ ἀνέμων ἐξαισίων ἐπιφοραί· ὁπηνίκα καὶ ὁ ἐν τοῖς Εὐτροπίου στύλος τῇ βίᾳ τῶν κυμάτων κατηνέχθη, καὶ ὁ ἐν αὐτῷ μοναστὴς ἐναπεπνίγη τοῖς θαλασσίοις ῥοθίοις δεινῶς· καὶ ἡ ἀφορία δὲ τῆς γῆς, καὶ τὰ ἐπισκήψαντα χαλεπὰ μετὰ τὴν τοῦ ἀστέρος ἐπιτολὴν, ἅπαντα ἐξεγένοντο. ἀλλὰ ταῦτα μὲν κατὰ μέρος εἰς τοὺς ἑαυτῶν καιροὺς ἡ ἱστορία παραδηλώσει.

ια'. Ὁ δὲ αὐτοκράτωρ Ἰωάννης, τότε τῶν τῆς Συρίας ἀπάρας (ἐκεῖθεν γὰρ, ὅθεν ἐξέβην, ἐπάνειμι), ἐπὶ τὸ Βυζάντιον C ἵετο. ὁρῶν δὲ κατὰ πάροδον τήν τε Λογγιάδα καὶ τὸν Δριζῆν, χώρας εὐγείους τε καὶ εὐδαίμονας, ἃς πολλοῖς ἱδρῶσι καὶ αἵμασιν ἡ Ῥωμαϊκὴ στρατιὰ τῇ βασιλείᾳ τὸ πρότερον ἀνεσώσατο, τότε δὲ παρὰ τοῦ προέδρου Βασιλείου καὶ παρακοιμωμένου κατεχομένας, ἤσχαλλεν, ὡς τὸ εἰκὸς, καὶ ἠνιᾶτο, καὶ τὴν πλεονεκτικὴν ἐκείνου βίαν ὠνείδιζεν. ὁ δὲ ἀναφανδὸν μὲν οὐκ εἶχεν ἀντιβαίνειν, τὴν τοῦ ἄνακτος δεδιὼς ἀγανάκτησιν· λαθραίως δὲ τὰ ἐκείνου ἐμυκτήριζε λόγια, καὶ τοῦτον, ἤδη βαρὺν αὐτῷ γεγενημένον δεσπότην, ἀμωσγέπως διενοεῖτο ἀποσκευάσασθαι.

2. ἀπεργασάμενος. Vid. supra 42. A.

bitatorum sepulcrum fierent, loca autem in vicinia urbis ad solum evertit, multa agrestium hominum caede facta. Nec vero in his constitit malum: sed tholum quoque superiorem magnae ecclesiae cum absida occidentali deiecit, terraeque afflixit: quae posthac Basilius Imperator intra sexennii spatium renovavit. Inopiae adhaec importunissimae, pestilentiae, siccitates, eluviones, ventorum horribilium turbines: quibus columna quoque in Eutropiano per vim fluctuum eversa est, fraterque super illam undis pelagi misere mersus: sterilitas item terrae, atque superne ingruentia mala post stellae ortum, omnia evenerunt. Verum haec sigillatim suo quidque tempore historia dicet.

11. Ioannes Imperator, tunc ex Syria profectus (redeo enim eo, unde diverti), iter Constantinopolim versus habebat. Ibi cum in transitu Longiadem et Drizen videret, feracia atque opima loca, quae Romani exercitus sudore sanguineque plurimo recens imperio recuperata a Basilio praeside et praefecto cubiculi tunc tenebantur, aegre id, ut par erat, ac moleste tulit, et vituperavit violentam avaritiam hominis. Neque is tunc quidem aperte obloqui, principis indignationem verens, poterat: clam vero ridebat eius verba, illumque, ut dominum iam sibi gravem, quovis modo submovere sta-

ἄρτι δὲ κατὰ τὴν τῷ Ὀλύμπῳ παρακειμένην τῆς Ἀτρώας πε- A. C. 975
διάδα ὁ βασιλεὺς ἀφικόμενος, πρὸς τὴν τοῦ πατρικίου Ῥωμα- D L. I. 6
νοῦ καὶ τῷ τοῦ Σεβαστοφόρου διαπρέποντος ἀξιώματι ἑστίαν
κατήγετο. ἐνταῦθα λέγεταί τινα τῶν ἐξυπηρετουμένων ἐκτομίαν
τῷ αὐτοκράτορι, εἴτε οἴκοθεν δυσμενῶς πρὸς αὐτὸν διακείμενον,
εἴτε καὶ πρὸς τούτων, τοῖς καλοῖς βασκαινόντων καὶ μεταβολὰς Fol. 321 v.
τῶν πραγμάτων ἱμειρομένων ὁρᾶν, ὑπαχθέντα, καὶ ὑποσχέσεσι
δωρεῶν παρακλαπέντα (ὅπερ δὴ τοῦ προτέρου μᾶλλον καὶ λέγεται
καὶ πιστεύεται), δηλητήριον κερασάμενον παρὰ τὸν πότον ἐπιδοῦ-
ναι τῷ βασιλεῖ· τὸν δέ, μηδέν τι τοιοῦτον φρασάμενον, ὡς σωτή- P. 110
ριον πόμα τὸ δηλητήριον ἐκπιεῖν. τῇ γοῦν ὑστεραίᾳ νάρκη τε τῶν
μελῶν καὶ πάρεσις τοῦ παντὸς σώματος αὐτῷ ἐξεγένετο, καὶ ἡ τῶν
ἰατρῶν ἐπιστήμη τῷ ἀθρόῳ τοῦ πάθους κενή τις καὶ ἄπρακτος
ἀπηλέγχετο, μὴ ἀκριβοῦσα διάγνωσιν τοῦ τοιούτου συμπτώμα-
τος. ὁ δὲ βασιλεύς, τὴν πρότερον ἐνοῦσαν αὐτῷ γιγαντώδη ῥώ-
μην αἰφνίδιον καταβληθεῖσαν αἰσθόμενος, ἠπείγετο καταλαβεῖν
τὸ Βυζάντιον· ἐπέσπευδε δὲ καὶ τὴν ἐν τῷ τοῦ Σωτῆρος νεῷ, ὃν
αὐτὸς ἐδείματο, κατασκευαζομένην τῷ σωματίῳ τούτου σορὸν
ἀπαρτισθῆναι ὡς τάχιστα. συντείνας δὲ τὴν ὁδοιπορίαν, ἐς τὴν
βασιλεύουσαν ἧκε, φιλοφρόνως μὲν ὑποδεχθεὶς πρὸς τῶν ἀστι- B
κῶν, ὀλιγοδρανέων δὲ ἤδη, καὶ ἆσθμα μύχιον καὶ δυσπρόσοδον
περιπνέων καὶ ἀναπεμπόμενος. ἄρτι δὲ εἰς τὴν ἀνακτορικὴν ἑστίαν
πεφοιτηκώς, κλινοπετὴς ἐδείκνυτο, τῷ φαρμάκῳ καταπονούμενος.
συνιεὶς δέ, ὡς οὐκ ἂν ἀνασφήλῃ τοῦ τοιούτου πτώματος (τὸ γὰρ
ἐνδομυχοῦν δεινὸν τὰ ἔγκατα χαλεπῶς ἐξεθέριζε), τῶν βασιλικῶν

13. ἄπρακτος. Vid. Schottum De nodis Ciceronis 22. C.

tuit. Venerat Imperator in Atroae campum Olympo subiectum: deverterat ad Romanum patricium, Sebastophori dignitate decoratum. Ibi ferunt aliquem spadonem de ministrantibus, sive per se Imperatori infensum, sive subornatum corruptumque pollicitationibus largitionum ab illis, qui, bonis iniqui, conversionem videre rerum cuperent (qui rumor potius quam prior ille et differtur et creditur), venenum praeparatum Imperatori in potione praebuisse: illum, nihil tale suspicantem, pro salutari haustu virus ebibisse. Sed iam postridie eius diei torpor eum membrorum, et corporis universi relaxatio occupavit, vique repentina mali vanam esse medicorum scientiam nulloque usui apparuit, nec versari in cognitione facili hunc morbum. Imperator, ubi robur singulare, quod pridem sibi inerat, repente prostratum esse sensit, Constantinopolim pervenire contendit: simul arca, quae in Servatoris fano a se aedificato corpori ipsius praeparabatur, ut quamprimum absolveretur properat. Sic contento cursu ad urbem venit, exceptusque a populo mirabiliter est, languens iam, atque aegre intimo pectore spiritum ducens et efflans. Cum autem in palatium se contulisset, veneno confectus iam lecto decubuit. Ita quod sentiebat non convaliturum sese ex tanto morbo (nam foede depascebatur viscera penitus insidens malum), e fisco plena manu hauriens largitiones

A. M. 6484 Ind. 4 A. C. 975 I. I. 6 θησαυρῶν ἀφειδῶς ἀπαντλῶν, διεδίδου τοῖς πένησι, καὶ μάλιστα τοῖς λελωβημένοις καὶ βεβρωμένα τῇ ἱερᾷ νόσῳ τὰ σώματα περιφέρουσιν, οἷς τῶν ἄλλων πενήτων φιλανθρωπότερον διετίθετο. C Νικόλαόν τε, τὸν πρόεδρον Ἀδριανουπόλεως, εἰσκαλέσας, ἄνδρα θεῖόν τε καὶ σεβάσμιον, τὰ κατὰ τὸν βίον αὐτῷ ἀνεκάλυψεν ἀγνοήματα, κρουνοὺς τῶν ὀφθαλμῶν δακρύων ἐπαφιεὶς, καὶ τῷ τούτων λουτῆρι τὰ αἴσχη καὶ τὰ ῥυπάσματα τῶν ἐσφαλμένων ῥυπτόμενος, καὶ τὴν Θεοτόκον ἐπιβοώμενος, ἀρωγὸν εὑρεῖν ἐν ἡμέρᾳ τῆς δίκης, ὁπηνίκα παρὰ τῷ υἱῷ αὐτῆς καὶ Θεῷ τὰ τῶν βροτῶν πρακτέα τοῖς ἀδεκάστοις ζυγοῖς καὶ σταθμοῖς ταλαντεύεται. A. M. 6484 Ind. 4 A. C. 976 I. I. 7 τοιαύτην ἐξ ἀδιστάκτου γνώμης καὶ συντετριμμένης ψυχῆς τὴν ἐξομολόγησιν ὁ βασιλεὺς ποιησάμενος, τῶν τῇδε μεθίσταται, καὶ πρὸς τὴν ἐκεῖσε μεταβαίνει κατάπαυσιν ἐν μηνὸς Ἰανουαρίου D δεκάτῃ, ἰνδίκτου δ΄, ἔτους ͵ςυπε΄, ταφεὶς ἐν τῷ κατὰ τὴν Χαλκῆν τοῦ Σωτῆρος νεῷ, ὃν ἐκεῖνος μεγαλοπρεπῶς ἐκ βάθρων ἐδείματο. τοιοῦτον εὗρε τὸ τέλος ὁ αὐτοκράτωρ Ἰωάννης τῆς αὐτοῦ βιοτῆς, ἀνὴρ βραχὺς μὲν τὴν ἡλικίαν τοῦ σώματος, ἡρωϊ- Fol. 322 r. κὴν δέ τινα περιφέρων ἰσχὺν, γενναῖός τις γεγονὼς ἐν πολέμοις καὶ ἀκαταγώνιστος, καὶ πρὸς τοὺς κινδύνους εὔψυχος καὶ μεγαλότολμος· ζήσας μὲν τὸν πάντα χρόνον τῆς αὐτοῦ βιοτῆς ἔτη πεντήκοντα πρὸς τῷ ἑνὶ, ἰθύνας δὲ τὴν τῆς βασιλείας ἡγεμονίαν εἰς ἐνιαυτοὺς ἓξ, πρὸς ἡμέραις τριάκοντα.

16. ἐδείματο. Supra 79. A.

fecit cum in pauperes, tum maxime in leprosos illosque, qui adesa mala scabie corpora circumferunt, quos praeter caeteros indigentes peramanter observabat. Introvocato deinde Nicolao, Adrianopolis antistiti, viro divino ac reverendo, commissos a se in vitae curriculo errores patefecit, vimque lacrymarum oculis profudit, quarum lavatione labes sordesque peccatorum abstersit, invocata Dei matre, ut in die iudicii patronum sibi inveniret, quando coram divino eius filio trutina ponderibusque incorruptis actiones mortalium librabuntur. Quam confessionem ubi intenta mente atque animo contrito Imperator fecerat, ex hac vita discessit, et ad requiem sese, quae ultra est, transtulit, die Ianuarii decima, indictione IV, anno sexmillesimo quadringentesimo octogesimo quinto. Sepultus est in aede Servatoris Chalcensi, quam ipse magnifice e fundamentis aedificaverat. Eiusmodi finem vitae invenit Ioannes Imperator, vir corporis quidem statura brevis, sed heroïcum circumferens robur, fortis ac probatus in bellis, et validior quam ut vinci posset, in periculis autem animosus, atque audacia singulari. Vixit omnino annos quinquaginta unum; imperio rebusque praefuit ad annos sex, dies triginta.

# ΠΕΡΙ
# ΠΑΡΑΔΡΟΜΗΣ ΠΟΛΕΜΟΥ
## ΤΟΥ ΚΥΡΟΥ
# ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ.

# INDEX CAPITUM.



4. καὶ abest ex cod. 2437.

# ΠΕΡΙ
# ΠΑΡΑΔΡΟΜΗΣ ΠΟΛΕΜΟΥ
## ΤΟΥ ΚΥΡΟΥ
## ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ.

# DE
# VELITATIONE BELLICA
## DOMINI
## NICEPHORI AUGUSTI.

## ΠΡΟΟΙΜΙΟΝ.

Τὴν τῆς παραδρομῆς μέθοδον παραδοῦναι βουλόμενοι, εἰ τάχα καὶ κατὰ τὸν παρόντα καιρὸν μὴ χρειώδης ἐστὶν εἰς τὰ τῆς ἕω μέρη, ἅτε Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τὸ πολὺ τῆς καθ' ἡμῶν δυνάμεως καὶ ἰσχύος τῶν τοῦ Ἰσμαὴλ ἐκγόνων ἀμβλύναντος, καὶ τὰς ἐφόδους αὐτῶν ἀναχαιτίσαντος· ἀλλ' οὖν, ἵνα μὴ τὴν λήθην καὶ ἄγνοιαν ἐπεισαγαγὼν ὁ χρόνος φθείρῃ τὸ ταύτης

In codice A, hoc est in cod. 2437, Fol. 373 r. P. 117

2. χρεώδης. Lambecius Commentar. Bibl. Caes. VII. col. 432. B. χρεώδης.

## PRAEFATIO.

Cum propositum nobis sit rationem tradere, qua hostes bello observandi sint, tametsi id fortasse in praesentia minus necessarium in Orientis partibus est, quod Christus, verus Deus noster, infensa nobis vi ac potentia filiorum Ismaël maiore ex parte fracta, incursus eorum repressit: tamen, ne temporis longinquitas, oblivionem atque ignorantiam afferens, tolleret

P. 118 ἐπωφελὲς καὶ ἐξαφανίζῃ, δεῖν ᾠήθημεν γραφῇ παραδοῦναι ταύτην· ἵν', εἴ ποτε ταύτης δεήσει Χριστιανοῖς, καιροῦ τινος πρὸς τὸ μέλλον καλοῦντος, ἕτοιμός ἐστι συνεργὸς ἀγαθὴ τῷ τε κοινῷ παντὶ, καὶ τοῖς αὐτὴν μεταχειριζομένοις. ἡμεῖς γοῦν ταύτην οὐ μονονοὺκ ἀκοῇ παρειλήφαμεν, ἀλλὰ καὶ πεῖράν τινα παρ' αὐτῆς ἐδιδάχθημεν· τὸ μὲν, αὐτοὺς σχόντες διδασκάλους καὶ παιδευτὰς τοὺς ταύτην, σχεδὸν εἰπεῖν, ἐφευρόντας τὴν μέθοδον· τὸ δὲ, καὶ αὐτοὶ μόνοι ταύτῃ χρησάμενοι, καὶ πεῖραν αὐτῆς ἐγκολπωσάμενοί τινα, κατὰ τὸ ἡμῖν ἐφικτόν. αὕτη τοίνυν κατὰ τοῦτο ἔχει τὸ χρήσιμον, ὅτι περ, οἱ ταύτην μετήλθοσαν, μετ' ὀλίγου
B μαχίμου λαοῦ μέγιστα καὶ ἀξιομνημόνευτα ἐξετέλεσαν ἔργα. καὶ γὰρ, ἅτινα μὴ κατορθῶσαι ἴσχυσεν ἢ ἐτόλμησεν ἡ Ῥωμαίων σύμπασα στρατιὰ, ὅτε τὰ τῶν Κιλίκων καὶ τοῦ Χαμβδᾶ ἤκμαζεν, εἷς ἐνίοτε τῶν ἀρίστων στρατηγῶν, σὺν μόνῳ τῷ τοῦ ὑπ' αὐτὸν θέματος λαῷ, φρονίμως καὶ ἐμπείρως τοὺς πολεμίους ἐπιτηδευσάμενος, καὶ συνετῶς διατεθεὶς καὶ στρατηγήσας, ἀπήρτισε. τοῦτο δέ φαμεν, οὐχ ὅτι τοῦ πλείονος τὸ ὀλίγον προκρίνομεν μάχιμον· οὐδ' ὅτι ταύτην ἐξαίρομεν τῶν λοιπῶν στρατηγημάτων καὶ ἐπιτηδευμάτων τῆς τακτικῆς· ἀλλ' ὅτι στρατηγῶν τοῖς ἀρίστοις αὕτη συνεργὸς ἀρίστη καθέστηκεν· ἵν', ὅτε μὴ κατὰ πρόσωπον τοῖς
C πολεμίοις ἀντιτάττεσθαι δύναιντο, ταύτῃ τῇ μεθόδῳ χρώμενοι,

1. ἐπωφελές. Hactenus fragmentum libri apud Lambecium. 3. ἐστι. Scribendum omnino ᾖ· sed eiusmodi soloecismi toto illo libello tam frequentes sunt, ut otiosorum esset notare singulos. Quam animadversionem moneo in similia loca omnia aeque valere. 8. ταύτην cod. 10. ὅτι περὶ ταύτην codd.

usum eius ac deleret, idcirco scripto tradendam eam existimavimus: ut, si unquam eius egerent Christiani, flagitante futuri temporis necessitate, quasi quaedam fortis adiutrix cum reipublicae universae, tum maxime observatoribus eius praesto esset. Eam enim nos non modo auditione percepimus, verum experientia etiam in ea sumus eruditi: illud quidem, quia praeceptores ac magistros eos nacti sumus, qui istam belligerandi viam, prope dicam, aperuerunt: hoc, quod ipsi nostro arbitrio eam persequentes, aliquem eius usum, quantum quidem in nobis fuit, contraximus. Proficit autem plurimum ad illud, quod, qui eam tenuerint, cum exiguo armatorum numero res maximas memoriaque dignas confecerunt. Etenim, quae exsequi neque potuit neque conatus est universus Romanorum exercitus contra firmissimas tunc Cilicum et Chambdani opes, ea unus interdum ex praestantissimis ducibus, cum solis suae provinciae copiis, hostes prudenter ac scite aggressus, bello intelligenter instructo atque administrato, confecit. Tametsi non ideo id dicimus, quod magnis copiis exiguas praeferendas esse putemus: neque ut hanc bellandi viam praeter reliqua commenta militaria et inventa extollamus: verum quia optimorum ducum optima adiutrix exstitit: ut, quando recta fronte obsistere hostibus

ἀβλαβεῖς τε ἑαυτοὺς καὶ τὴν ἰδίαν συντηροῖεν χώραν. ταύτην Βάρδας ὁ μακαρίτης Καῖσαρ, ὅσα ἐμὲ γινώσκειν, εἰς ἄκρον κατώρθωκε, καὶ παντελῶς ἀφανισθεῖσαν ἀνενεώσατο (ἵνα μὴ τοὺς παλαιοὺς τῶν στρατηγῶν ἀπαριθμῶ καθ' ἕκαστον, μόνους δὲ τοὺς πᾶσι γνωρίμους καὶ καθ' ἡμᾶς)· ὃς ἐν τοῖς γειτονοῦσι τῇ Ταρσῷ θέμασι, τῇ τε Καππαδοκίᾳ καὶ τῷ Ἀνατολικῷ στρατηγῶν, μυριάκις τὰς τῶν Ταρσέων καὶ λοιπῶν Κιλίκων δυνάμεις ἐτραυμάτισε, καὶ μέγιστα κατ' αὐτῶν ἀνεστήσατο τρόπαια. παρ' οὗ καὶ ἡμεῖς ταύτην γυμνασθέντες τὴν μέθοδον, τὴν ταύτης κἂν D ποσῶς παρειλήφαμεν πεῖραν. πρὸς τούτῳ καὶ Κωνσταντῖνος Πατρίκιος, ᾧ Μελεϊνὸς ἐπίκλησις, χρόνους πλείστους Καππαδοκῶν στρατηγήσας καὶ ταύτην συνεργὸν ἔχων, οὐκ ἐλάχιστα ἀπειργάσατο κατορθώματα. σὺν τούτοις καὶ ὁ κῦρις Νικηφόρος, ὁ ἀοίδιμος βασιλεὺς, ταύτην ἄκρως μετῆλθεν· ὃς δήπου στρατηγῶν, καὶ ταύτῃ χρώμενος, πάμπολλα καὶ ἀξιάγαστα ἔργα πεποίηκε, μυριάκις, ὡς εἰπεῖν, τοὺς πολεμίους τρεψάμενος, καὶ μέγιστα τούτων στρατεύματα κατακόψας. οὗ τὰς ἀριστείας, καθ' ὃν ἐστρατήγει καιρὸν, συγγράφειν ἢ ἀπαριθμεῖσθαι, ὀχληρὸν ἔσται P. 119 τοῖς ἐντυγχάνουσι, διά τε τὸ ὑπερβάλλον πλῆθος, καὶ τὸ παρὰ πολ-

1. Fort. ἀβλαβεῖς ἑαυτούς τε. χώραν. Haec item apud Lambecium Comment. VII. 433 — 435. cod. Vindobonensi philosophico CXI, cum differentia tamen aliqua lectionis hic enotata. Post ταύτην Lambecius addit τὴν μέθοδον. 4. παλαιούς. Lambecius col. 434. omittit παλαιούς, perperam, opinor. 5. Fort. καὶ τοὺς καθ'. Tametsi neque ullus nostrorum codd. variet, neque, ut ex Lambecio col. 434. video, Vindobonensis. 6. θέμασι. Lambecius l. c. male, θέματι, et paulo post, τῷ Ἀνατολικῷ στρατηγῷ. 19. παρὰ πολλ. Lambecius πᾶσα πολλῶν· quod iam et Kollarius correxit edit. altera Comment. VII. 434. C. et Cotelerius, Ecclesiae Graecae Monument. III. 534. C.

non possent, sese suosque fines, hac disciplina usi, incolumes servarent. Eandem, quantum ego perspicio, mirabiliter locupletavit, prorsusque obsoletam renovavit Divus Bardas Caesar (ne sigillatim priscos duces, verum eos duntaxat enumerem, qui nostra memoria omnibus innotuerunt): qui in provinciis Tarso finitimis, Cappadocia et Anatolico, copiis praefectus, Tarsensium reliquorumque Cilicum vires saepenumero contudit, maximaque de illis constituit trophaea. Ab eodem nos quoque hac disciplina eruditi, usum eius, quantulus is cunque est, percepimus. Fuit etiam Constantinus Patricius, cognomento Meleïnus, qui, complures annos copiis Cappadocum praepositus, ea adiutrice felicissime non pauca gessit. Praeter hos item dominus noster Nicephorus, immortalis memoriae princeps, eam mirifice coluit: qui cum exercitibus praeesset, illa usus, plurima eaque admiranda facinora effecit, hostes sexcenties, ut sic dicam, fudit, maximas eorum copias concidit. Cuius gloriosa facta, tunc cum militiam moderaretur, si scriptura persequi aut enumerare vellem, putidum id esset legentibus, tum propter multitudinem eorum infinitam, tum quia

λῶν γινώσκεσθαι. ὅς ταύτην ἔργῳ μεμαθηκὼς εὔχρηστον οὖσαν, ἐγγράφως πρὸς κοινὴν λυσιτέλειαν, πῶς δεῖ χρῆσθαι ταύτῃ, ἐξέθετο· κἀμοὶ παρηγγύησε, καθ' ὅσον οἷόν τε ἀκριβῶς περὶ αὐτῆς συγγράψαι, καὶ παραδοῦναι τοῖς μεθεξῆς. μὴ μόνον δὲ Fol. 374 r. περὶ ταύτης τῆς τῇ ἕῳ προσηκούσης, ἀλλὰ καὶ περὶ τῆς τῇ ἑσπέρᾳ ὠφελίμου καθεστηκυίας· διὰ τὸ ἐν αὐτῇ πλεῖστά τε στρατηγῆσαι, καὶ πεῖραν, ὅσον οἷόν τε ἦν, φύσει τῇ ἡμετέρᾳ ἀθροῖσαι. ἀλλὰ περὶ ἐκείνης μὲν ἰδίᾳ καὶ ἐν ἄλλοις εἰρήσεται· νυνὶ δὲ σκοπὸς ἡμῖν B περὶ τῆς ἑτέρας διαλαβεῖν. ὅθεν καὶ τὴν ἐκείνου τηρῶν ἐντολὴν, συνεργῷ τῇ τοῦ Θεοῦ χάριτι χρώμενος, ἥτις ἐν ἅπασι συνεπιλαμβάνεται τοῖς καλοῖς, ὧδέ πως ἀπάρχομαι τῆς ὑποθέσεως.

ΚΕΦ. α'. Περὶ βιγλῶν, καὶ πόσον διάστημα ὀφείλουσιν ἀπ' ἀλλήλων μία ἑκάστη διΐστασθαι.

Provinciae limitaneae. P. 120

Τοὺς τῶν μεγάλων καὶ ἀκριτικῶν θεμάτων τὴν πρόνοιαν ἀναδεχομένους, καὶ ὑπὸ τὴν αὐτῶν ἐπικράτειαν τὰς κλεισούρας ἔχοντας, πάσῃ μηχανῇ, καὶ προθέσει, καὶ ἀγρύπνῳ ἐπιμελείᾳ B προσήκει σπουδάζειν καὶ ἀγωνίζεσθαι, τὰς τῶν Ῥωμαίων χώρας διαφυλάττειν τῆς τῶν πολεμίων ἐπιδρομῆς ἀσινεῖς καὶ ἀνεπηρεάστους, βιγλάτορας ἐφιστῶντας ῥωμαλέους καὶ ἐπιτηδείους, καὶ τὰς ὁδοὺς εἰς ἄκρον ἐπισταμένους. καὶ εἰ μὲν ὄρη εἰσὶν ὑψηλὰ καὶ δύσ-

2. χρῆσθαι. Lambecius col. 435. A. χρῆσαι. 4. μεθεξῆς. Lambecius καθεξῆς. 5. ἑσπέρᾳ. Lambecius loc. cit. ἑσπέρῳ. 6. διὰ τό. Hactenus Lambecius Commentar. de Biblioth. Caesar. VII. 435.

apud multos sunt pervulgata. Imperator autem, usu edoctus, perutilem esse disciplinam illam, et ipse, quemadmodum esset illa utendum, communis utilitatis causa scripto exposuit: et mihi mandavit, ut compositum quam accuratissime possem de eadem re commentarium posteris relinquerem. Neque solum de hac, quem ad finem Orienti conveniat, verum etiam de illa, quae in Occidentis partibus usui sit: quod ibi copiis plurimum praefui, earumque rerum peritiam, quoad facultas tulit, animo collegi. Sed de hac separatim et alias dicetur: nunc de altera disserere nobis propositum. Proinde satis faciens principis mandato, adiutrice usus gratia divina, quae ad omnia bona expetenda assumi debet, in hunc modum dicere ingrediar de argumento nostro.

Cap. I. De excubiis, et quo intervallo aliae ab aliis esse debeant.

Qui magnarum et limitanearum provinciarum curam gerunt, in suaque ditione fauces montium habent, omni ratione, consilio, diligentia indefessa studere operamque adhibere debent, ut fines Romanos sartos tectos ab incursione hostium conservent, excubitoresque disponant valentes, idoneos, itinerum apprime gnaros. Si alta atque impedita iuga ditionem no-

βατα διορίζοντα τὴν πολεμίαν, ἐν τούτοις τὰς βίγλας ἵστασθαι· ἀπέχειν δὲ τὰς στάσεις τῶν βιγλατόρων ἄχρι μιλλίων γ' ἢ δ'. καὶ ἡνίκα τοὺς ἐχθροὺς ἐξερχομένους θεάσονται, δρομαίως ἀπέρχεσθαι εἰς τὸ ἕτερον στασίδιον, καὶ ἀπαγγέλλειν ἃ ἐθεάσαντο, κἀκείνους πάλιν πρὸς τὸ ἕτερον στασίδιον σπουδῇ πολλῇ· καὶ οὕτω καθεξῆς μηνύεσθαι τὰ τῶν καβαλλαρίων στασίδια εἰς τοὺς C ἐφωμάλους τόπους ἱστάμενα, καὶ δι' αὐτῶν ἀναμανθάνειν τὸν στρατηγὸν τὴν τῶν ἐθνῶν ἔφοδον. καρτερεῖν δὲ αὐτοὺς ἡμέρας πεντεκαίδεκα ἐν τῇ τῶν ὁδῶν φυλακῇ, ἐπιφερομένους καὶ τὴν διαρκοῦσαν αὐτοῖς τροφὴν τῶν αὐτῶν ἡμερῶν· εἶθ' οὕτως ἀπέρχεσθαι ἑτέρους εἰς τὴν τούτων ὑπαλλαγὴν, καλῶς ἀδνουμιαζομένους καὶ εὐτρεπιζομένους παρὰ τῶν ἀρχόντων, καὶ σῴους καὶ ἀνελλιπεῖς κατὰ τὸν τυπωθέντα ἀριθμὸν ἀποστελλομένους, καὶ μὴ δι' αἰσχρὸν κέρδος οἴκοι καθέζεσθαι παρὰ τῶν ἀρχόντων αὐτῶν ἐαθῶσιν. ἔξεστι δὲ τοὺς βιγλάτορας ἀφορᾷν, ἐν οἷς ἄπληκτα τῶν πολεμίων ἁρμόζει γίνεσθαι, ἐν οἷς ὕδωρ ἐστὶ διαρκὲς, D καὶ τόπος ἐφώμαλος· ἑτέρους δὲ βλέπειν, ἐν οἷς ἡ ὁδὸς ἀποτελεῖ στένωμα· ἄλλους δὲ, ὅπου ποταμὸς ὑπάρχει δυσπέρατος. καὶ τούτων οὕτως ἀσφαλῶς φυλαττόντων, οὐ δυνήσονται οἱ πολέμιοι λάθρα ποιήσασθαι τὴν ἐξέλευσιν. ἀποστέλλειν τε πιστοὺς ἀνθρώπους καὶ ἐμπειροτάτους, τοῦ ἐφορᾷν αὐτοὺς, εἴ γε καλῶς καὶ ἀγρύπνως τὰ κατατόπια αὐτῶν διαφυλάττουσι. καὶ οἱ τυπωθέντες βιγλάτορες σῷοι τῷ ἀριθμῷ καὶ μὴ ἐλλιπεῖς ἀπέρχωνται, καὶ μὴ καταλιμπάνωσι τὰς στάσεις αὐτῶν, ἐν αἷς βλέ- P. 121

6. εἰς τοὺς ἐφ' ὁμαλοὺς cod. Sed vid. D. lin. 2. 17. ἀποτελεῖ] ἀποστελεῖ cod. ἀποστέλλει alii.

stram a barbaria disterminant, in illis debent excubiae collocari, stationes autem excubitorum distare inter se ad millia passuum terna aut quaterna. Si adversarios progredientes conspiciunt, cursim relati ad proximam stationem, nuncient quae viderint; haec statio cum magna celeritate proximae idem significet: itaque deinceps rem renuncient equestribus custodiis, in locis planis subsidiantibus, per quas dux de barbarorum adventu certior fiat. Excubitores permanere dies quindecim in viarum custodia convenit, ferreque secum quantum sat fuerit in hos dies cibaria: dein ad hos commutandos succedant alii, recte censiti atque instructi a praefectis, ut integri plenique iuxta album praescriptum adsint, neque praefecti ob turpe compendium domi eos residere sinant. Possunt item excubitores dispicere, quae loca ad castra hostium facienda apta sint, aquatione copiosa, loco propatulo: alii explorare, ubi iter efficit angustias: alii, ubi flumen transitu difficile subsit. Qui ubi recte custodiunt, non poterunt hostes latenter eruptionem facere. Ad haec mittere oportet certos peritissimosque homines, qui speculentur, an recte atque vigilanter stationes suas custodiant. Designati autem excubitores integro numero discedant, ita ut nullus desit, neque relinquant loca,

πειν καὶ φυλάττειν τὰς ὁδοὺς ἐτάχθησαν, μήτε χρονίζειν ἐπὶ τοῖς αὐτῶν στασιδίοις, ἀλλ᾽ ἐναλλάσσειν τοὺς τόπους καὶ ἀλλαχοῦ μεταβαίνειν· ἵνα μὴ ἐπὶ πολὺ ἐγχρονίζοντες τοῖς αὐτοῖς τόποις, διαγινωσκόμενοι εὐάλωτοι γίνωνται τοῖς ἐχθροῖς.

Fol. 375 r.

### ΚΕΦ. β'. Περὶ τῶν καμινοβιγλίων καὶ κατασκόπων.

Ἀναγκαία δὲ ἡ τῶν καμινοβιγλατόρων ὑπάρχει ὠφέλεια· καὶ
B χρὴ τὸν στρατηγὸν καὶ τούτων πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν,
καὶ ἐν ἐπιτηδείοις τόποις ἐφιστᾶν τὰ καμινοβίγλια· ὅπως, ἡνίκα
κίνησις τῶν ἐχθρῶν γένηται, καὶ οἱ βιγλάτορες ταύτης αἴσθωνται διὰ τῶν καμινοβίγλων, καὶ ὁ στρατηγὸς τὴν ἔξέλευσιν τῶν
ἐχθρῶν προγινώσκῃ, καὶ ποίαν ὁδὸν ἐξελθεῖν μέλλουσι· καὶ αἱ
χῶραι, δι᾽ αὐτῶν τε καὶ τῶν ἐκσπηλατόρων καταμηνυόμεναι,
τοῖς ὀχυρώμασι καταφεύγωσι, καὶ τὰ τούτων θρέμματα. ἐν
(Armenii male excubant.) δὲ ταῖς ἄκραις τῶν Ἀρμενιακῶν θεμάτων, ἐπεὶ οἱ Ἀρμένιοι οὐ
καλῶς οὐδὲ ἀσφαλῶς τὴν τῶν βιγλῶν ἐκτελοῦσι δουλείαν, ὀφει-
C λόμενόν ἐστι φυλάττεσθαι τὸν ἀπὸ παλαιοῦ κρατήσαντα τύπον
ἐν ταῖς βίγλαις τῶν Ἀρμενίων· καὶ ἀνθρώπους ἐπιλέγεσθαι καὶ
ἀπογράφεσθαι ἐπιτηδείους, λαμβάνοντας μισθὸν ἀπὸ τοῦ στρατοῦ ἐπισωρευόμενον, ὑπὲρ ὧν ὁ τοιοῦτος στρατὸς τῇ τῶν βιγλῶν
λειτουργίᾳ ὑπηρετεῖν ὤφειλεν· ὡσαύτως καὶ ἀννώναν ἑκάστῳ
μηνὶ τὴν τετυπωμένην· καὶ ὑπαλλάττειν αὐτοὺς καθ᾽ ἕκαστον
μῆνα, καὶ δι᾽ αὐτῶν τὰς ὁδοὺς, ἐν αἷς οἱ πολέμιοι ἐξέρχονται,
φυλάττειν ἀσφαλῶς. ἀλλ᾽ ἐπεὶ οὐδὲ αὐτοὶ οἱ μετὰ μισθοῦ καὶ

2. αὐτῶν] Fort. αὐτοῖς.

unde speculari atque obsidere itinera iussi sint, neque in iisdem stationibus permaneant, sed mutent subinde locum alioque demigrent: ne, propter diuturniorem in eodem statu commorationem notati, ab hostibus facile capi possint.

### Cap. II. De custodiis itinerum et de exploratoribus.

Necessarius autem est custodum itinerum usus: et debet dux in his quoque magnam diligentiam adhibere, custodiasque viarum locis idoneis disponere: ut, quando motus hostium fit, per itinerum custodes hac de re et excubitores certiores fiant, et dux cum exiisse hostes, tum qua via irrupturi sint, praecognoscat: neque minus pagana plebs, a custodibus expilatoribusque admonita, in loca munita cum pecoribus perfugiat. In limite provinciarum Armeniae, quandoquidem Armenii neque rite neque fideliter excubitoria militia perfunguntur, convenit tenere consuetudinem antiquitus in Armeniorum vigiliis institutam: ut deligantur conscribanturque homines idonei, qui stipendium a militibus collatum accipiant, propter operam, quam exercitus in excubiis agendis ponere debuisset: item ut quolibet mense annonam constitutam capiant, singulisque mensibus commutentur, et itinera, quibus hostes erumpunt, recte custodiant. Sed quia ne illi quidem, ut Ar-

ἀννώνας, Ἀρμένιοι ὄντες, καλῶς τὴν τῶν βιγλῶν ὑπηρετοῦσι δουλείαν, ἀπὸ τῶν ἀποστελλομένων κατασκόπων χρὴ τὰς κινήσεις τῶν φοσσάτων ἀναμανθάνειν, καὶ τραπεζίτας ἐπιλέγεσθαι γεν- D ναίους καὶ ἀνδρείους, οὓς οἱ Ἀρμένιοι τασιναρίους καλοῦσι, καὶ ἐν ματρικίοις ἀπογράφεσθαι, καὶ ἀρχηγοὺς αὐτοῖς ἐφιστᾷν, οἷς, πρὸς τῇ ἀνδρείᾳ, καὶ πολλὴ ἐμπειρία τῶν ὁδῶν καὶ τῶν τῆς Fol. 875 v. Συρίας χωρῶν πρόσεστι· καὶ τούτους διηνεκῶς ἀποστέλλειν, τοῦ κατέρχεσθαι εἰς τὰς τῶν πολεμίων χώρας, καὶ καινοτομεῖν αὐτὰς καὶ βλάπτειν· καὶ εἴ που δυνηθῶσι, τινὰς κατασχεῖν τῶν πολεμίων, καὶ πρὸς τὸν τὴν ἀρχὴν διέποντα στρατηγὸν ἀποκομίζειν, ὅπως δι' αὐτῶν τὰς τῶν ἐχθρῶν κινήσεις καὶ βουλὰς ἀναμανθάνῃ.

ΚΕΦ. γ'. Περὶ κινήσεως ἐχθρῶν, καὶ τοῦ προκατασχεθῆναι τὰς δυσχωρίας. P. 122

Ἀναδιδασκόμενος δὲ ὁ στρατηγὸς τὰς τῶν ἐχθρῶν κινήσεις, ὀφείλει καὶ αὐτὸς τὸν ἴδιον λαὸν ἐπισυνάγειν καὶ ἐξοπλίζειν, καὶ πρὸς τὰς ἄκρας παραγίνεσθαι, καὶ τὸ πεζικὸν ἅπαν ἐπισυνάγειν ἐπὶ τὴν ὁδὸν, καθ' ἣν ὁρμήσουσιν οἱ πολέμιοι ἐξελθεῖν. καὶ εἰ μὲν μετ' ὀλίγης δυνάμεως τοὺς ἐχθροὺς ἐξέρχεσθαι ἀναμάθῃ, B σπευσάτω προσυπαντῆσαι αὐτοῖς, καὶ καταπολεμῆσαι μετὰ τοῦ πεζικοῦ λαοῦ, καὶ τῶν ἱππέων, εἴ γε τὸ τῶν πεζῶν στράτευμα συναγαγεῖν καὶ συστῆσαι δεδύνηται. καὶ ἐπεὶ εἰς τὰ στενώματα καὶ τὰς δυσχωρίας ἐπιτηδειότερός ἐστιν ὁ μετὰ τῶν πεζῶν πόλε-

4. τασιναρίους. Infra 126. D. τὰ τασινάκια. 8. καινοτομεῖν. Leg. κερτομεῖν s. καρποτομεῖν. Cod. suppl. κενοτομεῖν.

menii, acceptis stipendiis et annonis, excubitoriam militiam recte administrant, oportet ex indicibus dimissis motus exercituum sciscitari, et trapezitas eligere fortes ac strenuos, quos Armenii tasinarios vocant, iisque in matriculam conscriptis praefectos imponere, qui, extra virtutem, usum itinerum locorumque in Syria plurimum habeant: eosque sine intercapedine emittere, ut in agros hostium decurrentes terrorem vastitatemque inferant; quosdam ex hostibus, sicubi possint, deprehendant, eosque ad ducem, qui summam rerum administrat, perducant, ut ex illis adversariorum motus atque consilia cognoscat.

Cap. III. De motu hostium, et quo pacto angustiae praeoccupandae sint.

Dux certior factus commovisse se adversarios, debet ipse quoque suas copias cogere et armare, ad limitem se conferre, peditatum omnem ea in via congregare, qua hostes erupturi sunt. Si intellexit, cum exiguis copiis adversarios prodire, properet obviam illis occurrere, eosque cum equitatu pedestribusque copiis expugnare, si has quidem conducere atque instruere potuit. Et quoniam ad angustias locaque impedita accommodatior

μος, δέον ἐστὶ, προκαταλαμβάνειν καὶ κατέχειν τὰ ὑψηλότερα τῶν ὀρῶν μετ' αὐτῶν, καὶ ἐξ ἀμφοτέρων μερῶν, εἴπερ ἡ θέσις τοῦ τόπου ἐστὶν ἐπιτήδειος, τὰς πεζικὰς διϊστᾶν παρατάξεις. ἐν οἷς δὲ ἱππέων ἁρμόζει πόλεμον γίνεσθαι, συνεῖναι τοῖς πεζοῖς C καὶ ἱππεῖς· ἵνα τὴν τοιαύτην παρασκευὴν καὶ κατάσχεσιν τῶν Fol. 876 r. στενωμάτων ἀκούοντες οἱ πολέμιοι, ἢ τῆς ὁρμῆς ἐπισχῶσι τὴν φορὰν, ἢ καταγωνισθῶσι Θεοῦ συνεργίᾳ. ὅπου δὲ οὐκ ἐξ ἀμφοτέρων τῶν μερῶν ἡ τοῦ τόπου θέσις προσβαλεῖν πόλεμον ἁρμόζει, ἀλλ' ἐξ ἑνὸς, ὁμοίως κἀκεῖνο τὸ παρέχον μέρος προκατασχεῖν δεῖ. ἐν οἷς δὲ τὴν προσβολὴν τοῦ πολέμου ἀφ' ὑψηλοῦ βουνοῦ τὸ τοῦ τόπου ἀνεπιτήδειον γενέσθαι διακωλύει, ἀλλὰ μικρόν τι προσανωφερής ἐστιν ἡ ὁδὸς καὶ τραχεῖα, ἔχουσα καὶ ῥύακας, ὡς ἐκ τούτων στενωτάτην καὶ αὐτὴν εὑρίσκεσθαι, χρὴ τὴν τῶν πεζῶν παράταξιν ὡσαύτως ἀπὸ τῶν ὑψηλοτέρων παρα- D σκευάζειν, καὶ τὴν ὁδὸν κρατεῖν καὶ ἀποφράττειν δι' ὁπλιτῶν ἀσπιδοφόρων καὶ ἀκοντιστῶν· ὄπισθεν δὲ τούτων τοὺς ἐκ χειρῶν λίθους βάλλοντας, σὺν αὐτοῖς δὲ καὶ τοξότας καὶ σφενδονίτας· καὶ μετὰ τὴν πρώτην παράταξιν καὶ δευτέραν ἑπομένην αὐτῇ παρασκευάζειν· ἑκατέρωθεν δὲ τῆς παρατάξεως τῆς φυλαττούσης τὴν μέσην ὁδὸν, ἀκοντιστὰς καθιστᾶν, ψιλούς τε, καὶ σφενδονίτας. εἰ δὲ καὶ ἑτέρας ὁδοὺς λέγεται εἶναι δεξιᾷ καὶ εὐωνύμῳ τῆς παρατάξεως τῆς φυλαττούσης τὴν δημοσίαν ὁδὸν, ἃς οἱ ἀκρῖται ἀτραποὺς καλοῦσι, δέον καὶ ταύτας κρατεῖσθαι μετὰ πε- P. 123 ζῶν, καὶ φυλάττεσθαι ἀκριβῶς· μή ποτε, μανθανόντων τῶν πο-

Acritae, h. e. limitanei homines.

8. μερῶν] ἡμερῶν cod. 12. προσανωφελὴς cod.

est pedestris dimicatio, expedit hac armatura loca superiora occupata tenere, et ab utroque latere, si per naturam loci licet, peditum acies constituere. Ubi equestre praelium fieri potest, ibi equites quoque peditibus adiiciantur: ut hostes vel, hoc apparatu occupationeque angustiarum intellecto, incursionem atque impetum reprimant, vel Deo adiuvante debellentur. Ubi vero natura loci non patitur, ut ex utraque parte, sed ut ex altera duntaxat signa inferantur, item ea pars, unde licet decurrere, praeoccupari debet. Ubi loci iniquitas impedimento est, quominus ex superiore fastigio armatorum fiat impetus, viaque paulatim surgens aspera est, rivisque labentibus in arctissimum cogitur, oportet aciem peditum similiter locis superioribus instruere, viam ipsam autem legionariis scutatis iaculatoribusque obsidere ac sepire: post hos qui saxa manu iaciunt, et una cum illis sagittatores ac funditores constituere: item post primam aciem alteram subsidiantem instruere: ad utrumque latus autem aciei mediam viam obtinentis iaculatores disponere, leviterque armatos ac funditores. Quod si alia itinera dicuntur esse a dextra et sinistra parte aciei viam militarem obsidentis, quae itinera limitanei homines atrapes, hoc est tramites, vocant, oportet ea quoque pedestri manu occupare, diligenterque tueri: ne forte

λεμίων τὴν δημοσίαν ὁδὸν ἐν ἀσφαλείᾳ κρατεῖσθαι μετὰ πλήθους λαοῦ, εἰς ἑτέραν τῶν ἐκ πλαγίων ὁρμήσωσι, καί, εἰ μὴ καλῶς καὶ ἀσφαλῶς φυλάττηται, εὕρωσιν ἐκεῖθεν πάροδον, καὶ γενηθῶσιν ἐκ πλαγίου ἢ καὶ ἐκ νώτου τῶν παρατάξεων, καὶ περισπασμὸν καὶ φόβον τῷ Ῥωμαϊκῷ στρατῷ προξενήσωσιν. ἀμφοτέρων Fol. 876 v. δὲ ἀσφαλῶς φυλαττομένων, ἢ πρὸς μάχην τῶν πολεμίων ὁρμώντων Θεοῦ συνεργίᾳ καταισχυνθήσονται, ἢ ὀῤῥωδίᾳ κατασχεθέντες δι' ἄλλης ὁδοῦ, πολλῶν ἡμερῶν διάστημα ἀπεχούσης, τὴν ὁρμὴν ποιήσονται. καὶ ὡς ἐντεῦθεν δύο κακὰ προσγενήσονται

Quo pacto incommodentur hostes, quando angustiis occupatis, ad alias transire cogantur.

τοῖς ἐχθροῖς, ,καταλιποῦσι τὰ τούτων ἄπληκτα καὶ τὴν εὐθεῖαν ὁδόν· ἓν μέν, ταλαιπωρηθῆναι τῷ τῶν πολλῶν ἡμερῶν διαστήματι· ἕτερον δέ, τὸ καὶ ἀπώλειαν αὐτοῖς ἐπάγον, τὸ αὐτοὺς μὲν δειλανδρῆσαι καὶ ἀθυμίᾳ ὑποβληθῆναι· τοὺς δὲ Ῥωμαίους προθυμοτέρους καὶ εὐτολμοτέρους πρὸς τὸν κατ' αὐτῶν πόλεμον γενέσθαι. οἷον δὴ καὶ ἐν τοῖς ἄνω χρόνοις ἀλήστῳ τῷ Χαμβδᾷ B ἐκ τρίτου παθεῖν συμβέβηκε· δὶς μὲν ἐν τοῖς χρόνοις τοῦ ἀοιδίμου καὶ τρισμάκαρος Κωνσταντίνου τοῦ Πορφυρογεννήτου βασιλέως· ἅπαξ δὲ ἐπὶ τοῦ καλοῦ βασιλέως Ῥωμανοῦ, τοῦ μακαρίτου υἱοῦ. καὶ πάντες σχεδὸν τὴν τότε γενομένην πανολεθρίαν τῶν ἀρνητῶν τοῦ Χριστοῦ ἀκριβῶς ἐπίστανται. ἀλλὰ καὶ ὁ λαὸς C τῶν Ταρσέων καὶ τῆς τῶν Κιλίκων χώρας ἐν διαφόροις τόποις τῶν στενωμάτων παρὰ τῶν τότε τῆς ἄκρας προνοουμένων στρατηγῶν κατετροπώθησαν.

11. ὁδόν. Haec opinor recte in locum suum collocasse. In codd. verba sunt hic mire turbata. 13. Vocabulum Ῥωμαίους supplevi. 16. δὶς] διὸ cod.

certiores facti hostes, viam publicam a multitudine peditum firmius teneri, in alterum e transversis tramitibus se convertant, et, si non recte ac diligenter custodiatur, transitum ibi nacti, a latere vel a tergo acierum existentes et circumfusi, terrorem exercitui Romano inferant. Contra, si ambo probe custodiuntur, adversarii vel ad dimicationem ruentes Deo obsecundante confundentur, vel in metum adducti per aliam viam, quae multorum dierum itinere abest, incursionem facient. Unde duobus afficientur incommodis, si a castris viaque recta discesserunt: altero, quod multorum dierum itinere defatigabuntur: altero, perniciem illis allaturo, quod ipsi perturbati animos demittent, Romani contra alacriores fient atque audaciores ad illos impugnandos. Quod item superiori memoria exitioso Chambdano ter usu venit ut pateretur: bis memoria Constantini Porphyrogeniti, decantati terque beati Imperatoris: tertium sub optimo principe Romano, beati illius filio. Ac paene cuncti internecionem inimicorum Christi tunc factam optime norunt. Verum exercitus Tarsensium quoque agrique Ciliciensis ab illis, qui tunc limitem curabant, in diversis angustiarum locis fusus fugatusque est.

**ΚΕΦ. δ΄. Περὶ τοῦ ποιεῖσθαι λάθρα τὰς κατὰ τῶν ἐχθρῶν ἐπιθέσεις, καὶ περὶ τοῦ προσυπαντᾷν τοὺς πολεμίους, πρὸς τὴν ἰδίαν ἐπαναστρέφοντας.**

D *Χρὴ δὲ καὶ τοῦτο διὰ σκοποῦ καὶ μελέτης ἔχειν τὸν στρατηγόν, καὶ πᾶσαν σπουδὴν τίθεσθαι, λάθρα καὶ ἀδοκήτως, εἰ οἷόν τε, τὰς τῶν ἐχθρῶν ἐπιθέσεις ποιεῖσθαι. τοῦ γὰρ τοιούτου ἐπιτηδεύματος τυγχάνων ὁ στρατηγός, καὶ μετ' ὀλιγοστοῦ λαοῦ* Fol. 377 r. *πολλοὺς τῶν πολεμίων κατατροπώσεται. εἰ δέ, ὡς ἀνωτέρω δεδήλωται, καὶ τόπου ἐπιτύχῃ ἐν τοῖς στενώμασιν, ἐκ δύο μερῶν τοῦ κατὰ τῶν ἐχθρῶν πολέμου τὸ ἐπιτήδειον ἔχοντος, ἀδι-* P. 124 *στάκτως ἔχεσθαι τοῦ πολέμου· καὶ καλῶς τάσσων τὸν ὑπ' αὐτὸν λαόν, Θεοῦ συνεργίᾳ κατὰ κράτος τοὺς πολεμίους τροπώσεται. πλὴν κατὰ πολύ ἐστι λυσιτελέστερον καὶ ἁρμοδιώτερον, ὑπὲρ τοῦ προσυπαντᾷν τοὺς πολεμίους μέλλοντας ἐξιέναι κατὰ Ῥωμανίας, ὅτε μᾶλλον ἀπὸ τῶν ἡμετέρων χωρῶν πρὸς τὴν ἰδίαν ἐπαναστρέφουσι. τότε γὰρ διὰ τὸ ἐπὶ πολὺ χρονοτριβῆσαι αὐτοὺς ταῖς Ῥωμαϊκαῖς χώραις, μεγάλως συντρίβονται καὶ ταλαιπωροῦνται. εἰ τύχῃ δέ, καὶ πλῆθος πραγμάτων καὶ ἀνδραπόδων ἐπιφέρονται καὶ κτηνῶν, καὶ αὐτοί τε καὶ οἱ ἵπποι αὐτῶν κατακοπιῶντες, ἐν καιρῷ πολέμου ἐκλελυμένοι εὑρίσκονται, σπεύ-* B *δοντες καὶ ἐπιθυμοῦντες τάχιον τὴν ἰδίαν καταλήψεσθαι χώραν. ἄλλως τε δὲ καὶ τὰ τῶν Ῥωμαίων στρατεύματα ἐν τῇ τῶν ἡμερῶν παρατάσει οὐ μόνον τὰ πλησίον τῶν κλεισουρῶν τάχιον ἐπι-*

16. κατακοπιῶντες. Fort. κατάκοποι ὄντες. Infra 132. A. κατάκοπον ὄντα. 20. παραστάσει cod.

**Cap. IV. Quo pacto insidiae clam hostibus faciendae sint, et quemadmodum adversariis occurrendum sit domum redeuntibus.**

Debet illud quoque proponere sibi ac meditari dux, omnemque diligentiam adhibere, ut clam et inopinato, si fieri potest, hostes adoriatur. Etenim eiusmodi commento usus dux vel cum parvula manu multitudinem hostium fundet. Ad haec si, ut superius demonstratum est, in angustiis locum nanciscitur, qui opportunitatem habeat ad hostes utrinque ex lateribus aggrediendos, debet sine ulla dubitatione in aciem descendere: et, copiis recte a se ordinatis, ope Dei adversarios magnifice vincet. Nihilominus expeditius multo est et convenientius, potius quam occurrere hostibus in fines Romanos exituris, adoriri eos ex nostra ditione ad suam revertentes. Tunc enim ob diuturnam in agro Romano moram attenuati admodum atque afflicti erunt. Quod si casu praedarum, mancipiorum, pecudis magnam vim secum trahunt, cum ipsi tum equi defatigati praelii tempore remissiores inveniuntur, festinantque praeterea ac desiderant in suos fines primo quoque tempore pervenire. Deinde, quod caput est, productione temporis copiae Romanorum, nec solum quae prope fauces agunt, sed etiam quae longius

σωρεύονται, ἀλλὰ καὶ τὰ πόῤῥω τυγχάνοντα· καὶ εἰς πλῆθος ἐπισυνίστανται ἱκανὸν, καὶ καλῶς πρὸς πόλεμον ἐξαρτύονται καὶ παρασκευάζονται. καὶ τότε μᾶλλον, καθάπερ προέφημεν, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ὁ κατ᾽ αὐτῶν πόλεμος ἀδίστακτον ἔχει τὴν νίκην. διὸ χρὴ τὸν στρατηγὸν μηδέπω ἐν τῇ ὑποστροφῇ καταλιμπάνειν. τὸ δὲ ἐν τῇ ἐξελεύσει τῶν πολεμίων παρασκευάζεσθαι προσυπαντᾷν αὐτοὺς πρὸς πόλεμον ἐν τοῖς στενώμασιν, ἀνεπιτηδειότερον μέν ἐστι, καὶ εἰς μάτην ἴσως τὸν κόπον συνέβη γίγνεσθαι· C
διὰ τὸ μὴ οὕτως συντόμως δι᾽ ὀλίγων ἡμερῶν δύνασθαι τὸ πε- Fol. 377 v.
ζικὸν συναθροισθῆναι στράτευμα, καὶ καλῶς παρασκευασθῆναι. ἄλλως τε δὲ καὶ οἱ πολέμιοι, ἀκμῆτες ὄντες καὶ ἀπαρόπλιστοι, δυσκαταγώνιστοι ἔσονται. κατὰ τοῦτο δὲ τὸ ὠφέλιμον ἔχει καὶ χρήσιμον, καθὸ ἐμφόβους αὐτοὺς γίγνεσθαι, ὁσάκις ἂν βουληθῶσιν ἐξελθεῖν, τῇ κατασχέσει τῶν στενωμάτων, καὶ τὴν μετ᾽ ὀλίγον ἐκκοπεῖν κατὰ τῶν Ῥωμαϊκῶν θεμάτων συνεχῆ ἐξέλευσιν.

ΚΕΦ. ε΄. Περὶ προκατασχέσεως ὑδάτων, τῶν ἐν τοῖς στενώμασιν ὄντων. D

Ἐν οἷς δὲ τόποις τῶν στενωμάτων καὶ κλεισουρῶν πρὸς πόλεμον ὁ στρατηγὸς παρασκευάζεται, εἴπερ ἐν τούτοις πηγή ἐστιν ὕδωρ βρύουσα, ὑπὸ τοῦ ἰδίου λαοῦ ταύτην σπουδάσῃ κατασχεθῆναι, ὥστε τὸ ἐκεῖθεν ὕδωρ τὸν λαὸν ἀπαρύεσθαι. εἰ δὲ τύχῃ ὀλιγοστὸν εἶναι, σπουδάσῃ μὴ ἐπιθολοῦσθαι τοῦτο, καὶ ὡς μὴ οὐ μικρὰ ἐκ τούτου λύπη τὸν λαὸν καὶ ἀνάγκη ἐπισυμβήσεται. πηγῆς
δὲ ἔγγιστα μὴ οὔσης, ἐξ ἧς τὴν πόσιν καὶ ἀναψυχὴν ὁ λαὸς ἐφευ- P. 125

absunt, cito congregantur: numeroque quantum oportet auctae recte instrui ac parari ad bellum possunt. Et tunc potius, quemadmodum dictum est, vel interdiu vel nocte commissum cum illis praelium indubitata victoria consequetur. Quamobrem dux ab illis redeuntibus facessere nunquam debet. Contra, hostibus irrumpentibus occurrere in angustiis velle, manus conserendae causa, minus conveniens id quidem est, atque eveniet fortasse, ut totus ad irritum cadat labor: quod non tam cito paucorum dierum spatio cogi iusteque instrui peditatus potest. Accedit, quod maximi momenti est, hostes tunc, ut integros necdum armis destitutos, difficilius impugnari. Ex altera autem parte utilitatem commoditatemque habet illam, ut timidi fiant, si, quotiescunque erumpere velint, angustiae armis teneantur, utque brevi continuas in provincias Romanas incursiones intermittant.

Cap. V. De praeoccupatione aquarum in angustiis.

Quibus autem locis angustiarum et faucium dux bellum instruit, si iis in locis fons est aquam eructans, eum ab exercitu occupandum curet, ut sui inde milites aquari possint. Si tenuiter manat, operam det ne turbetur, unde incommoditas necessitasque haud parva exercitui obvenire potest. Si non subest fons propinquis locis, unde potum refrigerationemque

ρίσκῃ, καὶ μάλιστα ἐν καιρῷ θέρους, ἀσκοὺς διορισάτω ἐν ἑκάστῃ ἑκατονταρχίᾳ δέκα ἐπιφέρεσθαι, καὶ δι' αὐτῶν τὸ ὕδωρ ἐπικομίζεσθαι, καὶ ἐν ὥρᾳ τῆς μάχης εἰς πόσιν καὶ ἀναψυχὴν τοῖς ἐν τῷ πολέμῳ ἀγωνιζομένοις ἐπιχορηγεῖσθαι. ἀλλὰ περὶ μὲν τῶν ἐν τοῖς στενώμασι μελλόντων πρὸς πόλεμον ἐξαρτύεσθαι, ἱκανῶς εἰρήσθω. εἰ δὲ καὶ νυκτοπόλεμον δεήσει ἐν ταῖς τοιαύταις δυσχωρίαις γενέσθαι, καὶ τοῦτο πάνυ ὠφέλιμον. ἀλλὰ περὶ μὲν τούτων ἐν ἑτέρᾳ διηγήσει δηλώσω. τῆς δὲ παραδρομῆς ἄρξομαι τὴν εἰσ-
Fol. 378 r. ήγησιν· ἥτις ἐπωφελὴς καὶ ἀναγκαία τυγχάνουσα, δι' ὀλίγου
B καὶ εὐαριθμήτου λαοῦ πολλὰ τῶν πολεμίων πλήθη ἀπρακτεῖν παρασκευάζει, Θεοῦ δὲ νεύσει ὡς τὰ πολλὰ καὶ καταγωνίζεται.

**ΚΕΦ. ς'. Περὶ παραδρομῆς τῶν μονοκούρσων, καὶ στοχασμοῦ τῆς τοῦ λαοῦ αὐτῶν ποσότητος.**

Monocursa quid.

Τὰ τῶν πολεμίων κοῦρσα τὰ λεγόμενα μονόκουρσα ἀπὸ τῆς ἰδίας χώρας ἐξερχόμενα, πεζῶν ἄνευ, ἔθος αὐτοῖς σπουδῇ τὴν
C πορείαν ποιεῖσθαι, καὶ μηδαμοῦ ἀπληκεύοντας τὴν ὅλην νύκτα διαβιβάζειν· ἀλλὰ πρὸς μικρὸν τοὺς ἵππους διαναπαύειν, πρὸς τὸ τὰς ταγὰς καὶ μόνον τούτοις ἀποδοῦναι. ὡς ἐπίπαν γὰρ τὰ μονόκουρσα μετ' ὀλιγοστοῦ καὶ ἐκλεκτοῦ λαοῦ τὴν ἐξέλευσιν ποιοῦνται. σπεύδουσι δὲ τάχιστα καταλαβεῖν, ἐν οἷς χωρίοις τὴν ἐπίθεσιν καὶ ἐκδρομὴν ἐβουλεύσαντο ποιῆσαι. τοῦ οὖν στρατηγοῦ παρά τε τῶν καμινοβιγλίων καὶ τῶν βιγλατόρων τὴν τούτων ἐξέλευσιν ἀναμανθάνοντος, σπουδῇ πολλῇ τὰ ἐν ταῖς ἄκραις

milites capiant, aestivo praesertim tempore, iubeat in qualibet centuria utres esse decem, quibus portetur aqua, temporeque pugnae iis qui in acie versantur, potus refrigeriique causa distribuatur. Verum de iis, quae in angustiis constitui dimicandi causa debent, haec sufficiant. Quod si etiam noctu in eiusmodi locis impeditis manum conserere oporteat, ea ipsa utilia admodum esse poterunt. Verum de dimicatione nocturna exponam alio capite. Nunc qua ratione consectari hostes debeas, dicere ordiar: quae ratio ut perutilis ac necessaria est, ita efficit, ut parvula infirmaque obiecta manu ingens hostium multitudo non modo nihil proficiat, sed etiam plerumque Dei numine fundatur fugeturque.

**CAP. VI. De consectando equestri agmine, quod praedatum incurrat, et quo pacto numerum militum eius inire possis.**

Praedatoria agmina hostium, quae monocursa vocantur et absque peditatu e suis finibus erumpunt, itinere confestim facto nusquam considere totaque nocte continenter ire consueverunt: iumentis tantum requietis concedentia, quantum satis sit ad pabulum illis dandum. Nam omnino monocursa cum paucis admodum sed delectis equitibus existunt. Contendunt autem, ut ad vicos, quo impressionem impetumque facere constituerunt, primo quoque tempore perveniant. Dux, per custodias itinerum excubitoresque de eorum irruptione certior factus, magna diligentia ad vicos limi-

καταλαμβανέτω χωρία, προαποστέλλων τουρμάρχην εἴτε ἕτερον ἄρχοντα, τῶν ἐμπειροτάτων καὶ χρησίμων, μετὰ ἐκλεκτῶν ἀρ- D χόντων καὶ καλοϊππαράτων, τοῦ προσυπαντῆσαι, καὶ μετὰ ἐμπειρίας τούτους θεάσασθαι, καὶ παραμεῖναι, καὶ τῷ στρατηγῷ καταμηνύειν ἐν ᾧ τόπῳ κατέλαβον, εἰ δυνατὸν διασκοπεῖν, καὶ τὴν τοῦ λαοῦ αὐτῶν ποσότητα. οὐ μόνον γὰρ ἀπὸ τῆς θέας δυνατόν ἐστιν ἀριθμῆσαι αὐτοὺς καὶ καταστοχάσασθαι, ἀλλὰ καὶ ἐκ τῆς τούτων ὁπλῆς. πλῆθος γὰρ χόρτου ἐρημίαις ὑπάρχον, καὶ τοῖς Fol. 378 v. ποσὶ τῶν ἀλόγων καταπατούμενον, οἱ τῶν ἀνδρῶν ἐμπειρότατοι δύνανται ἐκ τούτου τὴν τοῦ λαοῦ ποσότητα, εἰ καὶ μὴ ἀκριβῶς, καταστοχάσασθαι. ὡσαύτως δὲ καὶ ἐν τοῖς τῶν ποταμῶν περάμα- P. 126 σιν· ἀκριβέστερον δὲ καὶ ἀπὸ τῶν τούτων ἀπλήκτων, ἡνίκα ἐκεῖθεν ἀπαίρουσιν. ὁ δὲ στρατηγὸς, τοῦ κούρσου τῶν πολεμίων τὴν ἄφιξιν ἀναμανθάνων, καὶ τῶν χωρίων, ἐν οἷς τὰς ἐκδρομὰς ποιήσασθαι μέλλουσι, στοχασάμενος, πλησίον τούτων γινέσθω· καὶ ἐν ἐπιτηδείῳ τόπῳ ἑαυτὸν ἀποκρύψας μετὰ τοῦ λαοῦ αὐτοῦ, βίγλας τε καβαλλαρίων πανταχοῦ ἀποστείλας, ἡνίκα περὶ αὐτῶν καταμηνυθείη, καὶ θεαθῶσιν ἐξελαύνοντες καὶ διασκορπιζόμενοι, ἐξέλθῃ εἰς τὸ σκόρπισμα, καὶ τούτοις ἐντυγχάνων ἀπόνως αὐτοὺς καταγωνίσεται. εἰ δὲ συμβῇ τινας τῶν χωριτῶν κρατηθῆναι παρ' E αὐτῶν πρὸ τοῦ ἐξελάσαι, καὶ ἀναμαθεῖν τήν τε τοῦ στρατηγοῦ παρουσίαν καὶ τὴν τῶν χωρίων ἐπέλευσιν, καὶ οὐ θαῤῥήσουσιν ἐξελάσαι, ἄπρακτοι σπουδαίως πρὸς τὴν ἰδίαν ὑποστρέψουσι χώραν, μόνον τὸν κόπον καὶ τὴν συντριβὴν καὶ ταλαιπωρίαν ὑποστάντες.

2. ἀρχόντων. Fort. στρατιωτῶν. 24. σκοπὸν codd.

taneos sese conferat, praemisso turmarcha aut aliquo praefecto, ex peritissimis et probatis, qui praepositos delectos bonisque equis instructos secum habeat, ut obviam illis progressus ex usu militari eos consideret, iuxtaque manens duci renunciet, cum quem locum ceperint, tum, si dispicere id quoque potest, eorum multitudo quanta sit. Non solum enim ex visu numerum eorum inire atque aestimare licet, verum etiam ex impressis ungularum vestigiis. Nam cum vis herbae in solitudinibus sit, pedibusque iumentorum conculcetur, homines valde exercitati copiarum numerum, etiamsi non accurate, intelligere possunt: item ex fluminum traiectionibus: tum accuratius etiam ex eorum mansionibus, postquam inde moverunt. Dux autem, cognito praedatorum hostilium adventu, vicos, quo irrupturi sint, suspicans, propius ad hos accedat: locoque idoneo cum manu sua abditus, si a stationibus equitum quoquoversus dimissis admonetur, hostesque egressi atque dissipati conspiciuntur, in dispersos erumpat, illosque invadens nullo negotio expugnabit. Sin autem accidit, ut ex agricolis aliquot a se captis antequam egrediantur, ducem et venisse et occupasse vicos intelligant, ideoque non audeant excurrere, infecta re raptim se domum recipient, nihil praeter laborem, lassitudinem, aerumnas consecuti.

ΚΕΦ. ζ'. Περὶ συναθροίσεως καὶ κινήσεως φωσσάτου· καὶ περὶ τοῦ παραχωρεῖν τοὺς πραγματευτὰς εἰσέρχεσθαι καὶ κατασκοπεῖν.

Arabes quo mense incurrebant saec. X in fines Romanos.

C Παρασκευὴν δὲ καὶ κίνησιν μεγάλου φωσσάτου ἀκούων, ἐν ᾧ καιρῷ μάλιστα εἴωθε τὰ μεγάλα συναθροίζεσθαι φωσσάτα, ἤγουν τῷ Αὐγούστῳ μηνί· ἐν γὰρ τῷ τοιούτῳ καιρῷ ἀπό τε Αἰγύπτου, Παλαιστίνης τε καὶ Φοινίκης, καὶ τῆς Κοίλης Συρίας, πλήθη ἀνήρχοντο ἐν Κιλικίᾳ, καὶ ἐν ταῖς χώραις Ἀντιοχείας, τοῦ Χάλεπε, καὶ προσλαμβάνοντες καὶ Ἄραβας τῷ Σε- Fol. 379 r. πτεμβρίῳ μηνὶ τὴν κατὰ Ῥωμαίων ἐποιοῦντο ἐξέλευσιν· ἐν τῷ τοι- D ούτῳ τοίνυν καιρῷ, ὅτε ἡ συνάθροισις τοῦ φωσσάτου τῶν πολεμίων μέλλει γίνεσθαι, συνεχέστερον τοὺς τραπεζίτας ἀποστέλλειν, ἤτοι τὰ τασινάκια, καὶ κατασκόπους πλείστους τῶν χρησίμων καὶ πιστῶν. παραχωρεῖν δὲ καὶ πραγματευτὰς εἰσέρχεσθαι· προσποιεῖσθαι δὲ καὶ φιλίαν πρὸς τοὺς κρατοῦντας ἀμηράδας τῶν ταῖς ἄκραις ἡμῶν παρακειμένων κάστρων· καὶ γράφειν πρὸς αὐτούς, καὶ ἀνθρώπους μετὰ κανισκίων ἀποστέλλειν· ὅπως διὰ τῆς πολυειδοῦς ταύτης πολυπραγμοσύνης δυνηθῇ σαφῶς ἀναδιδάσκεσθαι τὰς τῶν πολεμίων βουλὰς καὶ μελέτας, καὶ τὰ πλήθη P. 127 τῶν ἐπισωρευομένων φωσσάτων ἱππέων τε καὶ πεζῶν, καὶ τοὺς τούτων ἀρχηγούς, καὶ ἐν ποίαις χώραις τὴν ἐπέλευσιν ποιεῖν βούλονται. καταμηνυόμενος δὲ τὴν τοῦ φωσσάτου ἀποκίνησιν, καὶ διὰ ποίας ὁδοῦ τὴν ἐξέλευσιν κατὰ Ῥωμανίας ποιεῖσθαι μέλλει, ἐπισυνάγειν ἅπαντα τὰ στρατεύματα, καὶ πρὸς τὰς ἄκρας παραγίνεσθαι, ἀποστέλλειν δὲ τουρμάρχην ἐμπειρότατον, εἴτε ἕτερόν

9. συνεσχέστερον codd. 22. δέ. Fort. τε.

Cap. VII. De contractione et motu exercitus: et de eo, ut mercatoribus permittatur, intrare hostium fines, ac speculari.

Si audis instrui et moveri magnum exercitum, quo plerumque tempore amplae copiae congregari solent, hoc est mense Augusto: ea enim tempestate ex Aegypto, Palaestina, Phoenicia, Coelesyria, catervae hominum in Ciliciam finesque Antiochiae, circa Alepum, emergebant, et assumtis Arabibus mense Septembri in Romanos faciebant incursionem: eo, inquam, tempore, quo exercitus hostilis coiturus est, expedit crebrius cursores sive tasinacia, indicesque plurimos ex proborum atque fidelium numero, emittere. Item mercatoribus potestatem facere introeundi: cum amiris, qui oppidis fines nostros adiacentibus praesunt, amicitiam contrahere: scribere ad illos, homines cum donis mittere: ut his variis actionibus cum consilia atque cogitationes hostium, tum numerum copiarum equestrium et pedestrium quae cogantur, praefectosque earum, et in quas provincias incursionem facere instituerint, plane dux perdiscat. Ita certior factus cum de motu exercitus, tum de itinere, quo in fines populi Romani irrupturus est, debet coactis omnibus copiis ad limitem progredi, et sive turmarcham peri-

τινα τῶν μεγάλων καὶ χρησίμων ἀρχόντων, μετὰ ἱππέων ἐπιλέκτων προσυπαντῆσαι τοῖς πολεμίοις πρὸ τοῦ τὴν εἰσβολὴν εἰς τὰς ἡμῶν χώρας ποιήσασθαι· ἵνα καὶ ἐπακολουθῶσιν αὐτοῖς, καὶ παραμένωσι, καὶ τὰς ἀποκινήσεις αὐτῶν τῷ στρατηγῷ καταμηνύωσιν. B

**ΚΕΦ. η΄. Περὶ παραμονῆς φωσσάτου, καὶ ἀκολουθήσεως.** Fol. 379 v.

Ἡ δὲ παραμονὴ αὐτῶν οὕτως ὀφείλει γίνεσθαι. τοῦ στρατηγοῦ μετὰ παντὸς τοῦ λαοῦ ἐν ἐπιτηδείῳ καὶ ὀχυρῷ τόπῳ παρατρέχοντος, καὶ τῶν χωρίων διὰ τῶν ἐκσπηλατόρων φυγαδευομένων ἐν τοῖς κάστροις, ἤ, μὴ ὄντων κάστρων, ἐν ὄρεσιν ὑψηλοῖς C καὶ ὀχυρωτάτοις καὶ ἀνεπιβουλεύτοις, ὁμοίως καὶ πάντα τὰ κτήνη αὐτῶν· δέον ἀποστέλλειν καὶ τὸν ὀφείλοντα παραμένειν ἀπὸ δευτέρας ὥρας ἢ καὶ τρίτης τῆς ἡμέρας. καὶ εὐχὴν λαμβάνοντας τοῦ στρατηγοῦ, ἀναλαμβάνεσθαι τὸν λαὸν αὐτοῦ, καὶ τοὺς παρασυρτάτους, καὶ ὁρμᾷν πρὸς τὴν ὁδὸν, καθ' ἣν οἱ πολέμιοι διέρχονται, τὴν ἀποσκευὴν αὐτοῦ καὶ τοὺς παριππαράτους καταλιμπάνων μετὰ τοῦ στρατηγοῦ, μηδὲν ἄλλο ἐπιφερομένους ἢ μιᾶς ἡμέρας τροφὴν, καὶ αὐτὴν μετὰ ἐνδείας, ἄρτους μόνους καὶ τυρὸν, ἢ καὶ τάριχα, καὶ τὰς τῶν ἵππων καὶ ἡμιόνων ταγάς. εἰς χωρίον δὲ ἀπληκεύων, τάς τε χρείας καὶ τὴν τῶν ἀλόγων τροφὴν ἐφευρίσκων, διαναπαυσάτω ἐκεῖσε τὸν λαὸν αὐτοῦ καὶ τὸν ἵππον, D ἕως ὥρας ἐννάτης τῆς ἡμέρας, βίγλας κρατῶν ἐν ὑψηλοτέροις

12. Fort. λαμβάνοντα. De voce λαβεῖν εὐχὴν Ducang. Glossar. I. 451. C. 20. τὸν ἵππον] Fort. τὴν ἵππον.

tissimum, sive aliquem ex magnis probatisque praefectis praemittere, qui cum equitibus delectis hostibus occurrat, antequam irruptionem in provincias nostras fecerint: ut et insequantur illos, et speculentur, et motus illorum duci renuncient.

Cap. VIII. De ratione observandi atque insequendi exercitum.

Observandi hi sunt hunc in modum. Dum dux cum omnibus copiis per locum opportunum ac munitum iuxta iter facit, pagani autem cum omnibus suis pecoribus intra oppida, aut, si nulla oppida subsunt, in montes editissimos et munitissimos eosdemque insidiis minus obnoxios, ab expilatoribus compelluntur: item eum, qui lateri hostium adhaereat, circa horam diei alteram vel tertiam emitti oportet. Is accepta benedictione ducis, postquam assumsit catervam suam atque equisones, conferat se ad viam, qua hostes transeunt: impedimenta sua et agasones apud ducem relinquat, neque quicquam secum ferat praeter unius diei cibaria, atque ea angusta, buccellatum duntaxat et caseum, aut salsamenta, et equorum ac mulorum pabula. Si in vicum pervenit, ubi victum iumentorumque pabulationes inveniat, reficiat ibi milites et equos usque ad horam nonam diei, stationibus per loca

τόποις. καὶ αὐτὸς ἐκεῖνος ὁ τοῦ λαοῦ ἀρχηγὸς, ἐν περιωπῇ ὑψηλοτάτῃ ἀνερχόμενος, ἀποσκοπεῖν ὀφείλει καὶ βλέπειν κονιορτοὺς τῶν πολεμίων καὶ καπνούς· καὶ ὡς ἐκ τούτου κατανοεῖν καὶ στοχάζεσθαι, ἐν οἷς διέρχονται καὶ ἀπληκεῦσαι μέλλουσιν. ὑπὸ γὰρ τῶν ἐμπείρων ἀνδρῶν καὶ οἱ τόποι, ἐφ᾽ οἷς προσήκει ἄπληκτα γί-
Fol. 380 r. νεσθαι, διαγινώσκονται. ἡνίκα δὲ αἴσθωνται τοῦ τόπου, ἐν ᾧ
P. 128 ηὐλίσαντο οἱ πολέμιοι, παραυτίκα δηλῶσι τῷ στρατηγῷ περὶ τούτου. κἀκεῖνος μετὰ τοῦ ἰδίου στρατοῦ θώρακας ἀμπεχομένου καὶ τὰ λεγόμενα ἐπανωκλίβανα μὴ λευκὰ ὄντα, ἐπὶ χεῖρας ἕκαστος τὸ μεταχειριζόμενον ὅπλον κατέχων, τὴν ὁδοιπορίαν ποιείτω. τοῦ δὲ ἡλίου ὑποκλίναντος, καὶ τῶν εἰς λείαν ἐκ τοῦ φωσσάτου ἐξερχομένων πολεμίων ὑποστρεφόντων πρὸς τὰς σκηνὰς αὐτῶν, καὶ τὰ φοῦλκα τούτους φυλάττοντα, τότε συνεισέρχεσθαι καὶ αὐτὸν καὶ πλησιάζειν τῷ τῶν ἐχθρῶν φωσσάτῳ. μετὰ σκοποῦ δὲ ὁδοιπορείτω
B καὶ προσοχῆς ἀκριβοῦς, καὶ λαθραίως· καὶ ἑαυτὸν ὑποκρυπτέτω, τοῦ μὴ θεαθῆναι παρὰ τῶν πολεμίων. νυκτὸς δ᾽ ἤδη καταλαμβανούσης, πλησίον γενέσθω τοῦ ἀπλήκτου· καὶ εἰ μέν ἐστι βουνὸς ὑψηλὸς, ἐν ᾧ ηὐλίσαντο οἱ πολέμιοι, ἐξ ἑνὸς μέρους ἢ καὶ ἐκ δύο πλησίον τοῦ ἀπλήκτου αὐτῶν, ἀπόνως τὴν παραμονὴν ἐν ἐκείνῳ τῷ τόπῳ φυλάξουσιν. ἀποβάντες γὰρ τῶν ἵππων καὶ πεζῇ ἐν τῷ βουνῷ ἀνερχόμενοι ἄνδρες δύο τῷ ἀριθμῷ ἢ καὶ τρεῖς, καὶ πλησιάζοντες τῷ ἀπλήκτῳ, ἀπὸ τῶν ὑψηλῶν ἐκείνων καὶ ὀχυρωτάτων βουνῶν, τῶν μὴ δυναμένων ἄνοδον εὐχερῆ παρέχειν τοῖς πολεμίοις, ὁρᾶν τὸ φωσσάτον, καὶ τὰς φωνὰς τοῦ λαοῦ ἐνωτίζεσθαι,

Quomodo noctem agere debent speculatores.

6. αἴσθωνται] ἔσονται cod.

editiora dispositis. Ipse agminis praefectus, altissima specula conscensa, observare aucuparique debet pulveres hostium et fumos: unde colligat aestimationemque faciat, qua transeant et consessuri sint. Etenim a peritis hominibus loca quoque, ubi castra fieri expediat, internoscuntur. Ubi intellexerint quo loco adversarii constiterunt, evestigio hac de re ducem certiorem faciant. Is cum suo exercitu, loricis et sagis (epanoclibana vocant), quae oportet non candida esse, instructo, ita ut unusquisque proprium telum in manibus habeat, iter ingrediatur. Sole ad obitum vergente, quando praedatores hostium castris egressi, simulque praesidia eorum tuendorum causa disposita, ad tentoria revertuntur, ille quoque sequi et ad castra hostium adventare debet. Iter autem cum cautione, attentione diligenti, ac latenter faciat: seque abdat, ne ab adversariis conspiciatur. Nox postquam venit, accedat ad castra: ac si in loco, ubi consederunt hostes, ab uno latere, vel etiam a duobus, tumulus editus castris imminet, facile sane observationem illo in loco peragent. Nam duo milites aut tres, descendentes ex equis, et pedibus in tumulum evadentes, ubi ad castra appropinquaverint, ex editis illis naturaque munitis collibus, quo ascensus facilis nullus hostibus patet, cum videre castra poterunt, tum audire voces

καὶ τοὺς τῶν ἵππων καὶ ἡμιόνων χρεμετισμούς. ἀποστέλλειν δὲ C καὶ ἕτερα τέσσαρα τετράδια ἵστασθαι ἐφίππους καὶ αὐτοὺς ἔνθεν κἀκεῖθεν τοῦ φωσσάτου, ἀπ' ἀλλήλων διακεχωρισμένα· ὥστε καὶ αὐτοὺς ἀκούειν τοὺς χρεμετισμοὺς τῶν ἵππων καὶ ἡμιόνων, καὶ τὴν τοῦ λαοῦ ὀχλαγωγίαν. εἰ δὲ ἐν τῷ τοῦ ἀπλήκτου τόπῳ τοιοῦτος Fol. 880 v ὀχυρώτατος βουνὸς οὐκ ἔστι, καὶ ὡσαύτως τέσσαρα τετράδια ἀποστέλλεσθαι, τοῦ ἔνθεν κἀκεῖθεν τοῦ φωσσάτου ἡσύχως ἵστασθαι, καὶ σύσσημα παρέχειν ἀλλήλοις σημαντικὰ ὑποχωρήσεως, εἴγε δεήσοι, εἴτε διὰ συρισμοῦ, εἴτε διὰ λόγου καὶ ἐπιλαλιᾶς. ὑπαλλάττεσθαι δὲ αὐτοὺς παρ' ἑτέρων, εἴτε δεύτερον τῇ νυκτὶ, ἢ καὶ ἅπαξ, πρὸς τὸ καὶ αὐτοὺς καὶ τοὺς ἵππους αὐτῶν διαναπαύεσθαι. ἀπέρ- D χεσθαι δὲ τὸν τουρμάρχην, εἴτε ἑτέραν τινὰ κεφαλὴν, εἰς τὴν τούτων ἀπαλλαγὴν, καὶ ἐπιβλέπειν, ποῦ καὶ πῶς ἵστανται, καὶ τοὺς ἀντ' ἐκείνων πάλιν καλῶς ἐφιστῶν ὑποστρέφειν ἐν ᾧ καὶ ἵστατο πρότερον. ταραχῆς δὲ ἐξακουομένης κίνησιν δηλούσης τοῦ κούρσου, τὰ τέσσαρα τετράδια μικρὸν ἀναποδιζέτωσαν, μὴ μέντοι δὲ μακρόθεν γινέσθωσαν· τῷ δὲ τουρμάρχῃ μηνυέτωσαν τὴν τῶν πολεμίων ἀποκίνησιν. αὐτὸς δὲ μηνυέτω τῷ στρατηγῷ, δι' οἵας ὁδοῦ τὴν ὁρμὴν ἐποιήσαντο, καὶ ἐν οἵᾳ ὥρᾳ· ἵνα τὸν καιρὸν καὶ τὴν ὥραν τῆς ἀποκινήσεως αὐτῶν ἀναμανθάνων ὁ στρατηγὸς δύνηται P. 129 στοχάσασθαι, ἐν οἵοις χωρίοις καταλάβωσιν ἄχρι πρωΐας. οἱ δὲ ἀποστελλόμενοι παρὰ τοῦ τουρμάρχου καταμηνῦσαι τῷ στρατηγῷ, ἐν ᾧ τόπῳ ὁ στρατηγὸς ηὐλίζετο, τὴν τοῦ κούρσου ἀποκι-

8. σύσσημα] σύστημα codd. Sed vid. Ducang. Glossar. verbo Σύσσημον.

hominum, equorumque et mulorum hinnitus. Dimittat item alias quatuor quadrigas, quae in equis ipsae quoque ab utroque latere castrorum, quaelibet seorsum, agant: ut eodem modo hinnitus equorum ac mulorum fremitumque multitudinis exaudire queant. Quod si in loco castrorum eiusmodi natura munitus tumulus non est, nihilominus debes quatuor quadrigas mittere, quae ad utrumque latus exercitus hostilis silentio stent, et signa sibi inter se dent conventa receptus, si opus est, aut sibilo, aut verbo et vocatu. Easdemque oportet, vel bis nocte, vel semel, aliis permutare, ut cum illae tum equi earum requiescant: ipsum item turmarcham, aut aliquem praefectum, ad earum immutationem venire, inspicere, ubi et qua ratione stationem agant, et postquam succedentes apposite locaverit, ad eum locum reverti, ubi prius stetisset. Si strepitus exauditur motum praedatorum significans, quatuor quadrigae paululum pedem referant, ita tamen, ut longius ne discedant: ad turmarcham profectionem hostium nuncient. Is ducem certiorem faciat, qua via impetum fecerint, et qua hora: ut dux, tempore et hora profectionis eorum cognita, coniecturam facere possit, ad quos vicos usque ad mane perventuri sint. Milites a turmarcha missi, quocunque hic loco pernoctat, ibi duci nuncient, praedatores profectos

νησιν. ἐπὰν δ' οὐχ εὑρήσωσιν ἐκεῖσε αὐτὸν, ἀλλ' ὑποδοχαρίους τοὺς παρ' αὐτοῦ καταλειφθέντας, δέον ἐν ἐκείνῳ τῷ τόπῳ γενομένους φωνῆσαι· τοὺς δὲ ὑποδοχαρίους ἀκριβῶς διασκοπουμένους, ἡνίκα τῆς φωνῆς αἴσθωνται, ἑνωθῆναι, καὶ διὰ τάχους Fol. 381 r. τῷ στρατηγῷ τούτους προσάξαι, εἴτε εἰς ἑτέρους πάλιν ἀγαγεῖν B ὑποδοχαρίους, τοῦ στρατηγοῦ ἴσως πάλιν μετακινήσαντος. χρὴ γὰρ αὐτὸν, εἴτε ἅπαξ, εἴτε καὶ δὶς, ἐν νυκτὶ μεταπληκεύειν διὰ πολλὴν ἀσφάλειαν, πρὸς τὸ μὴ ὑπὸ τῶν πολεμίων ἐνεδρευθῆναι, ἔχειν δὲ αὐτὸν καὶ βίγλας διπλᾶς, εἰς φυλακὴν αὐτοῦ ἀσφαλεῖς.

### ΚΕΦ. θ'. Περὶ τῆς κινήσεως τοῦ κούρσου, καὶ ἀκολουθήσεως.

Τοῦ στρατηγοῦ τοίνυν τὴν κίνησιν τοῦ κούρσου ἀναμανθά- C νοντος, παραυτίκα καὶ ἕτερον ἄρχοντα μεθ' ἱππέων ἐκλεκτῶν, ὑποτασσόμενον τῷ τουρμάρχῃ τῷ ἀκολουθοῦντι τῷ κούρσῳ, ἀποστέλλειν πρὸς αὐτόν· ἔχων μεθ' ἑαυτοῦ ὁ ἀποστελλόμενος ἕνα τῶν παρὰ τοῦ τουρμάρχου πεμφθέντων, καταμηνύσαι τὴν τοῦ κούρσου κίνησιν τῷ στρατηγῷ, τοῦ παρ' αὐτοῦ ὁδηγηθῆναι εἰς τὸ εὐχερῶς ἑνωθῆναι. καὶ αὐτὸς δὲ ὁ στρατηγὸς ὄπισθεν τοῦ ἀποστελλομένου ἄρχοντος ἀποκινησάτω μετὰ τοῦ ὑπ' αὐτὸν λαοῦ, καὶ σπευσάτω καταλαβεῖν τὸν τουρμάρχην· ὅπως ὄπισθεν καὶ αὐτὸς τοῦ τουρμάρχου τῷ κούρσῳ τῶν πολεμίων ἀκολουθῇ. ἡ D γὰρ ἀκριβὴς καὶ ἄπταιστος ἀκολούθησις ἐκ τῶν ὄπισθεν τῶν πολεμίων ὀφείλει γίνεσθαι, κατὰ τὰ ἐκείνων ἴχνη καὶ τὴν ὁδοιπο-

1. ὑποδοχαρίους. De hac voce vid. Ducang. Glossar. col. 1644.
6. μετακινήσαντος] μὴ κινήσαντος codd.

esse. Quem si non ipsum eo in loco deprehendunt, verum susceptores ab illo relictos, oportet ut advenientes vocem mittant: susceptores, re diligenter explorata voceque agnita, se illis coniungere, eosque celeriter vel ad ducem, vel ad alios susceptores perducere, si denuo inter haec locum dux mutaverit. Oportet enim illum, maioris securitatis causa, ne ab adversariis circumveniatur, sive semel sive bis noctu alio transgredi, excubiasque habere duplices et firmas ad ipsum custodiendum.

### Cap. IX. De motu manus praedatoriae, et de insecutione.

Dux certior factus praedatores egressos esse, evestigio alterum praefectum cum equitibus delectis, qui turmarchae praedatores insequenti subsit, ad eum mittat: qui mittitur, secum habeat unum de illis, qui a turmarcha venerunt ad praedatorum profectionem duci significandam, a quo ducatur, ut facilius se coniungere turmarchae queat. Ipse dux, cum suis copiis a tergo praefecti praemissi iter ingressus, ad turmarcham pervenire properet: ut ipse quoque, turmarcha antecedente, praedatores hostium insequatur. Diligens enim erratique expers insecutio a tergo hostium debet fieri, secundum vestigia atque itum eorum. Turmarcha autem ver-

ρίαν. ὁ δὲ τουρμάρχης κατὰ τὸ κοῦρσον τῶν πολεμίων ἀποκινήσῃ τρία ζευκτὰ, ἐμπείρους καὶ ἐπιτηδείους ἄνδρας ἀναλαμβανόμενος, παραγίνεσθαι τῇ ὁδῷ τῶν πολεμίων· καὶ τυπώσας τὸ πρῶτον καὶ δεύτερον καὶ τρίτον ζευκτὸν, πῶς ὀφείλουσι περιπατεῖν καὶ τοῖς πολεμίοις κατακολουθεῖν, ὑποστρεφέσθω πρὸς τὸν λαὸν αὐτοῦ. τὸ δὲ πρῶτον ζευκτὸν πλησίον τῶν πολεμίων περιπατείτω, ἀκοῦον Fol. 331 v.
καὶ τὴν τοῦ λαοῦ ὀχλαγωγίαν, καὶ τοὺς χρεμετισμοὺς τῶν ἵππων. τὸ δὲ δεύτερον, τὸ τοῦ πρώτου ἀκόλουθον, ὁδοιπορείτω, ὅσον P. 130
δύνανται ὁρᾶν τὸ ἔμπροσθεν αὐτοῦ, καὶ ὁρᾶσθαι ὑπ᾽ αὐτοῦ· καὶ μήτε πλησίον γίνεσθαι, μήτε μακρύνεσθαι, ὥστε μὴ ὁρᾶσθαι. τρία δὲ τετράδια ὄπισθεν τῶν τριῶν ζευκτῶν ἀποκαταστήσει, ὁρῶν τὸ πρῶτον τετράδιον τὸ τρίτον ζευκτὸν, τὸ δὲ δεύτερον τετράδιον ὡσαύτως ὁρῶν τὸ πρῶτον. τὸ δὲ τρίτον τετράδιον, τὸ ἀκόλουθον τοῦ δευτέρου, ἓξ ἐχέτω ἄνδρας· ἵνα οἱ ἐξ αὐτῶν δύο τὰ ὑπὸ ζευκτοῦ μηνυόμενα ἀποκομίζωσι τῷ τουρμάρχῃ, ὁ δὲ τουρμάρχης τῷ στρατηγῷ. ἐὰν γὰρ ὀξύτερον βαδίζωσιν οἱ πολέμιοι, ὀφείλει μηνύειν τὸ πρῶτον ζευκτὸν περὶ τούτου· ἵνα καὶ ὁ τουρ- B
μάρχης καὶ ὁ στρατηγὸς ὀξύτερον καὶ αὐτοὶ βαδίζωσι, καὶ μὴ ἐπὶ πολὺ μακρύνωσι τῶν πολεμίων. εἰ δὲ σχολαίτερον πάλιν βαδίζουσιν οἱ πολέμιοι, καὶ ὁ τουρμάρχης καὶ ὁ στρατηγὸς ὡσαύτως σχολαίτερον περιπατείτωσαν· ἵνα μήτε πλησίον γινόμενοι διαγινώσκωνται, μήτε μακρυνόμενοι οὔτε τὴν τῶν ἐπακολουθούντων διοίκησιν ἐπιγινώσκωσιν, οὔτε παρ᾽ ἐκείνων ἐπιγινώσκωνται· ὅπερ

1. ὁ δὲ — παραγίνεσθαι. Vel ob imperativum ὑποστρεφέσθω fort. ὁ δὲ τουρμάρχης, ἡνίκα τὸ κ. τ. π. ἀ., τρία ζευκτὰ, ἐμπ. κ. ἐ. ἄ., ἀναλαμβανόμενος, παραγινέσθω.

sus agmen adversariorum tria paria, peritis atque idoneis viris delectis, promoveat, quae in viam hostium se committant: et edocto primo et secundo et tertio pari, quo pacto ambulare hostesque insequi debeant, ad suum agmen redeat. Primum itaque par, prope hostes iter faciens, fremitum multitudinis auscultet, et hinnitum equorum. Secundum par, excipiens primum, ita incedat, ut cum conspicere antegrediens, tum conspici ab illo possit: neque magis appropinquet, neque remanens visui se subtrahat. Post tria paria tres quadrigas constituet, ita ut a prima quadriga tertium par, a secunda quadriga similiter prima conspici possit. Tertia quadriga, secundam subsequens, sex habere homines debet: ut eorum duo quae renunciantur ab aliquo pari, referre turmarchae possint, turmarcha duci. Et si concitatius ire incipiunt hostes, debet primum par renunciare de hac re: ut et turmarcha et dux contentius ipsi quoque ambulent, neque longius se ab hostibus removeant. Si hostes denuo remissius ingrediuntur, item turmarcha atque dux lentius procedant: ut neque nimis appropinquantes agnoscantur, nec longius progressi neque subsequentium statum internoscere, nec internosci ab illis possint: quod calamitatem singu-

οὐ τὴν τυχοῦσαν ἐπάγει βλάβην. ἄλλως τε δὲ καὶ τῶν πολεμίων
ἀπληκευόντων πρὸς τὸ ταγίσαι τοὺς ἵππους, καὶ περὶ τούτου κα-
ταμηνυόμενος ὁ στρατηγὸς, καὶ αὐτὸς ἐν ἐπιτηδείῳ τόπῳ ἀπλη-
C κευέτω πρὸς τὸ τοὺς ἵππους ταγίσαι, ἐξώβιγλα ἀποστέλλων εἰς
φυλακὴν ἑαυτοῦ. καὶ ἡνίκα πάλιν τὴν κίνησιν τῶν πολεμίων κατα-
μηνυθείη, παραυτίκα καὶ αὐτὸς κινήσει ἐπακολουθῶν, ἔνθεν κἀ-
Fol. 382 r. κεῖθεν ἑαυτοῦ ἀποστέλλων ἀνὰ τριάκοντα ἱππεῖς, μὴ πόῤῥω, ἀλλὰ
σύνεγγυς, τὰς τοῦ λαοῦ αὐτοῦ φωνὰς ἐνωτιζομένους. καὶ ὄπισθεν
αὐτοῦ ἐπακολουθοῦντα ἄρχοντα ἐχέτω μεθ' ἱππέων, οὓς δὴ σάκα
ὀνομάζουσι. μήκοθεν δὲ ὁδοιπορείτω ὁ στρατηγὸς, καὶ πᾶσαν
ποιείτω ἀσφάλειαν τοῦ μὴ διαγνωσθῆναι ὡς ὄπισθεν αὐτοῖς ἐπα-
κολουθεῖ· ἀλλ' ἀσφαλῶς μὲν περιπατεῖν, καὶ τοὺς πλησίον πολε-
D μίων ἐπακολουθοῦντας παραγγέλλειν ἀκριβῶς ἀποσκοπεῖν, μὴ λό-
χους τινὰς οἱ πολέμιοι καταλείψωσιν εἰς ἔνεδραν τῶν ἐπακολου-
θούντων αὐτοῖς καὶ αὐτοῦ τοῦ στρατηγοῦ. ὅπερ παρὰ τῶν Ταρ-
σιτῶν πολλάκις γέγονε. καὶ ἐπακολουθοῦντος αὐτοῖς τοῦ τουρ-
μάρχου, καὶ μὴ ἀκριβῶς τοὺς ἔμπροσθεν σκοποῦντος ῥύακας καὶ
τοὺς τόπους τοὺς δυναμένους λαὸν ἀποκρύπτειν, ἀπροόπτως τῇ ἐν-
έδρᾳ τούτων περιπεπτώκασι. διὰ ταῦτα πολλῆς δεῖται ἀγχινοίας
καὶ ἀκριβείας ὁ ἐπακολουθῶν, ἵνα μὴ τοιοῦτόν τι συμβῇ γενέσθαι.
πρὸ δὲ τοῦ διαυγάσαι δεῖ τὸν στρατηγὸν, ἐπεὶ διέγνω τὸ ἐν ποίοις
P. 131 τόποις καὶ χωρίοις ἐξελάσαι μέλλουσιν οἱ πολέμιοι, εἴτε δεξιὰ εἴτε
εὐώνυμα αὐτῶν ἐπικλῖναι, ἐν οἷς ὀχυρώτερος αὐτῷ τόπος καθο-
ρᾶται. καὶ ὀξύτερον βαδίσας καὶ ἐκ πλαγίου αὐτῶν γενόμενος ὡς

Arabum Tarsensium consuetudo in itinere faciendo.

21. ἐπεὶ διέγνω. Fort. ἐπειδὴ ἔγνω.

larem affert. Praesertim autem subsistentibus adversariis, ad pabulum equis dandum, dux hac de re certior factus itidem, pabuli dandi causa, loco opportuno subsistat, excubiasque externas dimittat ad se custodiendum. Ubi cognovit hostes denuo movisse, ipse quoque evestigio exiens insequatur, ita ut utroqueversum tricenos equites dimittat: neque longius tamen, sed tam propinque, ut agminis eius voces exaudire queant. A tergo praefectum habeat cum equitibus insequentem, quos saca vocant. Magno autem ab hostibus intervallo dux iter faciat, omni diligentia adhibita, ne animadvertant, se a tergo ipsos sequi: item caute ingrediatur, et qui proxime hostem insequantur accurate dispicere iubeat, ne forte quasdam insidias hostes reliquerint, ad insequentes ipsumque ducem circumveniendum. Quod in Tarsensibus saepe usu venit. Etenim turmarcha illos insequens cum parum diligenter rivos ante se locaque quae armatos celare possent explorasset, de improviso in illorum insidias inciderunt nostri. Quamobrem solertia atque diligentia magna ei qui insequitur opus est, ne eiusmodi quid accidat. Ante quam diluxerit ducem oportet, ubi iam cognovit quos in agros vicosve excursuri hostes sint, ad dextram laevamve eorum se deflectere, qua locum magis natura munitum conspicatur. Et citatum agmen

ἀπὸ μιλίων δύο, πρὸ τοῦ τὴν ἡμέραν, ὡς λέλεκται, διαυγάσαι, ἵνα μὴ τὸν κονιορτὸν θεασάμενοι οἱ πολέμιοι τὴν παρουσίαν τοῦ στρατηγοῦ ἐπιγνώσωσι, τὸν ὀχυρὸν τόπον ὁ στρατηγὸς καταλαμβάνων τὸν ἴδιον ἀποκρυψάτω λαόν. κἀκεῖνος μετ' ὀλίγων ἱππέων πλησιέστερον γενέσθω τῶν πολεμίων· καὶ εἰς ὑψηλὴν περιωπὴν ἀνερχόμενος, καθαρῶς ὁρᾷν τοὺς πολεμίους σπευσάτω. Fol. 382 v. καὶ τούτων εἰς ἐξέλευσιν ὁρμώντων καὶ διασκορπιζομένων πρὸς B λείαν, καρτερησάτω ὁ στρατηγὸς ἐν ἐκείνῳ τῷ τόπῳ ἄχρι τρίτης ἢ καὶ τετάρτης ὥρας τῆς ἡμέρας, τὴν παράταξιν τοῦ Ἀμηρᾶ θεωρῶν, Amirae, h. e. duces Arabum. καὶ ἀκριβῶς τὸ πλῆθος τοῦ λαοῦ στοχαζόμενος. ἐπεὶ δ' οἱ μέλλοντες ἐξελάσαι πόῤῥω που τῆς παρατάξεως τοῦ Ἀμηρᾶ γεγόνασιν· ὡς μὴ δυνατόν ἐστι πάλιν τούτους ὑποστρέφειν, ἢ ἐπιγνῶναι τὸν κατὰ τῆς παρατάξεως τοῦ Ἀμηρᾶ ἀναφθέντα πόλεμον, ἕκαστον σπεύδοντα τὰ χωρία καταλαβεῖν, καὶ λείαν ὅτι πλείστην πορίσασθαι· τὰς ἰδίας παραταγὰς ὡς δεῖ εὐτρεπίσας, κατὰ τῆς τοῦ Ἀμηρᾶ παρατάξεως ὀλιγανδρούσης τὴν ἐπέλευσιν ποιησάτω, καὶ Θεοῦ συνεργίᾳ τῆς νίκης κρατήσει, καὶ τελείαν C πανολεθρίαν τοῖς πολεμίοις ἐργάσεται. εἰ δὲ κατὰ τῆς παρατάξεως ἐπελθεῖν οὐ θαῤῥήσει, πολλὴν καὶ ἀξιόλογον δύναμιν ὁρῶν ἐν αὐτῇ, ὑπὲρ τὴν ἰδίαν· τότε ἐκ πλαγίου καὶ μακρόθεν διὰ κρυπτῆς καὶ ἐπιτηδείας ὁδοῦ ὁρμάτω σὺν ἐλασίᾳ τῇ προσηκούσῃ, καταλαβεῖν τὸ σκόρπισμα τῶν πολεμίων. καὶ δι' ὅλης τῆς ἡμέρας ἐπιδραμεῖν αὐτοῖς ἀγωνίσεται, διεσκεδασμένοις οὖσι, καὶ ἀξιόλογον ἔργον, Θεοῦ συμμαχίᾳ, ἐπιτελέσει. ὀφείλει οὖν καὶ ἄρχοντα τῶν χρησίμων μετὰ ὀλιγοστῶν ἱππέων ὄπισθεν ἔχειν, βλέποντα

ad latus eorum detorquens, ante quam dilucescat, sicuti diximus, ne animadverso pulvere hostes ducem adesse intelligant, loco munito occupato suam ibi manum abdat. Inde cum paucis equitibus propius adversarios accedat, et conscensa specula edita det operam, ut dispicere clare hostes queat. Quibus ad excursionem egressis praedandique causa dissipatis, dux suo se loco contineat usque ad tertiam vel quartam diei horam, ita ut aciem consideret Amirae, numerumque copiarum attente aestimet. Sed ubi excursores longius a signis Amirae discesserunt: quando fieri non potest, ut vel redire, vel denique praelium cum acie Amirae commissum animadvertere queant, quolibet ruente, ut vicis occupatis praedam quamplurimam capiat: suis turmis convenienter instructis in aciem Amirae, iam infrequentem, impressionem faciens, Dei ope victoria potietur, et internecivam cladem hostibus inferet. Sed si non audet aciem aggredi, quod multas et bellicosas copias suisque firmiores in ea videt: e transverso ac longius, occulta et opportuna via, agmineque quantum opus est citato abeat, ad excursores dispersos opprimendos. Ac per totum diem exagitare illos dissipatos studens, praeclare rem, numine obsecundante, geret. Debet praeterea praefectum probatum cum pauculis equitibus a tergo habere,

καὶ ἀποσκοποῦντα τὴν τοῦ Ἀμηρᾶ παράταξιν, καὶ τὰ περὶ αὐ-
D τῆς, ὡς ἂν ὁδοιπορείη, καταμηνύειν αὐτῷ. εἰ δὲ καὶ φοῦλκον,
τὸ εἰς φυλακὴν τῶν διασκορπιζομένων πρὸς λείαν πολεμίων ὑπάρ-
Fol. 383 r. χον, συναντήσει ὁ στρατηγὸς πλῆθος ἔχον, διχῆ τὸν λαὸν αὐτοῦ
διέλῃ, καὶ ἔμπροσθεν μὲν ἀποστείλῃ τοὺς ὀφείλοντας μετὰ τοῦ
φούλκου συνάψαι πόλεμον. τούτων δὲ συρραγέντων, εὐθὺς καὶ ὁ
στρατηγὸς μετὰ τῆς παρατάξεως αὐτοῦ πλησίον ἐπακολουθῶν
ὀξέως καὶ εὐτόλμως μετὰ κραυγῆς καὶ ἀλαλαγμοῦ σὺν ἐλασίᾳ κατ'
αὐτῶν ὁρμησάτω, καὶ τούτους, Θεοῦ βοηθείᾳ, τροπωσάμενος
P. 132 καταδιώξει καὶ τελείως καταγωνίσεται. εἰ οὖν Θεοῦ συνεργίᾳ εὐο-
δωθῇ ὁ στρατηγὸς, καὶ τοὺς εἰς λείαν ἐκδραμόντας πολεμίους
κατατροπώσηται, εἰ μὲν μεγάλην καὶ ἀξιόλογον δουλείαν ἐργάση-
ται, εἰκός ἐστι τοὺς ἐχθροὺς πρὸς τὴν ἰδίαν χώραν ὑποστρέψαι
μετ' αἰσχύνης. εἰ δὲ ἔτι ἐν τῇ ἡμετέρᾳ χρονίσαι μελετῶσι, τὸν
ἴδιον λαὸν ὁ στρατηγὸς ἀναλαμβανόμενος μήκοθεν γενέσθω
τῶν πολεμίων, ἐν ἐπιτηδείοις δηλονότι χωρίοις, καὶ τὸν λαὸν
αὐτοῦ κατάκοπον ὄντα ἐπὶ ἡμέρας τρεῖς διαναπαυσάτω, μόνους
τοὺς παραμένειν ὀφείλοντας, ὡς ἤδη ἐξεθέμεθα, ἀποστέλ-
λων ἑκάστῃ ἡμέρᾳ. πρὸς ὑποστροφὴν δὲ ὁρμῶντας τούτους ὁ
στρατηγὸς ἐπιγνοὺς, παραυτίκα τάχει πολλῷ ἄρχοντα τῶν χρη-
σίμων ἀποστείλας, τὸ πεζικὸν στράτευμα εἰς τὰς δυσχωρίας τῶν
ὁδῶν ἐπισωρευσάτω· καὶ αὐτὸς δὲ ὁ στρατηγὸς σπευσάτω, μὴ
ἐν νυκτὶ μηδὲ ἐν ἡμέρᾳ ἑαυτὸν ποσῶς ἂν ἀναπαῦσαι, ἀλλὰ σὺν
τάχει πολλῷ ἔμπροσθεν αὐτῶν γενέσθω, καὶ καλῶς παρασκευά-
σας ἅπαν τὸ τῶν πεζῶν καὶ ἱππέων αὐτοῦ στράτευμα, τὸν κατ'

17. κατάκοπον ὄντα. Vid. supra 124 A.

qui Amirae aciem videat ac speculetur, et de illa, quemadmodum se moveat, sibi renunciet. Si globum numero frequentem dux offendit, qui hostibus praedatum dispersis praesidio sit, bifariam dividat manum suam, et partim praemittat, qui cum hoc globo pugnam ineant. Quibus praeliantibus, evestigio dux quoque cum sua acie proxime subsequens acriter atque animose cum clamore et barritu cursim in illos se incitet, eosque Dei auxilio fusos persequetur ac funditus delebit. Quod si, numine obsecundante, dux bene rem gessit, compressis adversariis praedatum egressis, si magnum atque insigne facinus effecit, credendum est hostes cum probro domum redituros. Sed si amplius in ditione nostra commorari statuerunt, dux assumto suo agmine longius ab illis discedat, hoc est in loca idonea, ubi milites suos defatigatos per triduum reficiat, solosque qui speculari debent, sicuti iam exposuimus, quotidie emittat. Atenim ubi cognovit, eos signa movisse redeundi causa, evestigio per praefectum probatum magna celeritate missum in asperitatibus viarum pedestres copias congreget: ipseque dux connitatur, ut neque nocte neque interdiu partem ullam capiat quietis, sed celeritate maxima eos praecurrat, et universis pedestribus equestribusque copiis bene praeparatis dimicationem adversus illos instruat, quemad-

αὐτῶν πόλεμον διάθοιτο, καθὼς ἀνωτέρω ἐπιλεπτῶς ἐξεθέμεθα. καὶ οὕτως ποιῶν, χάριτι Χριστοῦ, καὶ δυνάμει καὶ πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς, τῆς κατὰ τῶν ἐχθρῶν μάχης κρατήσει. καὶ ταῦτα μὲν οὕτως.

ΚΕΦ. ι'. Περὶ τοῦ διαχωρισμοῦ τοῦ κούρσου, καὶ τοῦ λαοῦ ὄπισθεν ἐπακολουθοῦντος. Fol. 333 v.

Ἃ δὲ ἡμεῖς ἐθεασάμεθα, ἐκθέσθαι οὐδαμῶς κατοκνήσομεν. B τὸ τῶν πολεμίων φωσσάτον διαφόρως, οἵ,τε ἱππεῖς σὺν τῷ πεζῷ ὁμοῦ τῆς χώρας καὶ τῶν πόλεων αὐτῶν συνεξήρχοντο· καὶ ἐπὶ δυσὶν ἡμέραις ὁμοῦ συμπεριπατήσαντες, ἔσθ' ὅτε καὶ πλείοσιν, ἀπ' ἀλλήλων διεχωρίζοντο. καὶ οἱ μὲν ἱππεῖς, οἱ τὰς ἡμετέρας χώρας (Arabum modus invadendi fines Romanos.) κατατρέχειν καὶ λεηλατεῖν βουλόμενοι, προὐλάμβανον ἡμερῶν τινων διάστημα, τοῦ πεζικοῦ λαοῦ αὐτῶν ἀφεστηκότος· διὰ τὸ σπεύδειν αὐτοὺς ἀμηνυτὶ τοὺς οἰκήτορας τῶν χωρίων καταλαβεῖν, οἴκοι μένοντας. τὸ δὲ τοῦλδον μετὰ τῶν πεζῶν καὶ τῆς τούτων ἀποσκευῆς, ὄπισθεν ἑπόμενον, ἡνίκα τὰς δυσχωρίας καὶ τὰ στενὰ C διῆλθεν, ἐπιτήδειον διασκοπῆσαν τόπον πρὸς φυλακὴν αὐτῶν καὶ ἀσφάλειαν, τὰς σκηνὰς πηξάμενοι ἐν αὐτῷ ηὐλίζοντο, τοὺς εἰς κοῦρσον ἐκδραμόντας ἱππεῖς ἐκεῖσε προσεκδεχόμενοι· ἵνα τοὺς ὑποστρέφοντας καλῶς τὰς δυσχωρίας διαβιβάσωσιν. ὁ οὖν στρατηγὸς, τὴν ἔξέλευσιν αὐτῶν καταμηνυόμενος, τὰς παραμονὰς ἀποστελλέτω, καὶ πάντα ποιείτω κατὰ τὴν ἀνωτέρω διάταξιν. καὶ εἰ μὲν εὐχερές ἐστι τῷ στρατηγῷ, τοὺς εἰς τὴν λείαν ἐκδραμόντας διεσκεδασμένους καταλαβεῖν, καὶ τούτους κατατροπώσασθαι, P. 133

modum superius singillatim exposuimus. Quod si ita fecerit, gratia Christi, auctoritate vero atque intercessione intemeratae matris eius, praelio cum hostibus commisso rem obtinebit. Atque haec quidem sic se habent.

CAP. X. De seiunctione manus praedatoriae, deque peditatu a tergo subsequente.

Nec, quae ipsi vidimus, exponere pigebit. Identidem exercitus hostium, equestresque ac pedestres copiae e finibus oppidisque suis simul exibant: ac per triduum, vel interdum diutius, itinere una facto, a se discedebant. Equites, ditionem nostram incursione facta populaturi, aliquot dierum itinere praegrediebantur, peditatum retro relinquentes: quod opprimere habitatores vicorum non praemonitos casisque inhaerentes properabant. Impedimenta et pedites cum suis sarcinis, a tergo subsequentes, postquam saltus atque angustias transierant, locum idoneum ad sese custodiendos tutandosque conspicati, in eo collocatis tabernaculis considebant, equites praedatum egressos ibi praestolantes: ut revertentes incolumes per loca iniqua traducerent. Id si usu venit, dux, excursione eorum nunciata, speculatores emittat, et omnia iuxta superius praescriptum faciat. Ac si parvo negotio praedatum egressos nancisci dispersos, fundereque

ἔργῳ τοῦτο σπευσάτω πληρῶσαι. εἰ δὲ διά τινα σφάλματα καὶ τὰς συμβαινούσας ἐναντιώσεις ἐμπόδιον προσυπαντήσει αὐτῷ, εἰς τὸν κατὰ τοῦ φωσσάτου πόλεμον παρασκευασθήτω· καὶ τὸν τό-
F.383 bis, r. πον, ἐν ᾧ τὰς σκηνὰς ἐπήξαντο, ἀκριβῶς διασκοπησάτω, μή ποτε ποταμός ἐστιν ἀσφάλειαν αὐτοῖς προξενῶν, ἢ ῥύαξ. καὶ πρὸς τὴν θέσιν τοῦ τόπου δεῖ καὶ αὐτὸν παρασκευασθῆναι, καὶ σπουδῇ πολλῇ πρὸς ἑαυτὸν τὸ πεζικὸν στράτευμα, εἰ δυνατὸν, ἐπισυναγαγεῖν. προσδοκῶντος δὲ τοῦ στρατηγοῦ τὴν τούτων ἀποκίνησιν καὶ ἐν ἑτέρῳ ἀπλήκτῳ μετάβασιν, ἢ τυχὸν δι' αὐτομόλων τοῦτο
B πυνθανομένου, δέον ἱππεῖς ἀποστεῖλαι νυκτὸς, ἀρχηγοὺς ἔχοντας τῶν ἐμπείρων ἀνδρῶν καὶ ἀξιολόγων, καὶ δύο ἐγκρύμματα παρασκευάσαι ἔνθεν κἀκεῖθεν τῆς ὁδοῦ, δι' ἧς γενήσεται ἡ τῶν πολεμίων διέλευσις. ἐξ αὐτῶν δὲ τῶν ἀποσταλέντων ἑκατὸν ἄνδρας ἐπιλεξάμενος, εἰς λόχον καταστησάτω, χωρία φυλάττοντας τὰ πλησίον τῆς παρόδου τῶν πολεμίων διακείμενα. καὶ αὐτὸν τὸν στρατηγὸν χρὴ ἐν ἐπιτηδείῳ τόπῳ μετὰ παντὸς τοῦ λαοῦ αὐτοῦ ἵστασθαι κεκρυμμένον, καὶ ἐκ περιωπῆς ἐφορῶντα τὴν τῶν πολεμίων διάβασιν. οἱ οὖν ἱππεῖς τῶν πολεμίων, οἱ εἰς συλλογι-
C σμὸν χρειῶν τὰ χωρία διερευνώμενοι τὰ πλησίον τούτοις συμπαρακείμενα, ἡνίκα ἐν τοῖς φυλαττομένοις χωρίοις εἰσέλθωσι, καὶ τῶν ἵππων ἀποβάντες τὰς οἰκίας ἀναψηλαφῶσι τῶν χωριτῶν, κατ' αὐτῶν οἱ εἰς τὸν λόχον ἱστάμενοι ἑκατὸν ἱππεῖς ὁρμησάτωσαν, καὶ ὅσους ἀνελεῖν δυνηθῶσιν, εἴτε ζωγρῆσαι, παραυτίκα πρὸς φυγὴν ὁρμήσωσιν, ὑποφεύγοντες τὴν ὁδὸν

Sunt enim hic in Codice duo folia eodem numero 383 notata.

Insidiae prope castra hostium structae.

22. κατ' αὐτῶν] καὶ ταυτὸν codd.

potest, re exequi id quidem properet. Sin autem ob errationes quasdam offensionesque intervenientes impedimentum ipsi infertur, ad castra oppugnanda se comparet: locum, ubi tabernacula posuerunt, diligenter perspiciat, ne forte flumen amniculusve subsit, praesidium illis praebens. Ita iuxta situm loci instruere se oportet, magnaque diligentia adhibita peditatum, si fieri potest, cogere. Suspicans autem dux discessuros hostes in aliaque castra transituros, sive per transfugas fortasse hoc edoctus, debet noctu equites praemittere cum praefectis peritis et probatis, insidiasque parare binas ad utrumque latus viae, qua hostes transituri sint. Ex illis praemissis equitibus centum delectos in latibulo collocet, qui vicos observent itineri adversariorum subiacentes. Ipsumque ducem oportet loco idoneo cum omnibus copiis in occulto subsistere, e specula hostes transeuntes observantem. Equites adversariorum, qui frumentandi causa vicos propius sitos perlustrant, simul atque vicos obsessos ingressi ex equis descenderint, casasque rusticorum scrutari inceperint, equites centum in insidiis collocati impressionem in illos faciant, et, sive interfectis sive captis quotquot potuerunt, evestigio fugae se mandent: ruentesque per viam inter bi-

τὴν ἀναμεταξὺ τῶν δύο ἐγκρυμμάτων διερχομένην, ἐφελκόμενοί τε τοὺς πολεμίους πρὸς δίωξιν. καταδιωκόμενοι δὲ ταῖς ἐνέδραις περιπεσεῖν τοὺς πολεμίους παρασκευάσουσι. τότε οὖν F.383 bis, v. ἐξερχέσθωσαν τὰ ἑκατέρωθεν ἱστάμενα ἐγκρύμματα, καὶ σφοδρῶς τὴν κατ' αὐτῶν ὁρμὴν ποιησάτωσαν, καὶ πολλοὺς τῶν πολεμίων ἔργον μαχαίρας ποιήσονται. τοῦ δὲ στρατηγοῦ ταῦτα D ὁρῶντος, παραυτίκα καὶ αὐτὸς μετὰ τῶν πλειόνων τοῦ σὺν αὐτῷ λαοῦ ἐν ὁρμήματι σφοδροτάτῳ τὴν προσβολὴν εἰς τὴν παράταξιν τῶν πολεμίων ποιείτω· τοὺς δέ γε ὑπολοίπους τοῦ λαοῦ αὐτοῦ κατὰ νώτου τῶν πολεμίων γενέσθαι, καὶ συνάψαι πόλεμον παρασκευασάτω. καὶ εἰ μή τι ἐμπόδιον ἐξ ἡμετέρων ἁμαρτιῶν γένηται, τῶν πολεμίων ὑπερισχύσουσιν. εἰ δέ γε ἰσχυρῶς μαχόμενοι οἱ πολέμιοι ἀντισχεῖν δυνηθῶσι, καὶ στῶσιν ἐν τῷ αὐτῷ τόπῳ τὰ ἀχθοφόρα ζῶα ἀποφορτίσαντες, ἄπληκτον δῆθεν ποιούμενοι P. 134 ἐκ πολλῆς περιστάσεως, καὶ πειρῶνται τοῦ ἀντιπαρατάξασθαι, πολλὴν ἐκ τούτου ἐφευρήσουσι τὴν δυσχέρειαν. ἀλλ' ὅμως χρὴ καὶ τὸν στρατηγὸν κύκλῳ κατ' αὐτῶν ἐπαγαγεῖν τὸν πόλεμον, καί, εἰ δυνατόν, καὶ πεζικὸν λαὸν τῇ αὐτῇ τοῦ πολέμου ἡμέρᾳ καταλαβεῖν τάχει πολλῷ παραγενέσθαι, τοῦτο παρασκευάσαι. εἰ δὲ τοῦτο ἀδύνατόν ἐστι διὰ τὸ πόῤῥω τούτους τυγχάνειν, τοὺς προσήκοντας τῶν ἱππέων τῶν ἵππων ἀποβῆναι διορισάτω, καὶ πεζῇ τοῖς πολεμίοις μετὰ τῶν ἱπποτῶν μάχεσθαι, τόξοις καὶ σφενδόναις καὶ δόρασι σὺν ἀσπίσι χρωμένους. δεῖ οὖν τὸν στρα- B τηγὸν καὶ τὴν αὐτοῦ ἀποσκευὴν ἀγαγεῖν, καὶ τὸ τοῦλδον, εἴ γε πλησίον τυγχάνει, καὶ σύνεγγυς τῶν πολεμίων ἀπληκεῦσαι, εἰς Fol. 384 r.

nas insidias transeuntem hostes ad persecutionem attrahant. Ita peragitati efficient, ut adversarii insidiis se induant. Tunc vero prorumpant qui utrobique in latibulis locati sunt, et vehementi impetu in eos facto magnum hostium numerum gladiis conficient. Haec ubi dux videt, continuo ipse quoque cum maiori parte sui agminis acerrimo incursu in aciem hostium se incitet: reliquos suorum militum iubeat in terga hostium circumvectos eo signa inferre. Ac nisi peccatorum nostrorum causa impedimentum aliquod intervenit, expugnabunt hostes. Tamen, si vehementius praeliantes adversarii obsistere possunt, et eodem loco consistentes iumentis onera deponunt, effectoque multis sarcinis obiectis vallo aciem instruere conantur, id quidem magnam difficultatem oppugnationi afferet. Sed nihilominus debet dux corona facta undique signa inferre, et si qua spes est, peditatum itinere celeriter facto ipso die praedii advenire posse, id ut fiat curare. Quod si fieri non potest propter longinquitatem, idoneos ex equitibus descendere de equis iubeat, et pedibus una cum equitatu praelium cum adversariis inire, arcubus, fundis, hastis, scutis utentes. Oportet autem ducem et sarcinas suas, et impedimenta, si sub manu sint, secum adducere, propiusque hostes considere, ut formidinem illis ac desperationem

ἔκπληξιν αὐτῶν καὶ ἀπόγνωσιν. εἰ δὲ ἐν αὐτῷ τῷ τόπῳ ὕδωρ τοπαράπαν οὐκ ἔστι, καὶ τοῦτο πολλὴν ἀθυμίαν αὐτοῖς προξενήσει· καὶ εἰ μὴ τελέως τούτους καταγωνίσηται, ἀλλ' οὖν πολλούς γε τούτων ἀνδραποδίσει, πλείστους δὲ καὶ θανατώσει, καὶ τραυματίας ἐργάσεται, καὶ τὸ ἀλαζονικὸν αὐτῶν καταβαλεῖ φρόνημα· ὥστε μὴ ἀδεῶς κατατολμᾶν κατὰ τῶν Ῥωμαϊκῶν χωρίων τὰς ἐφόδους ποιεῖσθαι. εἰ δὲ μὴ πρότερον ὁ στρατηγὸς C ἐπιγνῷ τὴν ἀπὸ τοῦ ἀπλήκτου αὐτῶν ἐν ἑτέρῳ ἀπλήκτῳ μετάβασιν, ἤ, ὡς ἔφην, δι' αὐτομόλων, ἢ διὰ δεσμωτῶν· ὅπως ἐν νυκτὶ ἀποστείλας παρασκευάσῃ ἐν τῇ παρόδῳ αὐτῶν τὰ ἐγκρύμματα· καὶ ἐν ἡμέρᾳ ὁδοιπορούντων τῶν πολεμίων φανερῶς παρασκευασάμενος τὸν κατ' αὐτῶν διάθηται πόλεμον· εἴ γε οὐ πάντη ὀλιγοστὸν καὶ εὐαρίθμητον κέκτηται στράτευμα. ὁ γὰρ κατὰ τὸ τοῦλδον αὐτῶν πόλεμος, συντόμως, οὐδέποτε ἐναντίωσιν ἢ βλάβην τῷ ἡμετέρῳ στρατῷ προυξένησεν, ὀλίγους ἔχον μαχίμους ἱππεῖς εἰς φυλακὴν ἑαυτοῦ· ἀλλ' ὁσάκις ἂν κατ' αὐτῶν συνήφθη πόλεμος, πολλοὺς αὐτῶν ὁ τῶν Ῥωμαίων στρατὸς καὶ D ἠνδραποδίσατο καὶ ἀνεῖλε· καὶ πολλὰ τῶν ὑποζυγίων καὶ ἡμιόνων αὐτῶν πεφορτισμένα ἀνελάβοντο. εἰ δὲ καὶ τὸ πεζικὸν στράτευμα ἐν ἡμέρᾳ πολέμου τύχῃ, τὸ ὡπλισμένον δηλονότι καὶ πρὸς πολέμους γεγυμνασμένον, κύκλῳ κατ' αὐτῶν στρατηγικῶς παρασκευάσῃ τὸν πόλεμον, καὶ τελείῳ τούτους ἀφανισμῷ παραδῷ. Fol. 384 v. τοιαῦτα γὰρ γενέσθαι ἐν τῷ τούλδῳ τῶν πολεμίων, ἀλλὰ καὶ παρ' αὐτῶν ἐν τῷ ἡμετέρῳ, καὶ ἐθεασάμεθα, καὶ ἐν ἱστορικοῖς

Oppugnatio impedimentorum, quas opportunitates habeat.

4. γε] καὶ cod. 16. αὐτῶν] Fort. αὐτό.

afferat. Quod si eo in loco aquae nulla omnino facultas est, id quoque non mediocriter animos eorum perturbabit: et si non funditus illos delet, at certe multos eorum captivos faciet, plures etiam tum interficiet tum sauciabit, spiritusque eorum arrogantes franget; ut non amplius ausuri sint absque metu in pagos Romanorum incursiones facere. Si autem dux transitum eorum e castris in castra non praescierit, sive ex perfugis, ut dixi, sive ex captivis; ut noctu praemissas insidias in via illorum collocare possit: nihilominus interdiu adversus hostes iter ingressos palam instructo exercitu praelium administret; praeterquam si admodum infrequentes tenuesque habet copias. Nam, ut brevi expediam, impedimentorum aggressio, quia pauci duntaxat armati equites praesidio illis relinquuntur, nunquam offensionem incommodumve exercitui nostro tulit: sed quoties dimicatio confecta contra illa est, semper exercitus Romanus hostes bene multos cum cepit tum interfecit; iumenta et mulas onustas non unas in potestatem redegit. Quod si praeterea peditatus, armatus ille quidem et exercitatus ad praeliandum, die dimicationis praesto esse potest, in adversarios, corona undique cinctos, impugnationem dux pro suo officio instruat, eosque prorsus ad internecionem redigat. Talia enim cum adversus impedimenta hostium, tum etiam adversus nostra illis ingruentibus eve-

ἀνέγνωμεν, καὶ παρὰ τῶν ἀρχαιοτέρων μεμαθήκαμεν. διὰ ταῦτα μὲν οὖν ὠφέλιμος ὁ κατὰ τοῦ τούλδου πόλεμος, ὡς μὴ φέρων P. 135 τινὰ βλάβην ἢ ἐναντίωσιν, μᾶλλον δὲ νίκην καὶ εὔκλειαν. εἰ γὰρ καὶ μὴ τὴν νικῶσαν εὕρῃ εἰς τὸν κατ᾽ αὐτὸ πόλεμον ὁ τῶν Ῥωμαίων στρατὸς, ἀλλ᾽ οὖν οὐδεμίαν βλάβην ὑποστήσεται. εἰ δὲ, ἐν ᾧ τόπῳ πρότερον ηὐλίζοντο, διέμειναν ἐν αὐτῷ, μηδαμῶς τῶν ἐκεῖσε ἀπάραντες διὰ τὴν τοῦ τόπου ὀχυρότητα, τὸ κοῦρσον ἀπεκδεχόμενοι,. καὶ ὡσαύτως ὁ στρατηγὸς κατ᾽ αὐτῶν ἐπάξει τὸν πόλεμον· μή ποτε ἐμβραδύνοντος διὰ τὴν τοῦ πεζικοῦ ἰδίου λαοῦ ἐπισώρευσιν, ἢ διὰ ἄλλην τινὰ πρόφασιν, ὑποστρέψῃ τὸ κοῦρσον, καὶ διακωλύσῃ τὸν πόλεμον. οὕτως δὲ χρὴ τὸν στρατηγὸν κατ᾽ αὐτῶν ἐπελθεῖν. διασκοπῆσαι διὰ τῶν ἀποστελλομέ- B νων βιγλατόρων τὰ συμπαρακείμενα χωρία, καὶ σύνεγγυς ὄντα τοῦ ἀπλήκτου τῶν πολεμίων· κἀκεῖσε ἀποκρύψαι ἱππεῖς ἐκλεκτοὺς ἐν ἐπιτηδείῳ τόπῳ, μετὰ ἄρχοντος ἐμπειροτάτου καὶ ἀνδρείου. καὶ ἐπεὶ ἐν αὐτοῖς εἰσέρχονται τροφὰς διερευνώμενοι, κατ᾽ αὐτῶν ὁρμησάτωσαν. ἑτέρους δὲ ἱππεῖς εἰς λόχον ἀπαρτίσαι εἰς βοήθειαν καὶ ἐκδίκησιν τῶν ἔμπροσθεν ἀποσταλέντων· καὶ εἴ γε τούτους βουληθῶσιν ἐπιδιῶξαι οἱ τῶν πολεμίων ἱππεῖς, ἐπιθήσονται κατ᾽ αὐτῶν, καὶ τρέψονται, καὶ καταδιώξουσι· διὰ τὸ ἀείποτε ὀλιγοστοὺς εἶναι τοὺς ἱππεῖς, τοὺς εἰς φυλακὴν τοῦ τούλδου. τῶν πολεμίων ἐν τοῖς χωρίοις μὴ εἰσερχομένων, εἰ καὶ ἀδύνα- C. τον τοῦτο τυγχάνει, διορισάτω ὁ στρατηγὸς τοὺς ἀποστελλομένους Fol. 335 r. παρ᾽ αὐτοῦ τῶν ἐμπείρων ἀνδρῶν βιγλάτορας, καὶ διασκοπησά-

24. διασκοπησάτωσαν] διασκορπισάτωσαν cod.

misse, non vidimus modo, verum legimus etiam apud scriptores, et a maioribus didicimus. Ideoque magno usui est impedimentorum oppugnatio, quod detrimentum incommodumve omnino nullum, victoriam autem gloriamque apprime afferre potest. Nam exercitus Romanus ea invadens, etiamsi rem non obtinet, at certe damni nihil est facturus. Item si, quo loco iam consederunt hostes, eo se continent, neque ob eius munimentum inde digrediuntur, praedatoresque exspectant, nihilominus debet dux signa inferre: ne cunctante illo, dum peditatus congregatur, vel ob aliam quam causam, inter haec omnis manus praedatoria recurrat, totumque de impugnatione consilium irritum faciat. Sic autem debet dux eos aggredi. Vicos propinquos castris hostium subiacentes per excubitores dimissos exploret: ibi equites delectos cum peritissimo ac forti praefecto loco opportuno occulat. Hi, quando frumentatores hostium vicos ingressi sunt, impetum in illos faciant. Alii equites in latibulo disponi debent, opem auxiliumque laturi praemissis illis: quos si insectari hostes volunt, ipsi ultro in illos se inferent, eosque fusos persequentur; quod perexiguo semper numero sunt equites, qui ad impedimentorum custodiam relinquuntur. Hostibus omnino in vicos non ingredientibus, tametsi id quidem fieri non potest, imperet dux excubitori-

Camelorum hostilium abactus.

τωσαν, ἐν ᾧ μέρει τοῦ ἀπλήκτου αὐτῶν τὰς καμήλους οἱ πολέμιοι εἰς νομὴν ἐξάγουσι. καὶ διαχωρισάτω εἴτε τουρμάρχην, εἴτε τοποτηρητὴν χρήσιμον, μεθ' ἱππέων ἀνδρείων· καὶ σκοπησάτωσαν ῥύακα, εἰ εὕρηται ἐν τῷ τόπῳ ἐπιτήδειος· καὶ παρασυρθῶσιν ἐν αὐτῷ κεκρυμμένοι, ἕως οὗ πλησίον γένωνται· καὶ τότε φανερῶς κατὰ τῶν καμήλων τὴν ἐπίθεσιν ποιήσωνται. D εἰς δύο δὲ τὸν λαὸν οἱ ἀποσταλέντες διαμερισάτωσαν· καὶ οἱ μὲν ἡμίσεις τὰς νεμομένας καμήλους καὶ τοὺς ὄνους ἀναλαμβανέτωσαν, οἱ δὲ ἄλλοι εἰς φυλακὴν καὶ ἐκδίκησιν καὶ βοήθειαν αὐτῶν ἔστωσαν. καὶ εἰ τύχῃ φοῦλκον ἔξω τοῦ φωσσάτου τῶν πολεμίων ἱστάμενον, καὶ ἐπέλθῃ κατὰ τῶν εἰς τὰς καμήλους ἐπιθεμένων, ἢ καὶ ἐκ τοῦ φωσσάτου ἐξέλθωσιν ἱππεῖς καταδιώκοντες, οἱ ὄπισθεν ὄντες τούτους καταγωνίσονται. παραυτίκα δὲ καὶ ὁ στρατηγὸς, οὐ πόῤῥω ὢν, ἀλλὰ πλησίον ἐν τῷ ἐγκρύμματι, κατ' αὐτῶν ἐξελθέτω· καὶ καθὼς ὁρᾷ συναφθέντα τὸν P. 136 πόλεμον, οὕτω καὶ διατιθέτω, ἢ σφοδρῶς κατὰ τῶν πολεμίων ἐπέλθῃ, ἢ τῶν ἀποσταλέντων τοῦ λαοῦ αὐτοῦ ἐπικρατεστέρων ὄντων, ἐν τάξει καὶ μὴ διεσκεδασμένως τὴν ἐπέλευσιν κατὰ τοῦ ἀπλήκτου ποιήσηται. καὶ ἅπαντα τὸν λαὸν αὐτοῦ, ἱππεῖς τε καὶ πεζοὺς ἀγαγὼν, ἐπεὶ τὴν τοῦ τόπου θέσιν ἐξεπίσταται, διαμερίσῃ τὰ κατατόπια ταῖς τάξεσι πάσαις τῶν τε ἱππέων καὶ πε- Fol. 385 v. ζῶν, καὶ τὸν κατ' αὐτῶν διάθηται πόλεμον, εἰ οἷόν τέ ἐστι, κύκλῳ. εἰ δὲ ποταμός ἐστιν, ἢ ῥύαξ, ὡς ἀνωτέρω εἰρήκαμεν, ἀντὶ χάρακος τοὺς πολεμίους φυλάττων, εἰ μὲν ὁπωσοῦν πόρον δέχεται, κἀκεῖθεν λαὸν ἐπιστήσῃ. παρασκευάσῃ δὲ καὶ σκηνὰς

bus peritis viris a se emissis, ut explorent, qua parte castrorum adversarii camelos pastum ducant. Tum designet vel turmarcham, vel vicarium bonum, cum equitibus strenuis: iique rivum nacti, si loco illo idoneus subest, in eo absconditi adrepant, donec propius accesserint: tum apparentes impetum in camelos faciant. Debet autem emissum agmen bifariam divisum esse: ut dimidia pars camelos asinosque pascentes abigat, altera ad prioris custodiam ac defensionem opem huic latura in statione sit. Quod si globus hostium pro castris excubias agens in abactores camelorum incurrit, vel e castris equites provolant nostrosque persequuntur, qui in subsidiis stant illos expugnabunt. Simulque dux, qui non procul inde in latibulo subsidiatur, contra illos prodeat: et perinde ut videt praelium fieri, ita rem administret, ut vel effuse in hostes ruat, vel, si praemissi de manu sua superiores fuerint, ordinate confertaque acie ad oppugnanda castra succedat. Ita productis universis equitum militumque copiis, perspecto regionis situ, loca certa cuique attribuat equitum peditumque numero, oppugnationemque corona circumdata, si fieri potest, instituat. Si flumen subest, aut rivus, ut superius diximus, qui fossae instar hostibus munimenta praebeat, si utcunque admittit transitum, ea quoque armatos inducat. Curet item, ut tentoria exercitus collocentur, ad declarandum,

αὐτῶν πῆξαι, πρὸς τὸ ἐνδείξασθαι, μέλλοντα αὐτὸν ἀπληκεῦ- B σαι ἐκεῖσε, εἰς ἐκθρόησιν αὐτῶν· καὶ οὕτως ποιεῖσθαι τὸν πόλεμον. καὶ εἰ καλῶς καὶ εὐτάκτως καὶ ἀνδρείως διάθηται τὰ περὶ τοῦ πολέμου, μεγάλως εὐοδωθήσεται. εἰ δέ γε τῇ πρώτῃ ἡμέρᾳ οὐ δυνήσεται τούτους κατατροπώσασθαι, ἰσχυρῶς αὐτῶν ἀνθισταμένων, καὶ πεζικὴν ἐχόντων δύναμιν, καὶ ἀπὸ τῆς τοῦ τόπου θέσεως βοηθουμένων, δέον καὶ παραμεῖναι αὐτοῖς, καὶ πλεῖον πεζικὸν προσκαλέσασθαι. καὶ ἐν τῇ νυκτὶ τοὺς ψιλοὺς κατ᾽ αὐτῶν καὶ τοὺς σφενδονήτας βάλλειν παρασκευάσῃ· καὶ πυρὰ πλεῖστα ἀνάπτειν γύροθεν αὐτῶν· καὶ ἀνδρείως καὶ εὐτόλμως παραινέσαι τοῖς ψιλοῖς τοῦ ἐκ χειρὸς μάχεσθαι καὶ προκινδυνεύειν, ἕως ἂν εἰσέλθωσιν ἔνδον τοῦ ἀπλήκτου τῶν πολεμίων, C καὶ ἵππους καὶ ἡμιόνους καί τινα πράγματα νυκτὸς ἀναλάβωνται, πλήττοντες συνεχῶς καὶ ἀναιροῦντες τοὺς πολεμίους. καὶ εἰ ὅλως Θεοῦ βοηθείᾳ τοιοῦτον πρὸς ἓν μέρος γένηται, καὶ θεαθῇ καὶ ἐπιγνωσθῇ ὑπὸ τῶν ἄλλων τάξεων, ὁρμήσουσι καὶ αὐτοὶ θανάτου καταφρονοῦντες εἰς ἁρπαγὴν τῶν λαφύρων, διὰ τὴν τοῦ κέρδους ἐλπίδα, καὶ περιγενήσονται τούτων τῇ τοῦ Θεοῦ χάριτι ῥᾳδίως. εἰ δὲ καὶ μὴ τελέως τούτους κατατροπώσεται διά τινα τυχὸν σφάλματα καὶ ἀποτυχίαν, ἀλλ᾽ οὖν πολλοὺς τούτων καὶ D χειρώσεται καὶ ἀναιρήσει, καὶ λάφυρα πλεῖστα ὁ λαὸς αὐτοῦ Fol. 386 r. λήψεται. οὕτως δὲ τοῦ στρατηγοῦ τὰ περὶ τῶν πολέμων τοῦ φωσσάτου διενεργοῦντος, χρὴ καὶ ἄρχοντα τῶν χρησίμων καὶ ἐμπείρων μετὰ τεσσαράκοντα ἱππέων μήκοθεν ἀποστεῖλαι, φυ-

16. αὐτοί. Sic codd.

castra se ibi ponere velle, quo terreat adversarios: quibus rebus constitutis, inferat signa. Ac si recte, ordinatim, strenue oppugnationem administrat, magnifice vincet. Quod si primo die fundere illos nequit, quod et industrie resistunt, et peditatu valeat, simul quod locorum situ adiuvantur, tamen considere iuxta oportet, maioresque pedestres copias accersere. Noctu curae sibi sit, ut cum levis armatura tum funditores tela in hostes coniiciant: item ut ignes quamplurimi in orbe circa illos fiant: leviterque armatos ad fortitudinem atque audaciam exhortetur, ut praelio manibus conserto in discrimen se offerant, donec in castra hostium perruperint, equos, mulos, facultates noctu praedati sint, vulneratione magna ac caede hostium facta. Et omnino, si quid eiusmodi ope Dei ex una parte accidit, conspicitur autem vel intelligitur a reliquis aciebus, hae quoque mortis contemtione ad praedas faciendas ruent, spe lucri incensae, hostesque gratia numinis parvo negotio expugnabunt. Quod si fortasse propter errata quaedam adversosque casus non funditus illos disperdit dux, at certe multos eorum cum captivos faciet tum contrucidabit, praedaque plurima milites potientur. Dum haec dux circa oppugnationem castrorum administrat, oportet praefectum ex proborum peritorumque numero cum equitibus quadraginta longius emitti, qui viam obsideat, qua praedatoria ho-

λάττειν τὴν ὁδὸν, ἣν ὑποστρέφειν μέλλει τὸ τῶν πολεμίων κοῦρσον. καὶ ἡνίκα τούτους θεάσηται πρὸς τὸ φωσσάτον αὐτῶν ἐρχομένους Veredum quid. καὶ ἔμπροσθεν αὐτῶν, ὡς ἔθος ἐστὶ τοῖς Ταρσίταις, τὸ λεγόμενον παρ' αὐτοῖς βέρεδον, ἐρχόμενον σύνεγγυς αὐτῶν, καταμηνύσαι τῷ φωσσάτῳ τὴν τοῦ κούρσου αὐτῶν παρουσίαν· εὐθέως ὁ εἰς τὴν βί- P. 137 γλαν ἀποσταλεὶς ἄρχων μηνυέτω τῷ στρατηγῷ. καὶ εἰ μὲν ἴδῃ τὸ βέρεδον μήκοθεν πολὺ τῆς παρατάξεως τοῦ κούρσου ἐρχόμενον, ἀποστελεῖ ἄρχοντα τῶν χρησίμων μετ' ἐκλεκτῶν ἱππέων, ἐπιθέσθαι κατ' αὐτῶν, εἰ δυνατὸν, ἀδοκήτως, καὶ κατακυριεύσει τούτων ῥᾳδίως. εἰ δὲ πλησίον καὶ σύνεγγυς τῆς παρατάξεως τοῦ κούρσου ἔμπροσθεν αὐτῶν περιπατεῖ, μὴ ἀποστειλάτω κατ' αὐτῶν· ἀλλὰ μᾶλλον ἀρκεσθήτω πρὸς ἃ ὁ Θεὸς αὐτῷ συνήργησεν εἰς τὸν κατὰ τοῦ φωσσάτου πόλεμον· καὶ ὑποστρεφέσθω μετὰ παντὸς τοῦ λαοῦ, ἐπιλαμβανόμενος τῶν ἐπιτηδείων καὶ ὀχυρωτέρων τόπων.

B ἐπεὶ δὲ τὸ τῶν πολεμίων φωσσάτον διὰ τοῦτο διῆλθε πάσας τὰς δυσχωρίας, ἐκδεχόμενον τὴν τοῦ κούρσου παρουσίαν, ἵνα τὰ παρὰ τοῦ κούρσου κατασχεθέντα, εἴτε ἀνδράποδα εἶεν εἴτε κτήνη, καλῶς σὺν αὐτοῖς διασώσῃ διαβιβάζον τὰς δυσχωρίας· δέον τὸν στρατηγὸν ἀγωνίσασθαι ἔμπροσθεν αὐτῶν γενέσθαι, καὶ Fol. 386 v. τοὺς στενωποὺς κατασχεῖν μετὰ παντὸς τοῦ λαοῦ πεζῶν καὶ ἱππέων, καὶ τὸν κατ' αὐτῶν πόλεμον ἐπιμελέστερον ἀπαρτίσαι, καθὼς ἀνωτέρω δεδήλωται. καὶ μηδέποτε ὑποστρέφοντες αὐτοὶ ἀπολέμητοι καταλειφθῶσιν. εἰ γὰρ καλῶς τὰ τοῦ πολέμου ἐν ταῖς δυσχωρίαις διάθοιτο, μεγάλως αὐτοὺς κατατροπώσεται. εἰ δὲ διὰ τὸ μὴ ἔχειν πλείστην καὶ ἀξιόλογον πεζικὴν δύναμιν, ἀδυ-

stium manus reditura est. Quam si versus illorum castra remeantem, praegredientemque, ut mos est Tarsensium, catervam quam veredum vocant, propius se accessisse conspicatur, ut exercitum certiorem faciat adventare praedatores: id evestigio praefectus excubitum missus duci renunciet. Hic si videt, veredum longe ante agmen praedatorum praegredi, praefectum probum mittat cum equitibus delectis, qui, si fieri potest, nec opinato impetum in id faciat, potieturque eius nullo negotio. Si propius minoreque intervallo agmini praedatorum antecedit, neminem emittat contra veredum: verum ea potius satis habeat, quae Deus illi in oppugnatione castrorum contulit: cum omnibus copiis signis conversis loca opportuna et munitiora capiat. Deinde ubi exercitus hostium eo consilio loca iniqua transivit, ut, adventum praedatorum praestolans, quae ab illis rapta sunt, sive mancipia sive pecora, tuta ac salva per loca impedita transducat: oportet ducem operam dare, ut, illos praevertens, cum omnibus militum equitumque copiis angustias itinerum occupet, praeliumque adversus illos, quemadmodum superius demonstravimus, solertius administret. Neque unquam citra dimicationem reverti sinantur. Etenim, si in angustiis recte bellum dux instruit, funditus eos vincet. Sin magno et firmo peditatu destitutus profligare

νατεῖ πρὸς τὸ μεγάλως αὐτοὺς κατατροπώσασθαι, ἀλλ' οὖν τέως οὕσπερ ᾐχμαλώτευσαν (εἰ καὶ μὴ πάντας) ἀναῤῥύσεται κατ' αὐτῶν, καὶ οὐκ ὀλίγους τῶν πολεμίων καὶ τραυματίσει καὶ δορυαλώτους ποιήσεται.

ΚΕΦ. ια'. Περὶ τοῦ ἔνθεν κἀκεῖθεν ἵστασθαι τοὺς πεζοὺς ἐν ταῖς δυσχωρίαις. C

Χρὴ τὸν στρατηγὸν καὶ ἄλλως ἀγωνίσασθαι τοὺς πολεμίους τροπώσασθαι, εἰ καὶ ὀλίγος ἐστὶν ὁ περὶ αὐτὸν λαός. τόπον κατασκοπησάτω ἐπιτήδειον καὶ ὀχυρώτατον, ἤ τι παραπλήσιον κάστρον· ὡς ἐπιδέχεσθαι τὴν τοῦ ὀχυροῦ τόπου θέσιν μετὰ πεζῶν κρατεῖσθαι, καὶ ἔνθεν κἀκεῖθεν τῆς ὁδοῦ εἰς λόχους τὸ πεζικὸν ἀποκρύπτειν στράτευμα. τοῦ δὲ πεζικοῦ ὄπισθεν ὁ στρατηγὸς σύνεγγυς μετὰ τοῦ ἱππικοῦ στρατεύματος στήτω, πάνυ τῶν πεζῶν ἔγγιστα. ἔχειν τε καὶ τὸ ἱππικὸν ἔγκρυμμα καὶ πεζοὺς D πλησίον αὐτοῦ, καὶ σχεδὸν συνηνωμένως κατὰ τὸ ὄπισθεν μέρος ἱστάσθω. ἀποσταλήτωσαν δὲ καὶ εἰς τὴν ἐνέδραν παρὰ τοῦ στρατηγοῦ ἄνδρες ἐπίλεκτοι, καὶ ἵππους τραχεῖς ἔχοντες, ἄχρι τῶν ἑκατὸν, ἀρχηγὸν ἔχοντες ἀνδρεῖον καὶ ἐμπειρότατον, καὶ γινώσκοντα χωρίον ἐπιτήδειον, ἐν ᾧ κρύψῃ τὸν ἴδιον λαόν. νυ- Fol. 387 r. κτὸς δὲ τὸν τοιοῦτον τόπον καταλαμβανέτω, καὶ καλῶς αὐτοὺς ἀποκρυψάτω. ἡνίκα δὲ διαυγάσῃ, εἰς περιωπὴν ἀνελθὼν βλεπέτω, τῶν πολεμίων περιπατούντων, τὴν τούτων διάβασιν. P. 188 ὁρῶν δὲ τοὺς εἰς λείαν ἐκτρέχοντας καὶ τὰ χωρία διερευνῶντας,

Praelium prope castellum.

14. ἀποσταλείτωσαν codd. 15. τραχεῖς. Leg. ταχεῖς. 19. βλεπέτω] βλεπόντων codd. omnes.

penitus eos nequit, at denique quos in servitutem abducunt, in libertatem (etiamsi fortasse non omnes) vindicabit, hostiumque non paucos cum sauciabit tum captivos faciet.

CAP. XI. In angustiis peditatum ad utrumque latus viae stare oportere.

Debet alio quoque modo operam dare dux ut hostes fundat, si exiguae circa se copiae sunt. Investiget locum idoneum et munitissimum, vel castellum, quod prope sit: ut liceat per naturam munitum illum locum peditibus occupari, copiasque pedestres ab utroque viae latere in insidiis occultari. A peditum tergo dux cum equitatu quam proxime subsidietur. Hae equestres insidiae, ipsae quoque pedites prope ipsas habentes, paene contingentes aciem post signa consistant. Oportet autem, ut in insidias mittat dux homines lectos, equis velocibus insidentes, numero ad centum, cum praefecto forti et peritissimo, cognoscente locum opportunum, quo suam manum occultet. Hunc locum noctu occupet, suos bene abdat. Prima luce conscensa specula, si hostes movent, quo tendant dispiciat. Si praedatum procedere videt, vicosque perscrutari, praedae, pecuniae, et si quid

Arabes iumenta abigentes.

πρὸς τὸ ἐπισυναγαγεῖν λάφυρά τε καὶ χρήματα, καὶ εἴ τι ἕτερον ἐφευρεῖν δυνηθῶσι, καρτερησάτω ἕως ἂν θεάσηται αὐτοὺς τῶν ἵππων ἀποβαίνοντας, καὶ τοὺς ἵππους τῶν χωρίων ἀνερευνωμένους. τότε τῶν μετ' αὐτοῦ ἱππέων εἴτε ἑβδομήκοντα ἢ ἑξήκοντα, πλείους δηλονότι τοὺς οἰκείους τῶν πολεμίων ὄντας (πλείονες γὰρ τῶν πολεμίων τῷ ἀριθμῷ εἶναι ὀφείλουσιν οἱ τοῦ στρατηγοῦ), διορισάσθω τούτους ἀνδρείῳ ὁρμήματι σὺν ὀξυτάτῃ τῶν ἵππων ὁρμῇ ἐπιθέσθαι τοῖς ἀντιπάλοις, καὶ Θεοῦ συν-B εργίᾳ εὐοδωθήσεται. εἰ δὲ συμβῇ τούτους ἐπιδιωχθῆναι παρὰ τῶν πολεμίων, δέον προαπαντῆσαι αὐτοῖς μετὰ τῶν ὑπολειφθέντων αὐτῷ τεσσαράκοντα, καὶ τοὺς μὲν κατασχεθέντας δεσμώτας ἢ ἀναιρῆσαι, ἢ ἔμπροσθεν ἀποστεῖλαι, ἀπελθεῖν τάχιον, καὶ τὸ ὀχύρωμα καταλαβεῖν. κἀκεῖνος ἐμπείρως μαχόμενος καὶ ἀνθιστάμενος τοῖς πολεμίοις, καὶ ποτὲ μὲν ὑποστρέφων κατ' αὐτῶν, ποτὲ δὲ ὑποφεύγων, ἐρεθίσει αὐτοὺς πρὸς δίωξιν. καὶ εἰ ἄχρι τῶν τόπων καταδιώξωσιν, ἐν οἷς οἱ πεζοὶ ἀποκρύπτονται, καὶ τούτους τινὲς τῶν πολεμίων διέλθωσι, τότε οἱ πεζοὶ τῶν ἐγ-C κρυμμάτων ἐξερχόμενοι ἀντιστήσονται τοῖς διώκουσι πολεμίοις, καὶ ἀπωθήσονται. οἱ δὲ τοὺς πεζοὺς διελθόντες πολέμιοι ἐμπεσοῦνται τῷ ἐγκρύμματι τῶν ἱππέων, καὶ ἄρδην ἅπαντες ἀπο-Fol. 387 v. λοῦνται. ὑπὸ γὰρ τοῦ τόπου οἱ πεζοὶ βοηθούμενοι οὐκ ἐάσουσι τοὺς διώκοντας διελθεῖν· ἀλλὰ τὴν δίωξιν καταλείψουσι καὶ ἄπρακτοι πάντες ὑποστρέψουσι, τοὺς ἤδη προκατασχεθέντας τῶν οἰκείων ἀπολέσαντες.

8. ἵππων] ἱππέων cod. 23. Fort. πάντως.

aliud invenire possint, comportandi causa, se contineat, donec descendentes ex equis iumenta e vicis conquirere conspexerit. Tum ex equitibus, qui circum eum sunt, septuaginta vel sexaginta, hoc est, plures quam apud hostes esse constat (necessario enim equitum in caterva ducis numerus maior quam adversariorum esse debet), hos iubeat acri impetu incitatissimo equorum cursu hostes adoriri, et suffragante numine rem bene geret. Si tamen accidit, ut ab adversariis repellantur, oportet his cum subsidiantibus quadraginta equitibus obviam ire, captivosque, si quos fecoris, vel interficere vel amandare, ut confestim discedant, inque munitum locum introducantur. Dux autem perite pugnam administrans hostibusque obsistens, et modo se retorquens ad illos, modo confugiens, eos ad persequendum lacessat. Quod si ad loca usque institerint, ubi pedites latent, eaque loca nonnulli hostium transgressi sint, tunc pedites ex insidiis coorti adversariis insequentibus occurrent, eosque repriment. Hostes autem quotquot erunt ultra pedites provecti, in insidias equitum incidentes universi contrucidabuntur. Loci enim natura adiuti pedites introrumpere persequentes non sinent: ideoque, intermissa insectatione, infecta re discedent omnes, amissis de suis quotquot intra angustias iam sunt circumventi.

ΚΕΦ. ιβ'. Περὶ ἀθρόας ἐξελεύσεως τῶν πολεμίων, πρὸ τοῦ τὰ Ῥωμαϊκὰ ἐπισυναχθῆναι στρατεύματα. D

Εἰ δέ γε τῶν πολεμίων ἔξέλευσις ἀθρόα καὶ σύντομος γένηται, οἷα πολλάκις παρ' αὐτῶν εἴωθε γίνεσθαι, μήπω τῶν βασιλικῶν στρατευμάτων ἐπισωρευθέντων, ἀλλὰ μόνου τοῦ στρατηγοῦ· μηδὲ αὐτοῦ δυνηθέντος διὰ τὸ σύντομον τῆς αὐτῶν ἐξελεύσεως τὸν ὀλίγον λαὸν τοῦ ἰδίου θέματος ἐπισυναγαγεῖν· ἀλλ' ὀλίγον ἔχῃ καὶ εὐαρίθμητον· ὁρᾷ δὲ τοὺς πολεμίους πρὸς λείαν σπεύδοντας καὶ ἐπειγομένους· ἐπιγνῷ δὲ τὴν χώραν, ἐν ᾗ τὴν ὁρμὴν ποιοῦνται, μήπω ἐκσπηλευθεῖσαν, καὶ εἰς τὰ κάστρα ἢ εἰς τὰ ὀχυ- P. 139 ρώματα φυγαδευθεῖσαν· χρὴ τῆς τοιαύτης χώρας εἴτε τὸν τουρμάρχην εἴτε ἑτέρους ἄρχοντας σπουδῇ πολλῇ ἀποστεῖλαι, καὶ ἔμπροσθεν τῶν πολεμίων γενέσθαι καί, ὡς οἷόν τε ὦσι, καὶ τοὺς τῶν χωρίων οἰκήτορας καὶ τὰ τούτων κτήνη φυγαδεῦσαι καὶ ἐκσπηλεῦσαι. ὁρῶντα δὲ τὸν στρατηγὸν τοὺς πολεμίους ἤδη μέλλοντας πρὸς τὸ τῆς ἡμέρας διάφαυσμα τοῖς χωρίοις ἐπιθέσθαι, ὄπισθεν αὐτοὺς ἐπακολουθοῦντα, καθὼς ἀνωτέρω εἰρήκαμεν, τῇ αὐτῇ νυκτὶ δεῖ ἐμφανισθῆναι τοῖς πολεμίοις, πρὸς πόλεμον δῆθεν παρασκευαζόμενον· ἵν' ὡς ἐκ τούτου δυνηθῇ τὴν ὁρμὴν αὐτῶν ἀναστεῖλαι, καὶ B ἀβλαβῆ τὴν χώραν διατηρῆσαι. καὶ εἰ μὲν ποταμός ἐστιν ἐν τῇ ὁδῷ δυσπέρατος, καὶ μέλλουσι τοῦτον διαπερᾶν οἱ πολέμιοι, ἢ Fol. 388 r. στένωμα ἢ δυσχωρία ἐν τῇ ὁδῷ, ἡνίκα τὸν ποταμὸν οἱ πλείους διαπεράσωσιν, ἢ εἰς τὸ στένωμα χωρηθῶσιν, εἰς τὸν ὄπισθεν

Hostes quemadmodum a praedando avertendi.

5. τὸν ὀλίγον λαόν. Fortasse inducenda vox ὀλίγον, quae ex subiecta linea in hanc emergere potuit.

CAP. XII. De subita incursione hostium, antequam Romanae copiae cogi possint.

Si fit subita et acris hostium incursio, quod apud illos saepe usu venit, neque dum exercitus Caesarei unum in locum coacti sunt, solusque dux praesto est: neque ille propter repentinam illorum invasionem facultatem nactus est copias suae provinciae congregandi, parvulasque habet atque exiguas: si videt hostes ad praedam ferri ac festinare: scit autem, regionem, quo impetum faciant, nondum exinanitam, fortunasque in oppida locave munita comportatas esse: oportet in eiusmodi regionem sive turmarcham sive alios praefectos magna celeritate adhibita transmittere, qui hostibus obviam fiant, et, quantum efficere possint, paganos eorumque pecora ex agris excitent atque expellant. At si dux videt, hostes iam in eo esse, ut circa diluculum in vicos impetum faciant, debet, a tergo ipsos insequens, quemadmodum superius demonstravimus, illa ipsa nocte ad praelium instructus, hostibus se ostendere: ut sic comprimere eorum impetum, regionemque incolumem praestare queat. Ac si fluvius est in itinere, quem transituri sunt hostes, angustiaeve aut difficultas viae, ubi maior pars eorum flumen transierit, vel se in angustias implicuerit, quosdam

λαὸν αὐτῶν ἀποστεῖλαι. καὶ αὐτὸν ἐκεῖνον τὸν στρατηγὸν παραγενέσθαι μετὰ ἐκλεκτῶν ἀρχόντων καὶ καλοϊππαράτων, καὶ ἐμφανισθῆναι τοῖς πολεμίοις, καὶ πρὸς μάχην δῆθεν κατ᾽ αὐτῶν παρασκευασθῆναι, τοῦ συμβαλεῖν πόλεμον· τοὺς παριππαράτους καὶ ἐνταγιστράτους διαχωρίζων ἐξ αὐτοῦ, καὶ εἰς ὀχυρώματα εἴτε κάστρον ἀποστέλλων, εἰ τύχῃ πλησίον. εἰ δὲ ποταμὸς οὐκ C ἔστιν οὐδὲ δυσχωρία ἐν τῇ ὁδῷ, καὶ ὡσαύτως δεῖ μικρόν τι παραβουλεύσασθαι καὶ πρὸς μάχην ὁρμῆσαι, ἕως οὗ καὶ ἐπιδιωχθῇ παρ᾽ αὐτῶν τῇ νυκτί· ἵνα διαγινώσκοντες σαφῶς οἱ πολέμιοι τὸν στρατηγὸν ἐπακολουθοῦντα, συσταλῶσι, καὶ μηδαμῶς ἐξελάσαι τολμήσωσι, καὶ τὴν ἐπίθεσιν κατὰ τῶν χωρίων ποιήσωνται. καὶ τούτου γενομένου, τῆς μελλούσης γενέσθαι ἐπιδρομῆς ἐν τοῖς χωρίοις καὶ αἰχμαλωσίας ῥύσεται αὐτοὺς, καὶ ἐλευθερώσει. μετὰ πολλῆς δὲ ἀκριβείας καὶ διασκέψεως ποιείτω τὴν ἔνδειξιν καὶ κατ᾽ αὐτῶν προσβολὴν, δι᾽ ὀλίγων καὶ ἐκλεκτῶν, ὡς ἔφημεν, D ἱππέων, καὶ εὐθέως ὑποστρεφέσθωσαν φεύγοντες πρὸς τὸν στρατηγὸν καὶ τὸ ὀχύρωμα, καὶ μὴ ἀμέτρως καὶ παρὰ τὸ δέον ἐφορμάτωσαν κατὰ τῶν ἐχθρῶν. λαοῦ γὰρ ἴσως παρὰ τὴν αὐτῶν δύναμιν αὐτοῖς ἐπιφορτισθέντος, πολεμίας χειρὸς θᾶττον γενήσονται παρανάλωμα· καὶ μάλιστα, εἰ τύχῃ πανσέληνον εἶναι τὴν νύκτα. Fol. 388 v. εἰ δὲ ἀφεγγής ἐστι καὶ ζοφώδης, ἀβλαβῶς τὴν τοιαύτην πρᾶξιν ἐργάσονται, καὶ δυοῖν θάτερον πάντως φανεῖεν κατωρθωκότες· ἢ μηδόλως ἐξελάσαι πρὸς λείαν τοὺς πολεμίους παρασκευάσαντες, ἢ, εἴπερ καὶ ὅλως ἐκδράμωσιν, ἄχρι τοῦ αὐγάσαι τὴν ἡμέραν

8. ἐπιδιωχθῇ] *Insectare* ut activum adhibui, Plauti auctoritatem secutus.

in ultimum agmen immittat. Ipsumque ducem propius accedere expedit cum praefectis, lectis illis quidem et probis equis insidentibus, seque in conspectum dare hostium, et ad dimicationem adversus illos se comparare, perinde quasi iamiam esset praelium commissurus: equisones autem atque pabulatores disiungat a se, inque loca munita vel in oppidum amandet, si forte subest. Sin flumen non est in itinere, neque difficultas viarum, nihilominus oportet audere aliquantulum, comminarique impetum, donec ab his nocte vel insectetur: ut hostes ubi praeclare intellexerunt ducem subsequi, pleni formidinis neque longius progredi neque in vicos incursionem facere audeant. Id si accidit, ab imminenti invasione vicos, a servitute suos vindicabit dux, et liberabit. Ostentationem autem et impressionem cum diligentia atque providentia magna faciat, per paucos et lectos, ut docuimus, equites, qui celeri fuga ad ducem locumque munitum revertantur, neque effuse et plus quam attinet in hostem ruant. Nam copia pro ipsorum viribus nimis magna incumbente, cito fortasse hostilis manus praeda fient: idque maxime, si accidit ut sit luna pernox. At si nox illunis est et obscura, sine ullo incommodo suo rem perficient, eque duabus rebus alteram certe obtinebunt: aut enim efficient, ut hostes omnino praedatum non

τελείως οὐδαμῶς ἐξελάσαι κατατολμήσουσι, καὶ τότε ὀλίγοι τινές. [P. 140] οἱ γὰρ πλείους τὸν παρὰ τοῦ στρατηγοῦ πόλεμον ὑφορώμενοι τῆς τοῦ Ἀμηρᾶ παρατάξεως οὐκ ἀποστήσονται. καὶ οὕτως ποιοῦντος τοῦ στρατηγοῦ, ἐκφύγωσιν οἱ τῶν χωρίων οἰκήτορες εἴς τε τὰ ὀχυρώματα καὶ τὰ κάστρα, καὶ ἀβλαβεῖς διατηρηθῶσιν.

ΚΕΦ. ιγ΄. Περὶ τοῦ ἐνεδρεῦσαι κατὰ τῶν λεγομένων μινσουρατόρων ἐν τοῖς ἀπλήκτοις.

Τῶν δὲ πολεμίων φωσσατικῶς τὰς χώρας ἡμῶν δηούντων, [B] καὶ κοῦρσα πόῤῥωθεν μὴ ἀποστελλόντων, ἀλλ' ἑαυτοὺς ἀσφαλιζομένων, σπουδάσει δι' ἑτέρας μηχανῆς τραυματίσαι αὐτούς. διασκοπῆσαι δὲ χρὴ καὶ στοχάσασθαι, ἀφ' οὗ τόπου τὸ τῶν πολεμίων ὑπάρχει ἄπληκτον, καὶ ἐν ποίῳ τῇ ἐπιούσῃ μέλλει ἀπληκεύειν. καὶ εἰ μακρότατόν ἐστι τὸ διάστημα τοῦ ἀπλήκτου, ὡσεὶ μιλίων ἕξ, καὶ δέκα, καὶ ἐπέκεινα, ὥστε τὸ τῆς ὁδοῦ μῆκος δύνασθαι κατακόπους αὐτούς τε καὶ τοὺς ἵππους αὐτῶν ἐργάσασθαι· πλησίον τοῦ τόπου, ἐν ᾧ μέλλουσι καταλύειν, διασκοπήσας, καὶ εὑρὼν λόχον ἐπιτήδειον, μαχίμους καὶ ἐκλεκτοὺς [C] ἄνδρας ἱππότας τριακοσίους, ἢ καὶ τούτων ἔλαττον, ἀπολεξάμενος, ἐν αὐτῷ ἀποκρύψεις. καταστήσεις δὲ καὶ ἑτέραν ἐνέδραν μετὰ παντὸς τοῦ λαοῦ σου ἐν ἐπιτηδείῳ τόπῳ, ἔχοντι καὶ ὀχύρωμα εἰς ἀσφάλειαν αὐτοῦ. εἰ δὲ καὶ κάστρον πλησίον τύχῃ, ἐστὶ καὶ αὐτὸ εἰς περισσοτέραν σου σωτηρίαν καὶ ὠφέλειαν. καὶ εἰ χρεία [Fol. 389 r.] γένηται τῶν πεζῶν, ἐξελθέτωσαν καὶ αὐτοὶ τοῦ κάστρου, συμμα-

12. *μιλίων ἕξ, καὶ δέκα.* Fort. sublato commate in graeco, *ad m. XVI, aut ultra.*

exeant, aut, si id faciant, ut certe ante albens penitus coelum non audeant egredi, tuncque pauci duntaxat. Plerique enim, ducis impetum veriti, a signis Amirae non discedent. Ita, si sic se gesserit dux, pagani in loca munita et in oppida elapsi incolumes servabuntur.

CAP. XIII. De insidiis, quae contra mensuratores, quos vocamus, in castrorum locis fiant.

Hostes si castris factis provincias nostras populantur, neque longius praedatores dimittunt, sed sese custodiunt, operam dabit, ut alio commento eos male habeat. Dispicere oportet atque coniecturam capere, tum qua ex parte hostium castra sint, tum ubi postridie eius diei sint metaturi. Qui locus si longius abest a castris, ad sextum milliarium, aut decimum, aut ultra, ut itineris longitudo languentes ipsos iumentaque eorum efficere possit: iuxta illum locum, ubi metaturi sunt, si inspectione facta latibulum opportunum inveneris, equites lectos valentesque trecentos, vel etiam pauciores, dimissos ibi abdes. In alteris insidiis totum exercitum tuum collocabis loco idoneo, qui firmamenti causa munitionem habeat. Si oppidum subest, id quoque ad salutem commodumque tuum plurimum confert. Et si pedites opus sunt, egredi illi possunt ex oppido, pugnaturi una te-

*χοῦντες καὶ ἐπιβοηθοῦντές σοι. οἱ δὲ προτρέχοντες τοῦ λαοῦ τῶν πολεμίων καταλαβεῖν τὸν τόπον πρὸς τὸ εὐτρεπίσαι τὰ ἑαυτῶν ἄπληκτα, ὡς εἰώθει, οὓς μινσουράτορας εἴθισται Ῥωμαίοις* Mensuratores.
D *καλεῖν, καὶ ἀσχολουμένων ἐν αὐτοῖς, ἐξελθέτωσαν κατ' αὐτῶν οἱ παρὰ σοῦ ἐν τῷ πρώτῳ λόγῳ πλησίον τοῦ ἀπλήκτου προκαταστάντες ὀξέως σὺν ἐλασίᾳ πολλῇ, καὶ τούτους βοηθείᾳ Θεοῦ χειρώσονται. καὶ εἴγε τούτους οἱ ἐχθροὶ καταδιώξουσιν ἕως τοῦ τόπου, ἐν ᾧπερ δυνατὸν ἔγκρυμμα κατέστησας, ἐξερχόμενος κατ' αὐτῶν ἀνδρικῷ καὶ γενναίῳ ὁρμήματι ὑπερισχύσεις τῶν διωκόντων, καὶ τρόπαιον μνήμης ἄξιον ἀνεγερεῖς. καὶ εἴγε συμβῇ δυνάμεις τῶν πολεμίων καταλαβεῖν, ἀντιμαχομένας σοι, ἔχων τὴν τοῦ ὀχυρώματος βοήθειαν καὶ τῶν πεζῶν, οὕτως καταισχυ-*
P. 141 *νεῖς αὐτοὺς, καὶ πολλοὺς τῶν οἰκείων ἀποβαλόντας ἀπράκτοὺς παρασκευάσεις ὑποστρέψαι.*

***ΚΕΦ. ιδ'. Περὶ τῆς ὑποχωρήσεως τῶν ἱππέων ἀπὸ τῶν πεζῶν, ὁδοιπορούντων ὁμοῦ.***

*Χρὴ οὖν καὶ τοῦτό σε ἀκριβῶς, ὦ στρατηγὲ, σκοπεῖν, καὶ τῶν πολεμίων ἀγωνιζομένων διαλαθεῖν σε, καὶ κοῦρσα ἀποστέλ-*
B *λειν, καὶ τὰς χώρας ἡμῶν λῄσασθαι, ἄγρυπνον ἔχειν τὸν νοῦν· μή ποτέ σε ἡ ἐπίνοια καὶ μηχανὴ αὐτῶν διαλάθῃ. ὅπερ γὰρ λέξω, καὶ ἐν ἄλλοις οἱ αὐτοὶ ἐξειργάσαντο. ὁμοῦ γὰρ αὐτῶν τῶν τε ἱππέων καὶ πεζῶν σὺν τῇ ἀποσκευῇ ὁδοιπορούντων, καθὼς ταῖς ὄπισθεν καὶ διελθούσαις ἡμέραις ἐποίουν οἱ εἰς κοῦρσα ἐξελάσαι βουλόμενοι, ἡνίκα πρὸς δυσμὰς ὁ ἥλιος καταντήσῃ, ἡ μὲν ἀπο-*

19. *σὺν τῆς ἀποσκευῆς* codd.

cum et opem laturi. Si qui autem, ut fit, antecurrunt de exercitu hostili, locum capturi, ubi castra instruant, quos mensuratores vocare Romani consueverunt, his in opere occupatis, qui abs te prope castra in primis insidiis constituti sunt, celeriter in illos magno impetu erumpant, et obsecundante numine eos oppriment. Contra, si hostes eos prosequuntur usque ad locum, ubi firmiores insidias collocasti, invadens illos impressione virili ac forti superabis persequentes, tropaeumque memoriae dignum de illis excitabis. Denique si accidit, ut maximae copiae hostium ingruant, tibique obsistant, nihilominus, quod cum a munitione tum a peditatu habes adiumentum, eos confundes, efficiesque, ut, multis suorum amissis, re infecta redeant.

Cap. XIV. De discessu equitum a peditatu, quocum iter fecerant.

Illud quoque, o dux, diligenter considerare te oportet, et, si hostes inscientе te praedatores emittere, provinciasque nostras populari student, intentam habere mentem: ne forte tibi consilium commentumque eorum lateat. Nam quod dicturus sum, iidem alibi quoque patraverunt. Equitatu atque peditatu eorum cum impedimentis una iter faciente, quemadmodum antea diebusque superioribus fecerunt, si qui praedatum exire vo-

σκευὴ αὐτῶν καὶ ἅπαν τὸ ὑπουργικὸν σὺν τῷ πεζῷ τούτῳ στρα- Fol. 389 v.
τεύματι καὶ τοῖς εἰς φυλακὴν αὐτῶν καταλιμπανομένοις πολεμι-
σταῖς ἱππεῦσι τὰς σκηνὰς πηξάμενοι, ὡς ἔθος αὐτοῖς ἀπληκεύ- Castra Arabum.
ουσιν. οἱ δὲ εἰς κοῦρσον ἑτοιμασθέντες, καὶ τὰς ἡμετέρας χώ-
ρας καταδραμεῖν βουλόμενοι, πρὸς τὸ μὴ κονιορτὸν αὐτῶν φα- C
νῆναι, ἀμφὶ δείλην ὀψίαν πρὸς κοῦρσον ὁρμῶσι. τῷ δὲ παρα-
μεῖναι ὀφείλοντι τῷ τῶν πολεμίων φωσσάτῳ, εἴτε τουρμάρχης
ἐστὶν εἴθ' ἕτερος ἄρχων, μετὰ τοῦ λαοῦ αὐτοῦ ἐρχόμενον χρὴ
πλησιάσαι τῷ τόπῳ, ἐν ᾧ αὐλίζονται. ἐπειδὴ, τῆς νυκτὸς κα-
ταλαμβανούσης, ὀφείλουσι τότε κατὰ τὸ εἰωθὸς εἰσέρχεσθαι, καὶ
πλησιάζειν ταῖς σκηναῖς αὐτῶν, μετὰ πρώτην ὥραν ἢ καὶ δευ-
τέραν τῆς νυκτός. καὶ ἐὰν οὐχ εὑρήσωσιν ἐν τῷ ἀπλήκτῳ τοὺς
τῶν πολεμίων ἱππεῖς, διὰ τὸ ἤδη αὐτοὺς εἰς κοῦρσον πορευθῆ-
ναι, οὐκ ἔστι δυνατὸν ἄλλως τούτους, τοὺς τὴν παραμονὴν πε- D
πιστευμένους ἄρχοντας, τοῦτο ἀκριβῶς διαγνῶναι, καὶ τῷ στρα-
τηγῷ τὸ ἀληθὲς καταμηνύσαι, εἰ μὴ οὕτως ὡς λέξω. δεῖ τοίνυν
τοὺς καθ' ἑκάστην ἡμέραν πρὸς παραμονὴν ἀποστελλομένους, ἐκ
τῶν παραμεινάντων τὰς ὄπισθεν καὶ διελθούσας ἡμέρας τὸ φωσ-
σάτον, καὶ εἰς τετράδια ἱσταμένους, καθὼς ἀνωτέρω εἰρήκαμεν,
δύο ἐξ αὐτῶν ἐμπειροτάτους καὶ ἀνδρείους τῶν εἰς τὴν παραμο-
νὴν ἀπερχομένων παρὰ τοῦ στρατηγοῦ λαμβάνειν· ἵνα καλῶς
παρ' αὐτῶν ἀναδιδάσκωνται, οἷα πρότερον κἀκεῖνοι ἐνήργησαν
καὶ ἐθεάσαντο. αὐτοὺς δὲ τοὺς δύο ἀναμίξας ἐνὶ τῶν τεσσάρων P. 142
τετραδίων ὁ τουρμάρχης ἀποστειλάτω κατὰ τὸν προεκτεθέντα

7. ὀφείλοντι. Sic codd. omnes, dativo. 10. εἰσέρχεσθαι. Leg. ἀπέρχεσθαι, vel προσέρχεσθαι.

lunt, sole ad occasum vergente; impedimenta eorum calonesque omnes, cum peditatu atque equitibus armatis ad praesidium eorum relictis, constitutis tabernaculis more suo consident. Qui vero parati sunt ad incursionem faciendam, popularique regiones nostras constituerunt, ne pulvis eorum cerni possit, circa serum diei praedatum proficiscuntur. Tum, qui speculaturus est castra hostium, sive turmarcha sit, sive alius praefectus, cum manu sua progressus propius accedere debet ad locum, ubi consederunt. Postea, tenebris iam offusis, de more ulterius etiam provecti appropinquent tentoriis illorum, post primam vel secundam horam noctis. At si equites hostium non amplius sunt in castris, iamque exierunt praedatum, fieri sane non potest, ut praefecti, quibus observatio credita est, id recte perspiciant, veritatemque duci renuncient, nisi illo, quem docebo, modo. Oportet, qui quotidie ad observationem mittuntur, ut ex iis, qui diebus proxime superioribus castra speculati sint, perque quadrigas constiterint, quemadmodum superius demonstravimus, duos peritissimos atque fortissimos illorum, qui speculatum mitti solent, a duce accipiant: quo accurate ab his edoceantur, quid quisque prius egerit atque viderit. Hos duos in aliquam ex quatuor quadrigis receptos turmarcha ad speculandum ratione

Fol. 390 r. τύπον τῆς παραμονῆς, ἐγγίσαι τῷ φωσσάτῳ, πρὸς τὸ ἀκούειν τὰς φωνὰς αὐτῶν, καὶ τοὺς χρεμετισμοὺς τῶν ἵππων. οἱ οὖν δύο ἄνδρες οἱ πρότερον παραμείναντες ἐν ἄλλοις ἀπλήκτοις τῷ φωσσάτῳ, ὅτε καὶ ὁ λαὸς αὐτῶν ἅπας συνῆν καὶ συνηπλήκευε, δυνήσονται στοχάσασθαι ἀπό τε τῆς τοῦ λαοῦ ὀχλαγωγίας καὶ ταραχῆς, καὶ τοῦ χρεμετισμοῦ τῶν ἵππων, ἀπό τε τοῦ χώρου, ἐν ᾧ τὰς σκηνὰς ἐπήξαντο. οὐ γὰρ εὑρεθήσεται ὁ χῶρος τὸ τρί-
B τον μέρος ἔχων, ὃν ἐν τοῖς ὄπισθεν ἀπλήκτοις κατεῖχον, ὅτε ἅπαντες ὁμοῦ ἠπλήκευον. καὶ ἐκ τούτου δυνατόν ἐστι στοχάσασθαι καὶ κατανοῆσαι, ὡς ἐπιλείπει ὁ λαὸς τῶν πολεμίων ἐν ἐκείνῳ τῷ χώρῳ, καὶ μὴ εἶναι σὺν αὐτοῖς ἐν τῷ ἀπλήκτῳ. καὶ πῶς γὰρ οὐ δυνατὸν τοῦτο στοχάσασθαι, ὁπόταν ἓξ χιλιάδες ἀνδρῶν, πλεῖον ἢ ἔλασσον, καὶ ἵππων ἄχρι τῶν δώδεκα ἐπιλείπωσιν ἐκ τοῦ ἀπλήκτου, οὓς πάντας ὁμοῦ εἶναι οἱ πρώην παραμείναντες ἑώρων καὶ κατεστοχάζοντο; διὰ οὖν τὸ ἀμφίβολον, πρὸς τὸ καὶ τελείαν λαβεῖν τοὺς παραμένοντας περὶ τούτου τῆς ἀληθείας κατάληψιν, δέον καὶ τοῦτο τὸν εἰς τὴν παραμονὴν ἀποσταλέν-
C τα τουρμάρχην διαπράξασθαι. ἱππότας ὀκτὼ, ἄνδρας τῶν ἐμπειροτάτων καὶ τὰς ὁδοὺς εἰς ἄκρον ἐξησκημένους ἀπολεξάμενος, διορίσασθαι, εἴτε δεξιᾷ εἴτε εὐώνυμα ἐκ τῶν ὄπισθεν, ἐν ᾧ ὁ τουρμάρχης ἵσταται, ἔμπροσθεν γενέσθαι τῶν πολεμίων, ἀφισταμένους τῶν σκηνῶν μιλίου τὸ ἥμισυ· καὶ ἔμπροσθεν γενομένους ἀκριβῶς ἐρευνῆσαι, καὶ τὰς ὁδοὺς ἀναψηλαφῆσαι. καὶ εἰ ἄρα οἱ τῶν πολεμίων ἱππεῖς διῆλθον, καὶ ἄχρι τῶν διακοσίων
Fol. 390 v. ὑπῆρχον, διαγνώσουσι τὴν τούτων διάβασιν οἱ ἀποσταλέντες,

Nota equos altero tanto plures quam equites.

ante exposita dimittat, ut, castris appropinquantes, voces hostium iumentorumque hinnitum auscultent. Ibi duo illi milites, qui iam prius hostes in aliis castris observaverunt, universis eorum copiis una tendentibus, poterunt cum ex fremitu strepituque multitudinis, tum ex hinnitu equorum, tum denique ex spatio, quod tentoriis occupant, coniecturam inire. Neque enim tertiam partem amplitudinis reperietur habere locus, qua erat superioribus castris, tunc cum omnes una tendebant. Unde existimationem facere atque intelligere licet, deesse copias hostibus illo loco, neque cum illis in castris consedisse. Qui enim potest fieri, ut id non animadvertant, quando hominum plus minus sex millia, equorum ad duodecim a castris absunt, quae qui nuper speculati sunt, una tendentia conspexerunt et computaverunt? Attamen, ut, sublata omni dubitatione, veritatem perfectam hac in re speculatores perspiciant, turmarcha speculatum missus, praeter haec illa debet instituere. Equites octo ex peritissimis, viarum apprime gnaros, disponat, ut sive a dextra sive a sinistra ex subsidio, ubi turmarcha constitit, trans castra hostium se conferant, donec a tentoriis quingentos passus absint: in progrediendo diligenter attendant, vias perquirant. Quod si iam praetervecti sunt hostium equites, fueruntque circa ducentos, cognoscet tamen eorum transitum statio, nedum si extiterunt

μήτοι γε ἄχρι τῶν δώδεκα χιλιάδων ἵπποι, πλέον ἢ ἔλασσον. τὰ γὰρ ἴχνη τῶν τοσούτων ἵππων, ὡς προσφάτως διελθόντων, σαφῶς οἱ ἀποσταλέντες διαγνώσονται, καὶ τάχει πολλῷ πρὸς τὸν D τουρμάρχην ὑποστρέφοντες περὶ τούτου ἀπαγγειλάτωσαν, καὶ διὰ ποίας ὁδοῦ τὴν ὁρμὴν ἐποιήσαντο. ὁ δὲ τουρμάρχης παραυτίκα σπουδῇ πολλῇ τῷ στρατηγῷ καταμηνυσάτω περὶ τούτου, καὶ διὰ ποίας ὁδοῦ ἐπορεύθησαν. δεῖ οὖν τὸν στρατηγὸν πρὸς ταῦτα βουλεύσασθαι μετὰ τῶν συνόντων αὐτῷ στρατηγῶν, καὶ λοιπῶν ἐμπείρων. καὶ εἰ μὲν ὁρᾷ τὸ ἑαυτοῦ στράτευμα δύναμιν ἔχον τοῦ ἀντιπαρατάξασθαι τῷ τῶν πολεμίων φωσσάτῳ, πρὸς τὴν κατ' αὐτῶν μάχην παρασκευασθήτω· εἴγε πλησίον ἐστὶ καὶ τὸ τῶν πεζῶν αὐτοῦ στράτευμα, δυνάμενον τῇ αὐτῇ ἡμέρᾳ ἑνωθῆναι αὐτῷ. P. 143 εἰ οὖν ἐστιν ὁ χῶρος, ἐν ᾧ οἱ πολέμιοι αὐλίζονται, Castra hostium ubi. ὀχύρωμα ἔχων εἰς ἐκείνων ἀσφάλειαν, ἢ ῥύακα δυσδιάβατον, οὐ χρὴ πρὸς τὸν κατ' αὐτῶν ἐξαρτύεσθαι πόλεμον. εἰ δὲ ἐφόμαλός ἐστι πανταχόθεν, μάλιστα δὲ καὶ τῶν πεζῶν δυναμένων καταλαβεῖν ἐν ἡμέρᾳ τῆς τοῦ πολέμου προσβολῆς, παρασκευασθήτω πρὸς τοῦτο. εἰ δὲ ὁ χῶρος ὀχυρότητα ἔχει, ὡς ἔφημεν, καὶ τὸ πεζικὸν στράτευμα ἐπιλείπει, δέον ὁρμῆσαι τάχει πολλῷ πρὸς τὸ τοὺς κουρσεύοντας τῶν πολεμίων καταλαβεῖν· καὶ ἄρχοντα μὲν χρήσιμον ἀποστεῖλαι, τοῦ ἐπιλαβέσθαι τῶν ἰχνῶν τῶν πρὸς τὴν B ἐκδρομὴν τοῦ κούρσου ὁρμησάντων πολεμίων. αὐτὸς δὲ μετὰ παντὸς τοῦ λαοῦ ἐκ πλαγίου περιπατῶν σπευσάτω ὀξύτερον βαδίζων πλησίον γενέσθαι, καθὼς τὰς ὁδοὺς ἐπίσταται, ἐν αἷς οἱ Fol. 391 r. πολέμιοι περιπατοῦσι. καὶ μετὰ ἀσφαλείας περιπατείτω. ἡνίκα

usque ad duodecim millia equorum, plus minus. Etenim, vestigiis tot iumentorum recens praetergressorum perspicue animadversis, speculatores celerius ad turmarcham reversi eum de hac re renuncient, tum qua via excursionem fecerint. Item turmarcha evestigio celeritate adhibita et de eo ducem certiorem faciat, et de via qua discesserint. Ducem oportet hac super re cum praefectis, quotquot adsunt, reliquisque peritis viris deliberare. Si suum exercitum satis roboris habere videt ad signa in castra hostium inferenda, ad praelium adversus illos se instruat: si quidem propius absunt pedestres ipsius copiae, seque eo ipso die coniungere cum eo possunt. At si locus, ubi consederunt hostes, munitionem habet, quae propugnaculo illis sit, vel rivum transitu impedito, non oportet certamen cum iis instituere. Contra, si planus est undique, et maxime si die oppugnationis pedites assequi eum possunt, paret se ad dimicandum. At si locus munitionem habet, quemadmodum diximus, pedestres autem copiae absunt, oportet celerius movere ad praedatores hostium opprimendos, praefectumque probum mittere, qui hostium praedatum profectorum vestigiis instet. Ipse cum omnibus copiis obliquo itinere appropinquare citato gradu properet, prout vias cognitas habet, in quibus hostes ambulant. Id iter magna cum cautione faciat. Dein imminente primo diluculo exploratores dimit-

δὲ τὸ διάφαυσμα τῆς ἡμέρας ἐγγίσῃ, ἀποστειλάτω βιγλάτορας
εἰς κατασκοπὴν τῶν πολεμίων· καὶ εἰς ὑψηλοὺς βουνοὺς ἀνερχό-
μενοι ἀγωνισάσθωσαν θεάσασθαι αὐτούς. ὁ δὲ στρατηγός, ἡμέ-
ρας γενομένης, τὸν ἑαυτοῦ λαὸν ἀποκρυπτέτω, ἵνα μή, τὸν
κονιορτὸν αὐτοῦ οἱ πολέμιοι θεασάμενοι, μᾶλλον ἐνεδρευθῇ παρ'
αὐτῶν. καταμηνυόμενος δὲ ἢ παρὰ τῶν ἐπακολουθούντων τῷ
C κούρσῳ, ἢ παρὰ τῶν εἰς ἐπισκοπὴν καὶ βίγλαν ἀποσταλέντων,
ἐν ᾧ τόπῳ ἡ παράταξίς ἐστι τῶν πολεμίων ἢ τὸν ἀρχηγὸν αὐτῶν
ἔχουσα, ὀλίγους τινὰς μεθ' ἑαυτοῦ λαβὼν ὁ στρατηγὸς καὶ εἰς
ὑψηλὴν σκοπιὰν ἀνερχόμενος, σπευσάτω οἰκείοις ὀφθαλμοῖς τὴν
τῶν πολεμίων παράταξιν θεάσασθαι. ταύτην δὲ θεασάμενος,
ἐπεὶ καὶ τὸ πλῆθος τοῦ λαοῦ αὐτῶν διεσκορπίσθη πρὸς λείαν,
στοχαζέσθω μετὰ τῶν σὺν αὐτῷ τὸ πλῆθος τῆς παρατάξεως τῶν
πολεμίων, καὶ τὴν τοῦ ἰδίου λαοῦ ἰσχύν. καὶ ἐὰν πλεῖόν ἐστι τὸ
ἑαυτοῦ στράτευμα τῶν πολεμίων, ὁρμησάτω κατ' αὐτῶν, ὡς
D ἤδη ἀνωτέρω διετυπώσαμεν· καὶ εἰ παράσχῃ αὐτῷ Θεὸς βοή-
θειαν, καὶ δυνηθῇ τὴν παράταξιν αὐτῶν τραυματίσαι καὶ κα-
ταδιῶξαι, μέγα ἔργον καὶ μνήμης ἄξιον ἐπιτελέσει. εἰ δὲ πλῆ-
θός ἐστι τοῦ λαοῦ ἐν τῇ τῶν ἐχθρῶν παρατάξει, δέον ἐστὶ σπου-
δάσαι τὸν στρατηγὸν ἔμπροσθεν γενέσθαι, ἐν οἷς χωρίοις οἱ πο-
λέμιοι τὰς ἐκδρομὰς ἐποιήσαντο, ἐκ τῶν ὄπισθεν αὐτῶν γενό-
Fol. 391 v. μενον. καὶ τούτων διεσκεδασμένων ἐπιτυγχάνων, καὶ τῇ ἐλασίᾳ
ἐκλελυμένων καὶ αὐτῶν καὶ τῶν ἵππων αὐτῶν, εὐχερῶς τούτους
καταγωνίσεται δι' ὅλης τῆς ἡμέρας, ἀναψηλαφῶν αὐτοὺς ἐν τοῖς
P. 144 χωρίοις· κἀκείνους μὲν λόγῳ ἀνδραπόδων καταστήσει, καὶ ὡς

14. ἐστι. Sic codd.

tat, qui de hostibus inquirant: hi, collibus editis conscensis, operam dent, ut contemplari eos possint. Ubi illuxit, dux copias suas occultet, ne, excitato earum pulvere, ipse potius in adversariorum insidias incidat. Dein certior factus vel ab his qui praedatores secuti sunt, vel ab illis quos circumspiciendi explorandique causa dimisit, ubi agat illud hostium vexillum, in quo praefectus eorum sit, paucis assumtis dux in excelsam ascendens speculam conetur propriis oculis aciem hostium considerare. Qua perspecta, ubi multitudo eorum se diffuderit praedatum, aestimet cum iis qui una sunt, tum copias in acie hostili stantes, tum suae manus firmitatem. Si suus exercitus amplior est hostili, incitet se in eos, ut iam superius descripsimus: ac si, Deo auxilium praebente, aciem eorum sternere potest et fundere, magnum sane facinus memoriaeque dignum efficiet. Sin ingentes copiae sub signis hostium constiterunt, operam dare debet dux ut ulterius moveat, ad vicos quos adversarii invaserunt, ita ut a tergo eorum existat. Quos si dispersos cursuque cum ipsos tum iumenta fessos deprehendit, nullo negotio eos per totum illum diem occidet, perque vicos indagabit: ipsos numero servorum habebit, in eosque suo arbitratu statuet.

βούλεται τοῖς κατ' αὐτῶν χρήσεται. τοὺς δὲ γεωργοὺς ἐλευθερώσει τῆς αἰχμαλωσίας, καὶ εἴ τι ἂν ἔτυχον τῶν αὐτῶν λαβεῖν. εἰ δέ γε καὶ φούλκῳ συναντήσῃ τῷ εἰς φυλακὴν ἐπακολουθοῦντι τῶν ἐξελαυνόντων, παρασκευασθήτω πρὸς τὸν κατὰ τοῦ φούλκου πόλεμον, καθὼς ἔμπροσθεν ἐξεθέμεθα, καὶ Θεοῦ συνεργίᾳ τῆς κατ' αὐτῶν μάχης κρατήσει. εἰ δὲ τοῖς ἐν τῇ αὐτῇ νυκτὶ παραμεῖναι σταλεῖσι τοῖς πολεμίοις ἐναντία ἀπηντήκασι συναντήματα, διὰ τὸ μήπω προκαταλαβεῖν αὐτούς, καὶ εἰς τοὺς τόπους γενέσθαι, ἐν οἷς τὸ φωσσάτον βλέπειν ἠδύναντο, καὶ τὰς φωνὰς B αὐτῶν ἐνωτίζεσθαι· καὶ τὸ κοῦρσον αὐτῶν προεξῆλθεν, ὡς ἔφημεν, πρὶν τὴν περὶ τούτου ἀκριβῆ λαβεῖν αὐτοὺς τῆς ἀληθείας κατάληψιν· καὶ ἐκ τοῦ τοιούτου συναντήματος βραδῦναι καὶ χρονίσαι συνέβη τὴν πρὸς τὸν στρατηγὸν ἀποστελλομένην βεβαίαν ἀπαγγελίαν τοῦ πράγματος, καὶ τὸ πρὸς τὸν στρατηγὸν ἀποστελλόμενον μανδάτον· εἰ μὲν πρὸς ὥραν ἐννάτην τῆς νυκτὸς καὶ ἐπέκεινα καταμηνυθῇ ὁ στρατηγὸς περὶ τούτου, καὶ ὁρᾷ τὸ στενὸν τοῦ καιροῦ, ἐπεὶ καὶ τὸ κοῦρσον τῶν πολεμίων ἔτι τῆς ἡμέρας ἐπικρατούσης τὴν κίνησιν ἐποιήσατο, καὶ δι' ὅλης τῆς νυκτὸς πόῤῥω που γενέσθαι ἔμελλε, καὶ οὐ δυνατὸν, τούτους C διεσκεδασμένους καταλαβεῖν· χρὴ αὐτὸν εἰς τὸν κατὰ τοῦ φωσσάτου εὐτρεπισθῆναι πόλεμον. καὶ εἰ μὲν διημερεῦσαι βουληθῶσιν Fol. 392 r. ἐν ᾧ αὐλίζονται τόπῳ, παρασκευασθῆναι αὐτὸν εἰς τὴν κατ' αὐτῶν μάχην, καθὼς ἀνωτέρω τὸν κατὰ τοῦ φωσσάτου πόλεμον γενέσθαι ἐξεθέμεθα. ἀλλ' οὐκ ἂν διημερεύσουσιν ἐν αὐτῷ τῷ

5. ἐξεθέμεθα. Vid. supra 131. D.

Rusticos, et quicquid ex eorum bonis rapere iam potuerunt, a servitute vindicabit. Si autem in fulcum incidit, quod excursorum tuendorum causa subsequitur, ad illud adoriendum se paret, quemadmodum superius exposuimus, et, Deo obsecundante, praelio facto superabit. At si illis, qui ea nocte speculatum hostes missi sunt, adversa quaedam acciderunt, ut non potuerint hos praevertere, locumque occupare, unde et videre castra et audire voces adversariorum licuisset: ideoque praedatores profecti sunt, sicut diximus, priusquam de illis certam veramque notionem capere potuerunt: unde accidit, ut explorati super hac re nuncii, ad ducem afferendi, mandatumque, quod transmitti ad eum debet, diutius morentur: si modo circa horam nonam noctis vel etiam serius dux de eruptione certior fit, videtque angustias temporis, et praedatores hostium, de die profectos, itinere nocta non intermisso procul esse debere, fierique non posse, ut dispersos illos deprehendat: expedit oppugnationem castrorum instruere. Ac si in loco, ubi considerunt, permanere totum diem volunt, comparet se ad confligendum, quemadmodum superius de oppugnatione castrorum instituenda exposuimus. Tametsi non persedebunt eo loco, quod

*χώρῳ, διὰ τὸ κατεπείγεσθαι ταῖς ἱππικαῖς αὐτῶν δυνάμεσι ταῖς εἰς λείαν ἐκδραμούσαις τάχιον ἑνωθῆναι. καὶ ὁδοιπορούντων αὐτῶν ἐπιτυγχάνων ὁ στρατηγὸς, προθύμως εἰς τὸν κατ᾽ αὐτῶν ὁρμησάτω πόλεμον, καθὼς καὶ περὶ τοῦ ἐν τῇ ὁδοιπορίᾳ φωσσάτου διακεχωρισμένου τοῦ κούρσου προειρήκαμεν. καὶ πάντα ἐπιμελῶς ποιοῦντος τοῦ στρατηγοῦ κατὰ τὴν προτέραν διάταξιν, τὴν τοῦ Θεοῦ ἔχων βοήθειαν καὶ τῆς ἁγίας καὶ παναχράντου μητρὸς αὐτοῦ καὶ Θεοτόκου, μεγάλην καὶ ἀξιόλογον δουλείαν ἐπιτελέσει.*

D

### ΚΕΦ. ιε΄. Περὶ ἀσφαλείας.

*Δεῖ οὖν σὲ, ὦ στρατηγὲ, πᾶσαν ἀσφάλειαν καὶ φυλακὴν ἔχειν, τοῦ μὴ αἰφνιδιασμὸν ὑποστῆναι, καὶ ἀδοκήτως τοὺς πολεμίους κατὰ σοῦ τὴν ἔφοδον ἐργάσασθαι. ἕξεις δὲ τὴν φυλακὴν καὶ ἀσφάλειαν, εἴγε καθ᾽ ἑκάστην ἡμέραν ἀποστέλλονται παρὰ σοῦ οἱ ὀφείλοντες παραμένειν τῷ τῶν πολεμίων φωσσάτῳ, ἐν ᾧ τόπῳ αὐλίζονται. ἐκείνων γὰρ διὰ σπουδῆς τιθεμένων καὶ πᾶ-*

P. 145 *σαν μηχανὴν καταβαλλομένων, ἀδοκήτως σοι ἐντυχεῖν, τοῦ καταγωνίσασθαί σε, εἰς βλάβην μὲν καὶ ἀπώλειαν τοῦ χριστωνύμου λαοῦ, καὶ ἀδοξίαν τῶν κραταιοτάτων Ῥωμαίων· εἰς ἔπαρσιν δὲ καὶ γαυρίαμα τῶν ἀλαζόνων τῆς Ἄγαρ υἱῶν καὶ ἀρνητῶν*

Fol. 392 v. *Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· συμβαίνει γὰρ κατασχεθῆναι παρ᾽ αὐτοῖς δεσμώτας τῶν ἡμετέρων, ἢ καὶ αὐτομόλους γενέσθαι, καὶ παρ᾽ αὐτῶν μαθεῖν, ἐν ποίῳ τόπῳ αὐλίζῃ. ἵν᾽ οὖν μὴ νυκτὸς*

5. κούρσου. Vid. supra 132. B.

properabunt cum equestribus copiis praedatum egressis celerius coniungi. Ita si illos iter facientes deprehendit dux, alacriter ad manum conserendam se invehat, sicut in capite de itinere exercitus, quando a praedatoribus seiunctum est, praescripsimus. Quae si omnia diligenter dux egerit modo ante dicto, auxilium habens ex Deo sanctaque et immaculata matre eius Deipara, magnum ac memorabile facinus efficiet.

### Cap. XV. De cautione.

Quapropter te, o dux, oportet vigilantiam cautionemque omnem adhibere, ne subitam vim patiare, neve de improviso in te hostes impressionem faciant. Tutum autem tectumque te praestabis, si singulis diebus mittuntur a te qui exercitum hostium speculentur, eo loco ubi consederit. Diligentiam enim adhibent omnemque rationem ineunt, quemadmodum nec opinato tibi superveniant, teque opprimant, ad calamitatem et internecionem populi christiani, ignominiam bellipotentium Romanorum, elationem autem atque iactationem arrogantium filiorum Agar, inficiatorum Christi Dei nostri: etenim usu venit, ut quidam de nostris captivi fiant, aut transfugiant, unde doceantur, quo loco tendas. Igitur ne noctu assumto equitatu

τὰς ἱππικὰς δυνάμεις αὐτῶν ἀνελόμενοι ἐξελάσωσι καταλαβεῖν σε, καὶ ἀδοκήτως ἐπιπέσωσι· διὰ ταῦτα δέον τοὺς παραμένοντας, ἡνίκα τῆς ταραχῆς τοῦ λαοῦ τῶν πολεμίων αἴσθωνται πρὸς κίνησιν, εὐθέως τάχει πολλῷ καταμηνῦσαι, ὅτι τε ὁ λαὸς διεταράχθη B πρὸς κίνημα· πάλιν δὲ ἀποκινούντων, δι' οἵας ἂν ὁδοῦ τὴν πορείαν ποιῶνται· καὶ αὖθις καταμηνύειν, ὅ,τι τε πλῆθος λαοῦ ἀπεκίνησαν, καὶ ἣν ὁδὸν πορεύονται, εἴτε ἅπαντες σὺν τῷ πεζικῷ, εἴτε οἱ ἱππεῖς μόνοι. ὁ δὲ στρατηγὸς μὴ θαῤῥείτω μόνον εἰς τὰ ἐρχόμενα πρὸς αὐτὸν μανδάτα τῶν παραμενόντων τοῖς πολεμίοις, ἀλλὰ καὶ βίγλας ἐχέτω διπλᾶς, ἐξώβιγλα καὶ ἐσώβιγλα, ἔστιν ὅτε καὶ τριπλᾶς· καὶ ἐν νυκτὶ μὲν τὰς ὁδοὺς φυλάττειν, καὶ ἐν οἷς τόποις διάβασιν ὑφορᾶται πολεμίων· ἐν ἡμέρᾳ δέ, μὴ μόνον τὰς ὁδοὺς φυλάττειν τοὺς βιγλάτορας, ἀλλὰ καὶ C εἰς τόπους ἀνέρχεσθαι ὑψηλοτάτους· πρὸς τὸ δύνασθαι αὐτοὺς εὐχερῶς ὁρᾷν μὴ μόνον καπνοὺς καὶ κονιορτούς, ἀλλὰ καὶ λαοὺς τῶν πολεμίων, εἴπερ ἔρχωνται. πλείονας δὲ εἶναι τὰς βίγλας ἔφημεν, διὰ τό, εἴ ποτε συμβῇ τὴν πρώτην ὑπὸ τῶν πολεμίων ἁλῶναι, ἡ μετ' ἐκείνην, τοὺς πολεμίους θεωροῦσα, τῷ στρατηγῷ τὴν τῶν ἐχθρῶν καταμηνύῃ ἔλευσιν. καὶ δὶς δὲ ἐν νυκτὶ μεταπληκεύειν δεῖ τὸν στρατηγόν, καὶ ἐν ἡμέρᾳ ὡσαύτως. καὶ μεταπληκεύων μὲν τοὺς βιγλάτορας μετ' αὐτοῦ λαμβανέτω· καταλιμπανέτω δὲ ἐν ᾧ τόπῳ ηὔλιζετο ἓξ ἄνδρας ἢ ὀκτώ, τοὺς ὑποδοχαρίους καλουμένους, μετὰ καί τινος ἄρχοντος τῶν χρησίμων· (Fol. 393 r.) ἵνα οἱ πεμπόμενοι παρὰ τῶν παραμενόντων τοῖς ἐχθροῖς D μανδάτα φέροντες, προσερχόμενοι, δι' αὐτῶν τῷ στρατηγῷ

Stationes exteriores et interiores.

moveant ad te invadendum, teque improviso opprimant: idcirco oportet speculatores, simul ac fremitum profecturae multitudinis apud hostes audiant, confestim properatione magna renunciare, cooriri copias ad abitum: deinde, postquam egressi sint, qua via iter faciant: denique illud quoque declarare, quantae copiae exierint, qua parte, utrum universi cum peditatu, an equites soli. Neque tamen dux solis significationibus a speculatoribus factis fidem debet tribuere, sed stationes quoque habeat duplices, exteriores et interiores, aliquando etiam triplices: noctu, ut vias et loca custodiant, qua hostes erupturos suspicatur: interdiu, ut excubitores non solum itinera observent, sed etiam in loca editissima evadant, unde fumos et pulveres, tum etiam globos hostium, si qui veniant, videre nullo negotio possint. Plures autem esse debere excubias ideo diximus, ut, si quando prior ab adversariis intercepta sit, tamen quae citra stet, hostes conspicata, eorum adventum renunciare duci possit. Stationem bis qualibet nocte mutare debet dux, et toties quovis die. Qua in migratione excubitores secum transducat: in loco autem, unde movit, relinquat sex aut octo milites: quos hypodocharios vocamus, cum aliquo bono praefecto: ut missi a speculatoribus nuncii, si advenerint, per hos ad ducem perducantur. Ipse dux, quo in loco

ἀποκομίζωνται ἐν ᾧ δὲ πάλιν τόπῳ ὁ στρατηγὸς ἀπληκεύσει, τὰ ἐξώβιγλα ἀποστελλέτω. ἔστωσαν δὲ ἀνὰ τέσσαρες ἄνδρες ἐν ἑκάστῳ σταδίῳ· ἵνα, τῶν δύο καθευδόντων νυκτὸς, οἱ δύο γρηγορῶσιν.

P. 146 ΚΕΦ. ιϛ΄. Περὶ διαχωρισμοῦ τοῦ τούλδου.

Δεῖ οὖν σε, ὦ στρατηγὲ, καὶ τοῦτο παραφυλάττειν, καὶ ἡνίκα πλησιάσαι μέλλῃς τοῖς πολεμίοις, τὸ τοῦλδον ἀπὸ σοῦ διαχωρίζειν καὶ ἀποστέλλειν μήκοθεν, ἐν ὀχυρῷ τόπῳ ἢ ἐν κάστρῳ, ἄνδρα τινὰ τῶν χρησίμων καὶ ἐμπείρων ἐφιστῶν, προνοεῖσθαι αὐτοῦ· καὶ ἱππεῖς μαχίμων ἀνδρῶν ὀλίγους τινὰς παρέχειν τῷ ἄρχοντι τοῦ τούλδου, ὅπως δι' αὐτῶν αἱ βίγλαι κρατῶνται εἰς
B φυλακὴν τοῦ τούλδου. ἡνίκα δὲ πάλιν ἐν χρείᾳ τούτου γένηται, καταμηνύειν τῷ ἐμπεπιστευμένῳ τὴν πρόνοιαν αὐτοῦ ἄρχοντι, ἐλθεῖν ἐν ᾧ τόπῳ διωρίσθη τοῦ ἑνωθῆναί σοι. τοῦ μέντοι τούλδου ἀπὸ σοῦ διαχωριζομένου, ἀναλαμβάνειν σε δεῖ ἐπισιτισμὸν τοῦ λαοῦ καὶ ταγὰς τῶν ἵππων, δύο ἡμερῶν ἢ τριῶν, βασταζομένας εἰς ταχεῖς ἡμιόνους, ἢ καὶ ἵππους ἐν τοῖς σαγμοσελλίοις. ἡνίκα δὲ μέλλῃς κούρσῳ τῶν πολεμίων ἀκολουθῆσαι νυκτὸς, ἅπαν τὸ μάχιμον στράτευμα τεθωρακισμένον ἔστω, ἑκάστου τὸ ἐπιτήδειον πρὸς τὸ πολεμεῖν ὅπλον ἐν χερσὶν ἔχοντος. ἀλλὰ καὶ τὸ
C λεγόμενον σάκα ὄπισθεν ἔχε, ἐπακολουθοῦν σοι. καὶ εἰ μὲν διὰ
Fol. 393 v. δυσβάτων τόπων ἡ πορεία τῶν πολεμίων γένηται, δέον ἰδίως ἓν ἕκαστον θέμα, ἢ καὶ τάγμα, εἰ πάρεισιν, ὁδοιπορεῖν· ὁ μὲν

Sagmae s. sagmosellia. Vid. Ducang. Gloss. II. 1318. C.

denuo considet, inde rursus stationes exteriores dimittat. Sint autem in qualibet statione milites quaterni: ut, binis noctu dormientibus, bini vigilare queant.

CAP. XVI. De submovendis impedimentis.

Illud quoque, o dux, observare te oportet, ut, quando propius accedere ad hostes velis, impedimenta abs te remota longius amandes, in communitum locum vel oppidum, tradita illorum cura viro probo ac perito: cui item equites valentes aliquot attribuendi sunt, per quos excubiae impedimentorum custodiendorum causa fiant. Si denuo tibi opus est, manda praefecto, cui est illorum cura credita, ut moveat in locum, ubi se tecum coniungere iussus est. Ita autem ablegans impedimenta, debes tecum sumere cibaria militum et pabula iumentorum, in duos dies vel tres, quae vel a mulis velocibus vehantur, vel etiam supra equos in sagmis. At quando praedatores hostium insequi noctu velis, omnes milites, quotquot idoneos ad pugnandum habes, loricati esse debent, et telum ad praeliandum aptum unusquisque in manibus teneat. Habe etiam globum, quem saca vocamus, a tergo subsequentem. Si per loca impedita hostes iter faciunt, debent singuli numeri, atque vexilla, si qua adsunt, se-

στρατηγὸς ἔμπροσθεν, ἑπόμενος τῷ τουρμάρχῃ τῷ ἀκολουθοῦντι τοῖς πολεμίοις κατὰ πολὺ πόῤῥω· εἶθ' οὕτως καὶ τὰ λοιπὰ, εἴτε θέματα εἶεν εἴτε τάγματα, καθὲν τῷ ἑτέρῳ ἐφεπόμενον· διὰ τὸ καὶ καλῶς ὁδοιπορεῖν ἐν νυκτὶ, καὶ ἄνευ κραυγῆς καὶ θορύβων. τῷ δὲ τουρμάρχῃ, τῷ ἐπακολουθοῦντι τῷ κούρσῳ, παραγγεῖλαι καὶ ἐξασφαλίσασθαι, ἀκρίβειαν ἔχειν ὑπερβάλλουσαν καὶ ἐγρήγορσιν, μή ποτε οἱ πολέμιοι αἰσθόμενοι ἐπακολουθεῖσθαι αὐτοὺς παρὰ σοῦ, διαχωρίσωσι μὲν τοὺς ἐκλεκτοὺς D αὐτῶν μαχίμους τοὺς πλείονας τοῦ ὑπ' αὐτὸν λαοῦ, καὶ ἀποκρύψωσιν εἰς λόχους, καὶ ἀδοκήτως κατὰ σοῦ ἐπίθωνται· ἐπειδὴ τοιαύτην ἐνέδραν παρὰ τῶν Ταρσιτῶν ἐν τοῖς ἄνω χωρίοις γενομένην εἴδομεν. *Tarsenses qua ratione bellum gerant.* τοῦ γὰρ στρατηγοῦ τότε θεωμένου κονιορτοὺς τῶν εἰς λείαν ἐξελαυνόντων, οὐκ ἐν ἀληθείᾳ, ἀλλ' ἐν σχήματι κούρσου, ὀλίγων καὶ τούτων εὐτελεστέρων, καὶ κατ' αὐτῶν ἐπελθεῖν ἐπειγομένου, καὶ τοῦ τουρμάρχου τοῦ ἐπακολουθοῦντος τῷ κούρσῳ καταμελήσαντος, καὶ μὴ τοὺς λόχους καλῶς ἐρευνήσαντος, ἀδοκήτως τῷ ἐγκρύμματι περιπέπτωκε. καὶ ἵνα μὴ τοι- P. 147 οῦτον γένηται, δεῖ σε, ὦ στρατηγὲ, πολλὴν τὴν ἀσφάλειαν ποιεῖσθαι, καὶ ἐρευνᾶν τοὺς κοίλους τῶν τόπων καὶ ἀποκρύφων, διὰ καβαλλαρίων ἵππους ἐχόντων ταχεῖς καὶ ἀκριβῆ εἴδησιν τῶν τόπων· καὶ περὶ τὸ διάφαυσμα διχῇ διελεῖν τὸ στράτευμα, εἴγε εἰς πλῆθός ἐστι, καὶ εἰς τρεῖς ἀριθμεῖται χιλιάδας· καὶ τοὺς μὲν παραϊππαράτους καὶ τὰς ταγὰς τῶν ἵππων ἐπιφερομένους μήκοθεν ἀποστέλλειν ἐν ὀχυρῷ τόπῳ. τὰς δὲ παρατάξεις οὕτως δεῖ

11. χωρίοις. Fort. χρόνοις. 19. Fort. ἀποκρύφους. 22. χιλιάδας. Cod. B. μυριάδας. Sed infra 148. A. is quoque χιλιάδας.

paratim ambulare: primo dux, qui ipse tamen turmarcham hostes speculantem longo intervallo subsequatur: dein reliqua, sive numeri sint sive vexilla, unum post unum: ut ordinatim procedant noctu, absque clamore ac strepitu. Turmarchae, qui praedatores insequitur, praescribere debes atque imperare, ut diligentiam atque vigilantiam summam adhibeat, ne hostes, certiores facti te insequi, delectos fortesque milites numeroque manum turmarchae superantes a se seiunctos latebris occulant, teque nec opinato adoriantur: cuiusmodi insidias a Tarsensibus superius factas vidimus. Tunc enim dux conspicatus pulverem eorum, qui non vere, sed simulata incursione, praedandi causa exierant, pauci illi quidem et infirmi, cum ad illos invadendos properaret, turmarcha autem hostes insequens, negligentius re gesta, latebras parum curiose scrutaretur, in eorum insidias imprudens incidit. Igitur eiusmodi res ut ne fiat, oportet te, o dux, multam cautionem adhibere, locorumque et latebrarum recessus perscrutari, per equites velocibus equis vectos et locorum accurate peritos: porro prima luce exercitum, si magnus est, usque ad ter mille numero, bifariam dividere: equisones, et qui pabula iumentorum portant, procul in communitum locum amandare. Acies, ob insperatas hostium insidias, instruere oportet in

Fol. 394 r. παρασκευάσαι, διὰ τὰς τῶν πολεμίων ἀδοκήτους ἐνέδρας. καὶ ἡ μὲν πρώτη ἐχέτω ἀρχηγὸν τῶν ἀξιολογωτέρων στρατηγῶν, καὶ B τὸ τρίτον μέρος τοῦ ὑπὸ σὲ λαοῦ, καὶ ὄπισθεν μὲν τοῦ τουρμάρχου ὁδοιπορείτω. σὺ δὲ μετὰ τῆς μεγάλης παρατάξεως ἐπακο- Saca. λούθει τῇ πρώτῃ, ἔχων καὶ τὸ σάκα ὄπισθέν σου μετ' ὀλίγων ἱππέων ἐπακολουθοῦν· ἵνα, εἰ συμβῇ κατὰ σοῦ ἐνεδρεῦσαι τοὺς πολεμίους, καὶ τοὺς πλείονας αὐτῶν μαχίμους ἄνδρας εἰς λόχους καταστῆσαι, καὶ ἐπελθεῖν τῷ αὐτοῖς ἐπακολουθοῦντι τουρμάρχῃ, δέξηται τοῦτον ἐπιβοηθοῦσα ἡ πρώτη καὶ ἔμπροσθέν σου περιπατοῦσα παράταξις. εἶτα πολέμου μετ' αὐτῆς συῤῥαγέντος, καὶ τῶν πολεμίων διασκορπιζομένων ἐν τῇ μάχῃ καὶ τὴν τάξιν λυόντων, C εὑρὼν αὐτοὺς διεσκεδασμένους ὑπερισχύσεις αὐτῶν. τῶν δὲ πολεμίων πρὸς τὴν τοιαύτην ἐνέδραν μὴ παρασκευασθέντων, ἀλλὰ πρὸς τὸ ἐκδραμεῖν καὶ τὰς χώρας ληΐσασθαι κατεπειγομένων, χρὴ πρὸ τοῦ διαυγάσαι τὰς τάξεις τοῦ ὑπὸ σὲ στρατεύματος εἰς τόπους ἀποκρύψαι, πρὸς τὸ μὴ τοῖς πολεμίοις φωραθῆναι, καὶ ἐν τοῖς τοιούτοις ἐγκρύμμασι καρτερῆσαι ἄχρι τρίτης ὥρας ἢ καὶ τετάρτης τῆς ἡμέρας, ἕως ἂν οἱ πολέμιοι πρὸς λείαν ἐξελάσωσι· καὶ τούτων πόῤῥω γινομένων τῆς τοῦ Ἀμηρᾶ παρατάξεως, μετ' ὀλίγων ἀνδρῶν καταλιμπανομένης, καὶ μὴ πλῆθος ἐχούσης λαοῦ, D κατ' αὐτῆς ἐπελθεῖν. καὶ τρεῖς μὲν ἔμπροσθεν παρατάξεις ἀποστεῖλαι ἰσομετώπους, προσβαλεῖν πόλεμον· σὲ δὲ μεθ' ἑτέρων τριῶν ἢ καὶ τεσσάρων παρατάξεων, ταῖς πρώταις ἑπόμενον, πλη- Fol. 394 v. σίον ἐπακολουθεῖν. καὶ ἡνίκα αἱ πρῶται παρατάξεις τῆς ἐκ χειρῶν μάχης ἄρξωνται, καθὼς ὁρᾷς τοὺς οἰκείους ἀγωνιζομένους,

15. εἰς τόπους. Videtur hic excidisse adiectivum.

hunc modum. Prior praefectum habeat unum de ducibus praestantioribus et tertiam partem copiarum tuarum: haec a tergo turmarchae iter faciat. Tu cum acie maiori pone priorem incedens, habe item saca tuum a tergo, quod te cum paucis equitibus sequatur: ut si accidit, hostes structis tibi insidiis plerosque suos fortes milites in latebris collocasse, turmarchamque se sequentem invasisse, prior acies, quae ante te ambulat, subveniat eumque excipiat. Praelio cum illa commisso, quando hostes dimicando disiecti ordines ruperint, tu dissipatos nactus funditus vinces. Si hostes non se parant ad eiusmodi insidias, sed ad excursionem agrorumque populationem properant, debes ante lucem turmas tui exercitus in eiusmodi locis occultare, ubi ab hostibus animadverti nequeant, atque in his latebris persistere usque ad tertiam vel quartam diei horam, donec hostes praedatum dilapsi sint: his longius a signis Amirae digressis, ita ut paucis militibus relictis infrequentia armatis sint, ea invade, tresque acies exaequata fronte praemitte, quae pugnam capessant: tu cum alteris tribus vel quatuor aciebus priores sequens propius succede. Priores acies postquam manus contulerunt, perinde ut tuos praeliantes videbis, ita auxilia subministra. Ac pri-

οὕτω καὶ βοήθειαν παρέχειν. καὶ πρῶτον μὲν τὰς ἔνθεν κἀκεῖθεν συνεπομένας παρατάξεις προαποστεῖλαι, τοῖς πολεμίοις συναφθῆναι, καὶ ἐκ τῶν ἄκρων, εἰ δυνατὸν, καὶ ἐκ πλαγίου προσβαλεῖν, καὶ ἐκ χειρὸς μάχεσθαι· εἶτα καὶ σὲ αὐτὸν, εἰ χρὴ, συμβαλεῖν, εἴπερ ἄρα μὴ ἐπικρατέστερος ὁ ὑπὸ σὲ λαὸς γέγονεν. ἀλλὰ P. 148
μετ' ὀλίγου λαοῦ, ὡς ἔφημεν, τῆς παρατάξεως τοῦ Ἀμηρᾶ καταλιμπανομένης, οὐ δυνήσεται ἀντισχεῖν περὶ τὰς τρεῖς χιλιάδας τὸ ὑπὸ σὲ ἀριθμούμενον στράτευμα. ἀλλὰ ταῦτα μὲν, ὡς ἡ πεῖρα διδάσκει, ἐκτίθεμεν· σὲ δὲ πρὸς τὴν κατεπείγουσαν τοῦ καιροῦ χρείαν τε καὶ περίστασιν διατεθῆναι δεῖ. οὐ γὰρ ἡ παράδοσις δίδωσιν, ἀλλ' ὡς ἡ τοῦ Θεοῦ ἐνισχύσει βοήθεια, ἡ τοῦ πολέμου ἔκβασις ἐπακολουθεῖ. εἰ δὲ μετὰ μόνου τοῦ ἰδίου θέματος ὑπάρχεις, ὦ στρατηγὲ, καὶ ὀλίγον ἐστὶ τὸ ὑπὸ σὲ στράτευμα, καὶ ὡσαύτως δεῖ σε μετ' ἀσφαλείας πόῤῥω τὴν τοῦ κούρσου τῶν B
πολεμίων ἀκολούθησιν ποιεῖσθαι, πρὸς τὸ μὴ παρ' αὐτῶν ἐπιγνωσθῆναι, καὶ κατὰ μόνων τῶν εἰς τὰ χωρία ἐξελαυνόντων καὶ διασκορπιζομένων τὴν ἐπίθεσιν ποιεῖσθαι, ὡς ἀνωτέρω δεδήλωται.

**ΚΕΦ. ιζ'. Περὶ τῶν μετὰ πολλῆς δυνάμεως ἐπιτρεχόντων πολεμίων τὰς χώρας ἡμῶν, καὶ τῆς μετὰ ἐγκρυμμάτων παρασκευῆς.**

Εἰ δέ γε τὸ τῶν πολεμίων ἅπαν, ἱππέων τε καὶ πεζῶν, ἄθροισμα μετὰ μεγάλης καὶ βαρείας δυνάμεως τὰς ἡμῶν χώρας C
ἐξελθὸν ἐπιτρέχει τε καὶ ληΐζεται, καὶ ἐμβαθῦναί τε καὶ διερευ- Fol. 395 r.
νήσασθαι ταύτας διαμελετᾷ· εἰ τύχῃ δὲ, καὶ τὸ Ῥωμαϊκὸν κατὰ

mo quidem acies utrumque tuum latus tegentes praemitte, ut hostibus signa inferant, e locisque superioribus, si fieri potest, et ex obliquo irruentes manus conserant: deinde tu ipse, si necesse sit, incurre, si quidem non superiores fiunt tuae copiae. Tametsi pauci armati, qui, quemadmodum diximus, sub signis Amirae relinquuntur, tuo exercitui, ad ter mille hominum numero, aegre resistere poterunt. Nos haec, ut usus docet, exponimus: tu ut urgens necessitas et tempus flagitat, sic gerere rem debes. Illa enim non doctrina tradit, sed prout divinum auxilium te corroborabit, ita armorum exitus subsequetur. Si solos tuae provinciae milites, o dux, manumque exiguam sub signis habes, nihilominus debes praedatores hostium cum cautione, ne ab illis animadvertare, e longinquo consequi inque eos solos, qui egressi in vicos dissipantur, impetum facere, quemadmodum superius declaratum est.

**Cap. XVII. De hostibus cum ingentibus copiis provincias nostras invadentibus, et de ratione per insidias bellandi.**

Quod si aliquando omnis hostium equestris atque pedestris vis cum maximis immanibusque copiis provincias nostras ingressa pervadit et populatur, penitusque penetrare eas ac perscrutari constituit: accidit autem,

Fol. 390 r. τύπον τῆς παραμονῆς, ἐγγίσαι τῷ φωσσάτῳ, πρὸς τὸ ἀκούειν τὰς φωνὰς αὐτῶν, καὶ τοὺς χρεμετισμοὺς τῶν ἵππων. οἱ οὖν δύο ἄνδρες οἱ πρότερον παραμείναντες ἐν ἄλλοις ἀπλήκτοις τῷ φωσσάτῳ, ὅτε καὶ ὁ λαὸς αὐτῶν ἅπας συνῆν καὶ συνηπλήκευε, δυνήσονται στοχάσασθαι ἀπό τε τῆς τοῦ λαοῦ ὀχλαγωγίας καὶ ταραχῆς, καὶ τοῦ χρεμετισμοῦ τῶν ἵππων, ἀπό τε τοῦ χώρου, ἐν ᾧ τὰς σκηνὰς ἐπήξαντο. οὐ γὰρ εὑρεθήσεται ὁ χῶρος τὸ τρί-B τον μέρος ἔχων, ὃν ἐν τοῖς ὄπισθεν ἀπλήκτοις κατεῖχον, ὅτε ἅπαντες ὁμοῦ ἠπλήκευον. καὶ ἐκ τούτου δυνατόν ἐστι στοχάσασθαι καὶ κατανοῆσαι, ὡς ἐπιλείπει ὁ λαὸς τῶν πολεμίων ἐν ἐκεί-νῳ τῷ χώρῳ, καὶ μὴ εἶναι σὺν αὐτοῖς ἐν τῷ ἀπλήκτῳ. καὶ πῶς γὰρ οὐ δυνατὸν τοῦτο στοχάσασθαι, ὁπόταν ἓξ χιλιάδες ἀνδρῶν, πλεῖον ἢ ἔλασσον, καὶ ἵππων ἄχρι τῶν δώδεκα ἐπιλείπωσιν ἐκ τοῦ ἀπλήκτου, οὓς πάντας ὁμοῦ εἶναι οἱ πρώην παραμείναντες ἑώρων καὶ κατεστοχάζοντο; διὰ οὖν τὸ ἀμφίβολον, πρὸς τὸ καὶ τελείαν λαβεῖν τοὺς παραμένοντας περὶ τούτου τῆς ἀληθείας κατάληψιν, δέον καὶ τοῦτο τὸν εἰς τὴν παραμονὴν ἀποσταλέν-C τα τουρμάρχην διαπράξασθαι. ἱππότας ὀκτὼ, ἄνδρας τῶν ἐμπειροτάτων καὶ τὰς ὁδοὺς εἰς ἄκρον ἐξησκημένους ἀπολεξάμενος, διορίσασθαι, εἴτε δεξιᾷ εἴτε εὐώνυμα ἐκ τῶν ὄπισθεν, ἐν ᾧ ὁ τουρμάρχης ἵσταται, ἔμπροσθεν γενέσθαι τῶν πολεμίων, ἀφισταμένους τῶν σκηνῶν μιλίου τὸ ἥμισυ· καὶ ἔμπροσθεν γενομένους ἀκριβῶς ἐρευνῆσαι, καὶ τὰς ὁδοὺς ἀναψηλαφῆσαι. καὶ εἰ ἄρα οἱ τῶν πολεμίων ἱππεῖς διῆλθον, καὶ ἄχρι τῶν διακοσίων Fol. 390 v. ὑπῆρχον, διαγνώσουσι τὴν τούτων διάβασιν οἱ ἀποσταλέντες,

Nota equos altero tanto plures quam equites.

ante exposita dimittat, ut, castris appropinquantes, voces hostium iumentorumque hinnitum auscultent. Ibi duo illi milites, qui iam prius hostes in aliis castris observaverunt, universis eorum copiis una tendentibus, poterunt cum ex fremitu strepituque multitudinis, tum ex hinnitu equorum, tum denique ex spatio, quod tentoriis occupant, coniecturam inire. Neque enim tertiam partem amplitudinis reperietur habere locus, qua erat superioribus castris, tunc cum omnes una tendebant. Unde existimationem facere atque intelligere licet, deesse copias hostibus illo loco, neque cum illis in castris consedisse. Qui enim potest fieri, ut id non animadvertant, quando hominum plus minus sex millia, equorum ad duodecim a castris absunt, quae qui nuper speculati sunt, una tendentia conspexerunt et computaverunt? Attamen, ut, sublata omni dubitatione, veritatem perfectam hac in re speculatores perspiciant, turmarcha speculatum missus, praeter haec illa debet instituere. Equites octo ex peritissimis, viarum apprime gnaros, disponat, ut sive a dextra sive a sinistra ex subsidio, ubi turmarcha constitit, trans castra hostium se conferant, donec a tentoriis quingentos passus absint: in progrediendo diligenter attendant, vias perquirant. Quod si iam praetervecti sunt hostium equites, fueruntque circa ducentos, cognoscet tamen eorum transitum statio, nedum si extiterunt

μήτοι γε ἄχρι τῶν δώδεκα χιλιάδων ἵπποι, πλέον ἢ ἔλασσον. τὰ γὰρ ἴχνη τῶν τοσούτων ἵππων, ὡς προσφάτως διελθόντων, σαφῶς οἱ ἀποσταλέντες διαγνώσονται, καὶ τάχει πολλῷ πρὸς τὸν D τουρμάρχην ὑποστρέφοντες περὶ τούτου ἀπαγγειλάτωσαν, καὶ διὰ ποίας ὁδοῦ τὴν ὁρμὴν ἐποιήσαντο. ὁ δὲ τουρμάρχης παραυτίκα σπουδῇ πολλῇ τῷ στρατηγῷ καταμηνυσάτω περὶ τούτου, καὶ διὰ ποίας ὁδοῦ ἐπορεύθησαν. δεῖ οὖν τὸν στρατηγὸν πρὸς ταῦτα βουλεύσασθαι μετὰ τῶν συνόντων αὐτῷ στρατηγῶν, καὶ λοιπῶν ἐμπείρων. καὶ εἰ μὲν ὁρᾷ τὸ ἑαυτοῦ στράτευμα δύναμιν ἔχον τοῦ ἀντιπαρατάξασθαι τῷ τῶν πολεμίων φωσσάτῳ, πρὸς τὴν κατ' αὐτῶν μάχην παρασκευασθήτω· εἴγε πλησίον ἐστὶ καὶ τὸ τῶν πεζῶν αὐτοῦ στράτευμα, δυνάμενον τῇ αὐτῇ ἡμέρᾳ ἑνωθῆναι αὐτῷ. P. 143 εἰ οὖν ἐστιν ὁ χῶρος, ἐν ᾧ οἱ πολέμιοι αὐλίζονται, ὀχύρωμα ἔχων εἰς ἐκείνων ἀσφάλειαν, ἢ ῥύακα δυσδιάβατον, οὐ χρὴ πρὸς τὸν κατ' αὐτῶν ἐξαρτύεσθαι πόλεμον. εἰ δὲ ἐφόμαλός ἐστι πανταχόθεν, μάλιστα δὲ καὶ τῶν πεζῶν δυναμένων καταλαβεῖν ἐν ἡμέρᾳ τῆς τοῦ πολέμου προσβολῆς, παρασκευασθήτω πρὸς τοῦτο. εἰ δὲ ὁ χῶρος ὀχυρότητα ἔχει, ὡς ἔφημεν, καὶ τὸ πεζικὸν στράτευμα ἐπιλείπει, δέον ὁρμῆσαι τάχει πολλῷ πρὸς τὸ τοὺς κουρσεύοντας τῶν πολεμίων καταλαβεῖν· καὶ ἄρχοντα μὲν χρήσιμον ἀποστεῖλαι, τοῦ ἐπιλαβέσθαι τῶν ἰχνῶν τῶν πρὸς τὴν B ἐκδρομὴν τοῦ κούρσου ὁρμησάντων πολεμίων. αὐτὸς δὲ μετὰ παντὸς τοῦ λαοῦ ἐκ πλαγίου περιπατῶν σπευσάτω ὀξύτερον βαδίζων πλησίον γενέσθαι, καθὼς τὰς ὁδοὺς ἐπίσταται, ἐν αἷς οἱ Fol. 391 r. πολέμιοι περιπατοῦσι. καὶ μετὰ ἀσφαλείας περιπατείτω. ἡνίκα

Castra hostium ubi.

usque ad duodecim millia equorum, plus minus. Etenim, vestigiis tot iumentorum recens praetergressorum perspicue animadversis, speculatores celerius ad turmarcham reversi cum de hac re renuncient, tum qua via excursionem fecerint. Item turmarcha evestigio celeritate adhibita et de eo ducem certiorem faciat, et de via qua discesserint. Ducem oportet hac super re cum praefectis, quotquot adsunt, reliquisque peritis viris deliberare. Si suum exercitum satis roboris habere videt ad signa in castra hostium inferenda, ad praelium adversus illos se instruat: si quidem propius absunt pedestres ipsius copiae, seque eo ipso die coniungere cum eo possunt. At si locus, ubi consederunt hostes, munitionem habet, quae propugnaculo illis sit, vel rivum transitu impedito, non oportet certamen cum iis instituere. Contra, si planus est undique, et maxime si die oppugnationis pedites assequi eum possunt, paret se ad dimicandum. At si locus munitionem habet, quemadmodum diximus, pedestres autem copiae absunt, oportet celerius movere ad praedatores hostium opprimendos, praefectumque probum mittere, qui hostium praedatum profectorum vestigiis instet. Ipse cum omnibus copiis obliquo itinere appropinquare citato gradu properet, prout vias cognitas habet, in quibus hostes ambulant. Id iter magna cum cautione faciat. Dein imminente primo diluculo exploratores dimit-

δὲ τὸ διάφαυσμα τῆς ἡμέρας ἐγγίσῃ, ἀποστειλάτω βιγλάτορας εἰς κατασκοπὴν τῶν πολεμίων· καὶ εἰς ὑψηλοὺς βουνοὺς ἀνερχόμενοι ἀγωνισάσθωσαν θεάσασθαι αὐτούς. ὁ δὲ στρατηγὸς, ἡμέρας γενομένης, τὸν ἑαυτοῦ λαὸν ἀποκρυπτέτω, ἵνα μὴ, τὸν κονιορτὸν αὐτοῦ οἱ πολέμιοι θεασάμενοι, μᾶλλον ἐνεδρευθῇ παρ' αὐτῶν. καταμηνυόμενος δὲ ἢ παρὰ τῶν ἐπακολουθούντων τῷ
C κούρσῳ, ἢ παρὰ τῶν εἰς ἐπισκοπὴν καὶ βίγλαν ἀποσταλέντων, ἐν ᾧ τόπῳ ἡ παράταξίς ἐστι τῶν πολεμίων ἡ τὸν ἀρχηγὸν αὐτῶν ἔχουσα, ὀλίγους τινὰς μεθ' ἑαυτοῦ λαβὼν ὁ στρατηγὸς καὶ εἰς ὑψηλὴν σκοπιὰν ἀνερχόμενος, σπευσάτω οἰκείοις ὀφθαλμοῖς τὴν τῶν πολεμίων παράταξιν θεάσασθαι. ταύτην δὲ θεασάμενος, ἐπεὶ καὶ τὸ πλῆθος τοῦ λαοῦ αὐτῶν διεσκορπίσθη πρὸς λείαν, στοχαζέσθω μετὰ τῶν σὺν αὐτῷ τὸ πλῆθος τῆς παρατάξεως τῶν πολεμίων, καὶ τὴν τοῦ ἰδίου λαοῦ ἰσχύν. καὶ ἐὰν πλεῖόν ἐστι τὸ ἑαυτοῦ στράτευμα τῶν πολεμίων, ὁρμησάτω κατ' αὐτῶν, ὡς
D ἤδη ἀνωτέρω διετυπώσαμεν· καὶ εἰ παράσχῃ αὐτῷ Θεὸς βοήθειαν, καὶ δυνηθῇ τὴν παράταξιν αὐτῶν τραυματίσαι καὶ καταδιῶξαι, μέγα ἔργον καὶ μνήμης ἄξιον ἐπιτελέσει. εἰ δὲ πλῆθός ἐστι τοῦ λαοῦ ἐν τῇ τῶν ἐχθρῶν παρατάξει, δέον ἐστὶ σπουδάσαι τὸν στρατηγὸν ἔμπροσθεν γενέσθαι, ἐν οἷς χωρίοις οἱ πολέμιοι τὰς ἐκδρομὰς ἐποιήσαντο, ἐκ τῶν ὄπισθεν αὐτῶν γενό-
Fol. 891 v. μενον. καὶ τούτων διεσκεδασμένων ἐπιτυγχάνων, καὶ τῇ ἐλασίᾳ ἐκλελυμένων καὶ αὐτῶν καὶ τῶν ἵππων αὐτῶν, εὐχερῶς τούτους καταγωνίσεται δι' ὅλης τῆς ἡμέρας, ἀναψηλαφῶν αὐτοὺς ἐν τοῖς
P. 144 χωρίοις· κἀκείνους μὲν λόγῳ ἀνδραπόδων καταστήσει, καὶ ὡς

14. ἐστι. Sic codd.

tat, qui de hostibus inquirant: hi, collibus editis conscensis, operam dent, ut contemplari eos possint. Ubi illuxit, dux copias suas occultet, ne, excitato earum pulvere, ipse potius in adversariorum insidias incidat. Dein certior factus vel ab his qui praedatores secuti sunt, vel ab illis quos circumspiciendi explorandique caussa dimisit, ubi agat illud hostium vexillum, in quo praefectus eorum sit, paucis assumtis dux in excelsam ascendens speculam conetur propriis oculis aciem hostium considerare. Qua perspecta, ubi multitudo eorum se diffuderit praedatum, aestimet cum iis qui una sunt, tum copias in acie hostili stantes, tum suae manus firmitatem. Si suus exercitus amplior est hostili, incitet se in eos, ut iam superius descripsimus: ac si, Deo auxilium praebente, aciem eorum sternere potest et fundere, magnum sane facinus memoriaeque dignum efficiet. Sin ingentes copiae sub signis hostium constiterunt, operam dare debet dux ut ulterius moveat, ad vicos quos adversarii invaserunt, ita ut a tergo eorum existat. Quos si dispersos cursuque cum ipsos tum iumenta fessos deprehendit, nullo negotio eos per totum illum diem occidet, perque vicos indagabit: ipsos numero servorum habebit, in eosque suo arbitratu statuet.

βούλεται τοῖς κατ' αὐτῶν χρήσεται. τοὺς δὲ γεωργοὺς ἐλευθερώσει τῆς αἰχμαλωσίας, καὶ εἴ τι ἂν ἔτυχον τῶν αὐτῶν λαβεῖν. εἰ δέ γε καὶ φούλκῳ συναντήσῃ τῷ εἰς φυλακὴν ἐπακολουθοῦντι τῶν ἐξελαυνόντων, παρασκευασθήτω πρὸς τὸν κατὰ τοῦ φούλκου πόλεμον, καθὼς ἔμπροσθεν ἐξεθέμεθα, καὶ Θεοῦ συνεργίᾳ τῆς κατ' αὐτῶν μάχης κρατήσει. εἰ δὲ τοῖς ἐν τῇ αὐτῇ νυκτὶ παραμεῖναι σταλεῖσι τοῖς πολεμίοις ἐναντία ἀπηντήκασι συναντήματα, διὰ τὸ μήπω προκαταλαβεῖν αὐτούς, καὶ εἰς τοὺς τόπους γενέσθαι, ἐν οἷς τὸ φωσσάτον βλέπειν ἠδύναντο, καὶ τὰς φωνὰς B αὐτῶν ἐνωτίζεσθαι· καὶ τὸ κοῦρσον αὐτῶν προεξῆλθεν, ὡς ἔφημεν, πρὶν τὴν περὶ τούτου ἀκριβῆ λαβεῖν αὐτοὺς τῆς ἀληθείας κατάληψιν· καὶ ἐκ τοῦ τοιούτου συναντήματος βραδῦναι καὶ χρονίσαι συνέβη τὴν πρὸς τὸν στρατηγὸν ἀποστελλομένην βεβαίαν ἀπαγγελίαν τοῦ πράγματος, καὶ τὸ πρὸς τὸν στρατηγὸν ἀποστελλόμενον μανδάτον· εἰ μὲν πρὸς ὥραν ἐννάτην τῆς νυκτὸς καὶ ἐπέκεινα καταμηνυθῇ ὁ στρατηγὸς περὶ τούτου, καὶ ὁρᾷ τὸ στενὸν τοῦ καιροῦ, ἐπεὶ καὶ τὸ κοῦρσον τῶν πολεμίων ἔτι τῆς ἡμέρας ἐπικρατούσης τὴν κίνησιν ἐποιήσατο, καὶ δι' ὅλης τῆς νυκτὸς πόῤῥω που γενέσθαι ἔμελλε, καὶ οὐ δυνατὸν, τούτους C διεσκεδασμένους καταλαβεῖν· χρὴ αὐτὸν εἰς τὸν κατὰ τοῦ φωσσάτου εὐτρεπισθῆναι πόλεμον. καὶ εἰ μὲν διημερεῦσαι βουληθῶ- Fol. 392 r. σιν ἐν ᾧ αὐλίζονται τόπῳ, παρασκευασθῆναι αὐτὸν εἰς τὴν κατ' αὐτῶν μάχην, καθὼς ἀνωτέρω τὸν κατὰ τοῦ φωσσάτου πόλεμον γενέσθαι ἐξεθέμεθα. ἀλλ' οὐκ ἂν διημερεύσουσιν ἐν αὐτῷ τῷ

5. ἐξεθέμεθα. Vid. supra 131. D.

Rusticos, et quicquid ex eorum bonis rapere iam potuerunt, a servitute vindicabit. Si autem in fulcum incidit, quod excursorum tuendorum causa subsequitur, ad illud adoriendum se paret, quemadmodum superius exposuimus, et, Deo obsecundante, praelio facto superabit. At si illis, qui ea nocte speculatum hostes missi sunt, adversa quaedam acciderunt, ut non potuerint hos praevertere, locumque occupare, unde et videre castra et audire voces adversariorum licuisset: ideoque praedatores profecti sunt, sicut diximus, priusquam de illis certam veramque notionem capere potuerunt: unde accidit, ut explorati super hac re nuncii, ad ducem afferendi, mandatumque, quod transmitti ad eum debet, diutius morentur: si modo circa horam nonam noctis vel etiam serius dux de eruptione certior fit, videtque angustias temporis, et praedatores hostium, de die profectos, itinere noctu non intermisso procul esse debere, fierique non posse, ut dispersos illos deprehendat: expedit oppugnationem castrorum instruere. Ac si in loco, ubi considerunt, permanere totum diem volunt, comparet se ad confligendum, quemadmodum superius de oppugnatione castrorum instituenda exposuimus. Tametsi non persedebunt eo loco, quod

χώρῳ, δια το κατεπείγεσθαι ταῖς ἱππικαῖς αὐτῶν δυνάμεσι ταῖς εἰς λείαν ἐκδραμούσαις τάχιον ἑνωθῆναι. καὶ ὁδοιπορούντων αὐτῶν ἐπιτυγχάνων ὁ στρατηγὸς, προθύμως εἰς τὸν κατ' αὐτῶν ὁρμησάτω πόλεμον, καθὼς καὶ περὶ τοῦ ἐν τῇ ὁδοιπορίᾳ φωσσάτου διακεχωρισμένου τοῦ κούρσου προειρήκαμεν. καὶ πάντα ἐπιμελῶς ποιοῦντος τοῦ στρατηγοῦ κατὰ τὴν προτέραν διάταξιν, τὴν τοῦ Θεοῦ ἔχων βοήθειαν καὶ τῆς ἁγίας καὶ παναχράντου μητρὸς αὐτοῦ καὶ Θεοτόκου, μεγάλην καὶ ἀξιόλογον δουλείαν ἐπιτελέσει.

D

### ΚΕΦ. ιε'. Περὶ ἀσφαλείας.

Δεῖ οὖν σὲ, ὦ στρατηγὲ, πᾶσαν ἀσφάλειαν καὶ φυλακὴν ἔχειν, τοῦ μὴ αἰφνιδιασμὸν ὑποστῆναι, καὶ ἀδοκήτως τοὺς πολεμίους κατὰ σοῦ τὴν ἔφοδον ἐργάσασθαι. ἕξεις δὲ τὴν φυλακὴν καὶ ἀσφάλειαν, εἴγε καθ' ἑκάστην ἡμέραν ἀποστέλλονται παρὰ σοῦ οἱ ὀφείλοντες παραμένειν τῷ τῶν πολεμίων φωσσάτῳ, ἐν ᾧ τόπῳ αὐλίζονται. ἐκείνων γὰρ διὰ σπουδῆς τιθεμένων καὶ P. 145 πᾶσαν μηχανὴν καταβαλλομένων, ἀδοκήτως σοι ἐντυχεῖν, τοῦ καταγωνίσασθαί σε, εἰς βλάβην μὲν καὶ ἀπώλειαν τοῦ χριστωνύμου λαοῦ, καὶ ἀδοξίαν τῶν κραταιοτάτων Ῥωμαίων· εἰς ἔπαρσιν δὲ καὶ γαυρίαμα τῶν ἀλαζόνων τῆς Ἄγαρ υἱῶν καὶ ἀρνητῶν Fol. 392 v. Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· συμβαίνει γὰρ κατασχεθῆναι παρ' αὐτοῖς δεσμώτας τῶν ἡμετέρων, ἢ καὶ αὐτομόλους γενέσθαι, καὶ παρ' αὐτῶν μαθεῖν, ἐν ποίῳ τόπῳ αὐλίζῃ. ἵν' οὖν μὴ νυκτὸς

5. κούρσου. Vid. supra 132. B.

properabunt cum equestribus copiis praedatum egressis celerius coniungi. Ita si illos iter facientes deprehendit dux, alacriter ad manum conserendam se invehat, sicut in capite de itinere exercitus, quando a praedatoribus seiunctum est, praescripsimus. Quae si omnia diligenter dux egerit modo ante dicto, auxilium habens ex Deo sanctaque et immaculata matre eius Deipara, magnum ac memorabile facinus efficiet.

### Cap. XV. De cautione.

Quapropter te, o dux, oportet vigilantiam cautionemque omnem adhibere, ne subitam vim patiare, neve de improviso in te hostes impressionem faciant. Tutum autem tectumque te praestabis, si singulis diebus mittuntur a te qui exercitum hostium speculentur, eo loco ubi consederit. Diligentiam enim adhibent omnemque rationem ineunt, quemadmodum nec opinato tibi superveniant, teque opprimant, ad calamitatem et internecionem populi christiani, ignominiam bellipotentium Romanorum, elationem autem atque iactationem arrogantium filiorum Agar, inficiatorum Christi Dei nostri: etenim usu venit, ut quidam de nostris captivi fiant, aut transfugiant, unde doceantur, quo loco tendas. Igitur ne noctu assumto equitatu

τὰς ἱππικὰς δυνάμεις αὐτῶν ἀνελόμενοι ἐξελάσωσι καταλαβεῖν σε, καὶ ἀδοκήτως ἐπιπέσωσι· διὰ ταῦτα δέον τοὺς παραμένοντας, ἡνίκα τῆς ταραχῆς τοῦ λαοῦ τῶν πολεμίων αἴσθωνται πρὸς κίνησιν, εὐθέως τάχει πολλῷ καταμηνῦσαι, ὅτι τε ὁ λαὸς διετα- B ράχθη πρὸς κίνημα· πάλιν δὲ ἀποκινούντων, δι' οἵας ἂν ὁδοῦ τὴν πορείαν ποιῶνται· καὶ αὖθις καταμηνύειν, ὅ,τι τε πλῆθος λαοῦ ἀπεκίνησαν, καὶ ἣν ὁδὸν πορεύονται, εἴτε ἅπαντες σὺν τῷ πεζικῷ, εἴτε οἱ ἱππεῖς μόνοι. ὁ δὲ στρατηγὸς μὴ θαῤῥείτω μόνον εἰς τὰ ἐρχόμενα πρὸς αὐτὸν μανδάτα τῶν παραμενόντων τοῖς πολεμίοις, ἀλλὰ καὶ βίγλας ἐχέτω διπλᾶς, ἐξώβιγλα καὶ ἐσώβιγλα, ἔστιν ὅτε καὶ τριπλᾶς· καὶ ἐν νυκτὶ μὲν τὰς ὁδοὺς φυλάττειν, καὶ ἐν οἷς τόποις διάβασιν ὑφορᾶται πολεμίων· ἐν ἡμέρᾳ δὲ, μὴ μόνον τὰς ὁδοὺς φυλάττειν τοὺς βιγλάτορας, ἀλλὰ καὶ C εἰς τόπους ἀνέρχεσθαι ὑψηλοτάτους· πρὸς τὸ δύνασθαι αὐτοὺς εὐχερῶς ὁρᾷν μὴ μόνον καπνοὺς καὶ κονιορτοὺς, ἀλλὰ καὶ λαοὺς τῶν πολεμίων, εἴπερ ἔρχωνται. πλείονας δὲ εἶναι τὰς βίγλας ἔφημεν, διὰ τὸ, εἴ ποτε συμβῇ τὴν πρώτην ὑπὸ τῶν πολεμίων ἁλῶναι, ἡ μετ' ἐκείνην, τοὺς πολεμίους θεωροῦσα, τῷ στρατηγῷ τὴν τῶν ἐχθρῶν καταμηνύῃ ἔλευσιν. καὶ δὶς δὲ ἐν νυκτὶ μεταπληκεύειν δεῖ τὸν στρατηγὸν, καὶ ἐν ἡμέρᾳ ὡσαύτως. καὶ μεταπληκεύων μὲν τοὺς βιγλάτορας μετ' αὐτοῦ λαμβανέτω· καταλιμπανέτω δὲ ἐν ᾧ τόπῳ ηὐλίζετο ἓξ ἄνδρας ἢ ὀκτὼ, τοὺς ὑποδοχαρίους καλουμένους, μετά καί τινος ἄρχοντος τῶν χρησίμων· ἵνα οἱ πεμπόμενοι παρὰ τῶν παραμενόντων τοῖς ἐχθροῖς D μανδάτα φέροντες, προσερχόμενοι, δι' αὐτῶν τῷ στρατηγῷ

Stationes exteriores et interiores.

Fol. 393 r.

moveant ad te invadendum, teque improviso opprimant: idcirco oportet speculatores, simul ac fremitum profecturae multitudinis apud hostes audiant, confestim properatione magna renunciare, cooriri copias ad abitum: deinde, postquam egressi sint, qua via iter faciant: denique illud quoque declarare, quantae copiae exierint, qua parte, utrum universi cum peditatu, an equites soli. Neque tamen dux solis significationibus a speculatoribus factis fidem debet tribuere, sed stationes quoque habeat duplices, exteriores et interiores, aliquando etiam triplices: noctu, ut vias et loca custodiant, qua hostes erupturos suspicatur: interdiu, ut excubitores non solum itinera observent, sed etiam in loca editissima evadant, unde fumos et pulveres, tum etiam globos hostium, si qui veniant, videre nullo negotio possint. Plures autem esse debere excubias ideo diximus, ut, si quando prior ab adversariis intercepta sit, tamen quae citra stet, hostes conspicata, eorum adventum renunciare duci possit. Stationem bis qualibet nocte mutare debet dux, et toties quovis die. Qua in migratione excubitores secum transducat: in loco autem, unde movit, relinquat sex aut octo milites: quos hypodocharios vocamus, cum aliquo bono praefecto: ut missi a speculatoribus nuncii, si advenerint, per hos ad ducem perducantur. Ipse dux, quo in loco

ἀποκομίζωνται ἐν ᾧ δὲ πάλιν τόπῳ ὁ στρατηγὸς ἀπληκεύσει, τὰ ἐξώβιγλα ἀποστελλέτω. ἔστωσαν δὲ ἀνὰ τέσσαρες ἄνδρες ἐν ἑκάστῳ σταδίῳ· ἵνα, τῶν δύο καθευδόντων νυκτὸς, οἱ δύο γρηγορῶσιν.

P. 146 ΚΕΦ. ιϛ'. Περὶ διαχωρισμοῦ τοῦ τούλδου.

Δεῖ οὖν σε, ὦ στρατηγὲ, καὶ τοῦτο παραφυλάττειν, καὶ ἡνίκα πλησιάσαι μέλλῃς τοῖς πολεμίοις, τὸ τοῦλδον ἀπὸ σοῦ διαχωρίζειν καὶ ἀποστέλλειν μήκοθεν, ἐν ὀχυρῷ τόπῳ ἢ ἐν κάστρῳ, ἄνδρα τινὰ τῶν χρησίμων καὶ ἐμπείρων ἐφιστῶν, προνοεῖσθαι αὐτοῦ· καὶ ἱππεῖς μαχίμων ἀνδρῶν ὀλίγους τινὰς παρέχειν τῷ ἄρχοντι τοῦ τούλδου, ὅπως δι' αὐτῶν αἱ βίγλαι κρατῶνται εἰς
B φυλακὴν τοῦ τούλδου. ἡνίκα δὲ πάλιν ἐν χρείᾳ τούτου γένηται, καταμηνύειν τῷ ἐμπεπιστευμένῳ τὴν πρόνοιαν αὐτοῦ ἄρχοντι, ἐλθεῖν ἐν ᾧ τόπῳ διωρίσθη τοῦ ἑνωθῆναί σοι. τοῦ μέντοι τούλδου ἀπὸ σοῦ διαχωριζομένου, ἀναλαμβάνειν σε δεῖ ἐπισιτισμὸν τοῦ λαοῦ καὶ ταγὰς τῶν ἵππων, δύο ἡμερῶν ἢ τριῶν, βασταζομένας εἰς ταχεῖς ἡμιόνους, ἢ καὶ ἵππους ἐν τοῖς σαγμοσελλίοις. ἡνίκα δὲ μέλλῃς κούρσῳ τῶν πολεμίων ἀκολουθῆσαι νυκτὸς, ἅπαν τὸ μάχιμον στράτευμα τεθωρακισμένον ἔστω, ἑκάστου τὸ ἐπιτήδειον πρὸς τὸ πολεμεῖν ὅπλον ἐν χερσὶν ἔχοντος. ἀλλὰ καὶ τὸ
C λεγόμενον σάκα ὄπισθεν ἔχε, ἐπακολουθοῦν σοι. καὶ εἰ μὲν διὰ
Fol. 393 v. δυσβάτων τόπων ἡ πορεία τῶν πολεμίων γένηται, δέον ἰδίως ἓν ἕκαστον θέμα, ἢ καὶ τάγμα, εἰ πάρεισιν, ὁδοιπορεῖν· ὁ μὲν

Sagmae s. sagmosellia. Vid. Ducang. Gloss. II. 1318. C.

denuo considet, inde rursus stationes exteriores dimittat. Sint autem in qualibet statione milites quaterni: ut, binis noctu dormientibus, bini vigilare queant.

Cap. XVI. De submovendis impedimentis.

Illud quoque, o dux, observare te oportet, ut, quando propius accedere ad hostes velis, impedimenta abs te remota longius amandes, in communitum locum vel oppidum, tradita illorum cura viro probo ac perito: cui item equites valentes aliquot attribuendi sunt, per quos excubiae impedimentorum custodiendorum causa fiant. Si denuo tibi opus est, manda praefecto, cui est illorum cura credita, ut moveat in locum, ubi se tecum coniungere iussus est. Ita autem ablegans impedimenta, debes tecum sumere cibaria militum et pabula iumentorum, in duos dies vel tres, quae vel a mulis velocibus vehantur, vel etiam supra equos in sagmis. At quando praedatores hostium insequi noctu velis, omnes milites, quotquot idoneos ad pugnandum habes, loricati esse debent, et telum ad praeliandum aptum unusquisque in manibus teneat. Habe etiam globum, quem saca vocamus, a tergo subsequentem. Si per loca impedita hostes iter faciunt, debent singuli numeri, atque vexilla, si qua adsunt, se-

στρατηγὸς ἔμπροσθεν, ἑπόμενος τῷ τουρμάρχῃ τῷ ἀκολουθοῦντι τοῖς πολεμίοις κατὰ πολὺ πόῤῥω· εἶθ᾽ οὕτως καὶ τὰ λοιπὰ, εἴτε θέματα εἶεν εἴτε τάγματα, καθὲν τῷ ἑτέρῳ ἐφεπόμενον· διὰ τὸ καὶ καλῶς ὁδοιπορεῖν ἐν νυκτὶ, καὶ ἄνευ κραυγῆς καὶ θορύβων. τῷ δὲ τουρμάρχῃ, τῷ ἐπακολουθοῦντι τῷ κούρσῳ, παραγγεῖλαι καὶ ἐξασφαλίσασθαι, ἀκρίβειαν ἔχειν ὑπερβάλλουσαν καὶ ἐγρήγορσιν, μή ποτε οἱ πολέμιοι αἰσθόμενοι ἐπακολουθεῖσθαι αὐτοὺς παρὰ σοῦ, διαχωρίσωσι μὲν τοὺς ἐκλεκτοὺς D αὐτῶν μαχίμους τοὺς πλείονας τοῦ ὑπ᾽ αὐτὸν λαοῦ, καὶ ἀποκρύψωσιν εἰς λόχους, καὶ ἀδοκήτως κατὰ σοῦ ἐπίθωνται· ἐπειδὴ τοιαύτην ἐνέδραν παρὰ τῶν Ταρσιτῶν ἐν τοῖς ἄνω χωρίοις γενομένην εἴδομεν. τοῦ γὰρ στρατηγοῦ τότε θεωμένου κονιορτοὺς τῶν εἰς λείαν ἐξελαυνόντων, οὐκ ἐν ἀληθείᾳ, ἀλλ᾽ ἐν σχήματι κούρσου, ὀλίγων καὶ τούτων εὐτελεστέρων, καὶ κατ᾽ αὐτῶν ἐπελθεῖν ἐπειγομένου, καὶ τοῦ τουρμάρχου τοῦ ἐπακολαυθοῦντος τῷ κούρσῳ καταμελήσαντος, καὶ μὴ τοὺς λόχους καλῶς ἐρευνήσαντος, ἀδοκήτως τῷ ἐγκρύμματι περιπέπτωκε. καὶ ἵνα μὴ τοιοῦτον γένηται, δεῖ σε, ὦ στρατηγὲ, πολλὴν τὴν ἀσφάλειαν ποιεῖσθαι, καὶ ἐρευνᾷν τοὺς κοίλους τῶν τόπων καὶ ἀποκρύφων, διὰ καβαλλαρίων ἵππους ἐχόντων ταχεῖς καὶ ἀκριβῆ εἴδησιν τῶν τόπων· καὶ περὶ τὸ διάφαυσμα διχῇ διελεῖν τὸ στράτευμα, εἴγε εἰς πλῆθός ἐστι, καὶ εἰς τρεῖς ἀριθμεῖται χιλιάδας· καὶ τοὺς μὲν παραϊππαράτους καὶ τὰς ταγὰς τῶν ἵππων ἐπιφερομένους μήκοθεν ἀποστέλλειν ἐν ὀχυρῷ τόπῳ. τὰς δὲ παρατάξεις οὕτως δεῖ

Tarsenses qua ratione bellum gerant.

P. 147

11. χωρίοις. Fort. χρόνοις. 19. Fort. ἀποκρύφους. 22. χιλιάδας. Cod. B. μυριάδας. Sed infra 148. A. is quoque χιλιάδας.

paratim ambulare: primo dux, qui ipse tamen turmarcham hostes speculantem longo intervallo subsequatur: dein reliqua, sive numeri sint sive vexilla, unum post unum: ut ordinatim procedant noctu, absque clamore ac strepitu. Turmarchae, qui praedatores insequitur, praescribere debes atque imperare, ut diligentiam atque vigilantiam summam adhibeat, ne hostes, certiores facti te insequi, delectos fortesque milites numeroque manum turmarchae superantes a se seiunctos latebris occulant, teque nec opinato adoriantur: cuiusmodi insidias a Tarsensibus superius factas vidimus. Tunc enim dux conspicatus pulverem eorum, qui non vere, sed simulata incursione, praedandi causa exierant, pauci illi quidem et infirmi, cum ad illos invadendos properaret, turmarcha autem hostes insequens, negligentius re gesta, latebras parum curiose scrutaretur, in eorum insidias imprudens incidit. Igitur eiusmodi res ut ne fiat, oportet te, o dux, multam cautionem adhibere, locorumque et latebrarum recessus perscrutari, per equites velocibus equis vectos et locorum accurate peritos: porro prima luce exercitum, si magnus est, usque ad ter mille numero, bifariam dividere: equisones, et qui pabula iumentorum portant, procul in communitum locum amandare. Acies, ob insperatas hostium insidias, instruere oportet in

Fol. 394 r. παρασκευάσαι, διὰ τὰς τῶν πολεμίων ἀδοκήτους ἐνέδρας. καὶ ἡ μὲν πρώτη ἐχέτω ἀρχηγὸν τῶν ἀξιολογωτέρων στρατηγῶν, καὶ B τὸ τρίτον μέρος τοῦ ὑπὸ σὲ λαοῦ, καὶ ὄπισθεν μὲν τοῦ τουρμάρχου ὁδοιπορείτω. σὺ δὲ μετὰ τῆς μεγάλης παρατάξεως ἐπακολούθει (Saca.) τῇ πρώτῃ, ἔχων καὶ τὸ σάκα ὄπισθέν σου μετ' ὀλίγων ἱππέων ἐπακολουθοῦν· ἵνα, εἰ συμβῇ κατὰ σοῦ ἐνεδρεῦσαι τοὺς πολεμίους, καὶ τοὺς πλείονας αὐτῶν μαχίμους ἄνδρας εἰς λόχους καταστῆσαι, καὶ ἐπελθεῖν τῷ αὐτοῖς ἐπακολουθοῦντι τουρμάρχῃ, δέξηται τοῦτον ἐπιβοηθοῦσα ἡ πρώτη καὶ ἔμπροσθέν σου περιπατοῦσα παράταξις. εἶτα πολέμου μετ' αὐτῆς συῤῥαγέντος, καὶ τῶν πολεμίων διασκορπιζομένων ἐν τῇ μάχῃ καὶ τὴν τάξιν λυόντων, C εὑρὼν αὐτοὺς διεσκεδασμένους ὑπερισχύσεις αὐτῶν. τῶν δὲ πολεμίων πρὸς τὴν τοιαύτην ἐνέδραν μὴ παρασκευασθέντων, ἀλλὰ πρὸς τὸ ἐκδραμεῖν καὶ τὰς χώρας ληΐσασθαι κατεπειγομένων, χρὴ πρὸ τοῦ διαυγάσαι τὰς τάξεις τοῦ ὑπὸ σὲ στρατεύματος εἰς τόπους ἀποκρύψαι, πρὸς τὸ μὴ τοῖς πολεμίοις φωραθῆναι, καὶ ἐν τοῖς τοιούτοις ἐγκρύμμασι καρτερῆσαι ἄχρι τρίτης ὥρας ἢ καὶ τετάρτης τῆς ἡμέρας, ἕως ἂν οἱ πολέμιοι πρὸς λείαν ἐξελάσωσι· καὶ τούτων πόῤῥω γινομένων τῆς τοῦ Ἀμηρᾶ παρατάξεως, μετ' ὀλίγων ἀνδρῶν καταλιμπανομένης, καὶ μὴ πλῆθος ἐχούσης λαοῦ, D κατ' αὐτῆς ἐπελθεῖν. καὶ τρεῖς μὲν ἔμπροσθεν παρατάξεις ἀποστεῖλαι ἰσομετώπους, προσβαλεῖν πόλεμον· σὲ δὲ μεθ' ἑτέρων τριῶν ἢ καὶ τεσσάρων παρατάξεων, ταῖς πρώταις ἑπόμενον, πλησίον Fol. 394 v. ἐπακολουθεῖν. καὶ ἡνίκα αἱ πρῶται παρατάξεις τῆς ἐκ χειρῶν μάχης ἄρξωνται, καθὼς ὁρᾷς τοὺς οἰκείους ἀγωνιζομένους,

15. *εἰς τόπους*. Videtur hic excidisse adiectivum.

hunc modum. Prior praefectum habeat unum de ducibus praestantioribus et tertiam partem copiarum tuarum: haec a tergo turmarchae iter faciat. Tu cum acie maiori pone priorem incedens, habe item saca tuum a tergo, quod te cum paucis equitibus sequatur: ut si accidit, hostes structis tibi insidiis plerosque suos fortes milites in latebris collocasse, turmarchamque se sequentem invasisse, prior acies, quae ante te ambulat, subveniat eumque excipiat. Praelio cum illa commisso, quando hostes dimicando disiecti ordines ruperint, tu dissipatos nactus funditus vinces. Si hostes non se parant ad eiusmodi insidias, sed ad excursionem agrorumque populationem properant, debes ante lucem turmas tui exercitus in eiusmodi locis occultare, ubi ab hostibus animadverti nequeant, atque in his latebris persistere usque ad tertiam vel quartam diei horam, donec hostes praedatum dilapsi sint: his longius a signis Amirae digressis, ita ut paucis militibus relictis infrequentia armatis sint, ea invade, tresque acies exaequata fronte praemitte, quae pugnam capessant: tu cum alteris tribus vel quatuor aciebus priores sequens propius succede. Priores acies postquam manus contulerunt, perinde ut tuos praeliantes videbis, ita auxilia subministra. Ac pri-

οὕτω καὶ βοήθειαν παρέχειν. καὶ πρῶτον μὲν τὰς ἔνθεν κἀκεῖθεν συνεπομένας παρατάξεις προαποστεῖλαι, τοῖς πολεμίοις συναφθῆναι, καὶ ἐκ τῶν ἄκρων, εἰ δυνατὸν, καὶ ἐκ πλαγίου προσβαλεῖν, καὶ ἐκ χειρὸς μάχεσθαι· εἶτα καὶ σὲ αὐτὸν, εἰ χρὴ, συμβαλεῖν, εἴπερ ἄρα μὴ ἐπικρατέστερος ὁ ὑπὸ σὲ λαὸς γέγονεν. ἀλλὰ P. 148 μετ' ὀλίγου λαοῦ, ὡς ἔφημεν, τῆς παρατάξεως τοῦ Ἀμηρᾶ καταλιμπανομένης, οὐ δυνήσεται ἀντισχεῖν περὶ τὰς τρεῖς χιλιάδας τὸ ὑπὸ σὲ ἀριθμούμενον στράτευμα. ἀλλὰ ταῦτα μὲν, ὡς ἡ πεῖρα διδάσκει, ἐκτίθεμεν· σὲ δὲ πρὸς τὴν κατεπείγουσαν τοῦ καιροῦ χρείαν τε καὶ περίστασιν διατεθῆναι δεῖ. οὐ γὰρ ἡ παράδοσις δίδωσιν, ἀλλ' ὡς ἡ τοῦ Θεοῦ ἐνισχύσει βοήθεια, ἡ τοῦ πολέμου ἔκβασις ἐπακολουθεῖ. εἰ δὲ μετὰ μόνου τοῦ ἰδίου θέματος ὑπάρχεις, ὦ στρατηγὲ, καὶ ὀλίγον ἐστὶ τὸ ὑπὸ σὲ στράτευμα, καὶ ὡσαύτως δεῖ σε μετ' ἀσφαλείας πόῤῥω τὴν τοῦ κούρσου τῶν B πολεμίων ἀκολούθησιν ποιεῖσθαι, πρὸς τὸ μὴ παρ' αὐτῶν ἐπιγνωσθῆναι, καὶ κατὰ μόνων τῶν εἰς τὰ χωρία ἐξελαυνόντων καὶ διασκορπιζομένων τὴν ἐπίθεσιν ποιεῖσθαι, ὡς ἀνωτέρω δεδήλωται.

### ΚΕΦ. ιζ΄. Περὶ τῶν μετὰ πολλῆς δυνάμεως ἐπιτρεχόντων πολεμίων τὰς χώρας ἡμῶν, καὶ τῆς μετὰ ἐγκρυμμάτων παρασκευῆς.

Εἰ δέ γε τὸ τῶν πολεμίων ἅπαν, ἱππέων τε καὶ πεζῶν, ἄθροισμα μετὰ μεγάλης καὶ βαρείας δυνάμεως τὰς ἡμῶν χώρας C ἐξελθὸν ἐπιτρέχει τε καὶ ληΐζεται, καὶ ἐμβαθῦναί τε καὶ διερευνήσασθαι ταύτας διαμελετᾷ· εἰ τύχῃ δὲ, καὶ τὸ Ῥωμαϊκὸν κατὰ Fol. 395 r.

mo quidem acies utrumque tuum latus tegentes praemitte, ut hostibus signa inferant, e locisque superioribus, si fieri potest, et ex obliquo irruentes manus conserant: deinde tu ipse, si necesse sit, incurre, si quidem non superiores fiunt tuae copiae. Tametsi pauci armati, qui, quemadmodum diximus, sub signis Amirae relinquuntur, tuo exercitui, ad ter mille hominum numero, aegre resistere poterunt. Nos haec, ut usus docet, exponimus: tu ut urgens necessitas et tempus flagitat, sic gerere rem debes. Illa enim non doctrina tradit, sed prout divinum auxilium te corroborabit, ita armorum exitus subsequetur. Si solos tuae provinciae milites, o dux, manumque exiguam sub signis habes, nihilominus debes praedatores hostium cum cautione, ne ab illis animadvertare, e longinquo consequi inque eos solos, qui egressi in vicos dissipantur, impetum facere, quemadmodum superius declaratum est.

### Cap. XVII. De hostibus cum ingentibus copiis provincias nostras invadentibus, et de ratione per insidias bellandi.

Quod si aliquando omnis hostium equestris atque pedestris vis cum maximis immanibusque copiis provincias nostras ingressa pervadit et populatur, penitusque penetrare eas ac perscrutari constituit: accidit autem,

τὸν αὐτὸν καιρὸν στράτευμα ἐπισυνηγμένον εἶναι, καὶ τὴν τού-
Saracenorum vigilantia. του παρουσίαν ἀκουτισθῶσιν οἱ πολέμιοι, ἀσφάλειαν μὲν πολλὴν
τοῦ ἰδίου λαοῦ ποιοῦνται, μὴ ἐῶντές τινας, φυλακῆς ἄνευ, ἐν
τοῖς χωρίοις διασκορπίζεσθαι. ἐνέδρας δὲ μᾶλλον κατὰ τοῦ ἡμε-
τέρου λαοῦ ἐξεργάζεσθαι μηχανῶνται, καὶ καταλαβεῖν αὐτοὺς
ἀδοκήτως σπεύδουσι, διάξαί τε, καὶ καταγωνίσασθαι. ὀφεί-
λεις δὲ καὶ αὐτὸς πᾶσαν ἀσφάλειαν ἐπιδείκνυσθαι, τοῦ μὴ ἀδο-
D κήτως εὑρεθῆναι παρ' αὐτῶν, ἀντιμηχανήσασθαι δὲ μᾶλλον
πρὸς τὸ αὐτοὺς τροπώσασθαι, καὶ γενναῖόν τι καὶ ἀξιόλογον ἐρ-
γάσασθαι. καὶ αὐτῶν τραυματιζομένων παρὰ σοῦ, οὐδαμῶς
ἐγχρονίσουσι τὰς ἡμετέρας χώρας ληϊζόμενοι. χρεὼν οὖν ἐστί
σοι, διασκοπῆσαι χωρία ἐπιτήδεια, ἐν οἷς οἱ ἐκτρέχοντες τῶν
πολεμίων εἰσέρχονται, τροφῶν καὶ λαφύρων ἀναψηλαφήσεως
ἕνεκα· καὶ λόχον ἐν αὐτοῖς ἱππικὸν καταστῆσαι, τὸν κατ' αὐτῶν
ἐπιθέσθαι μέλλοντα. ἔστωσαν δὲ οἱ ἱππεῖς οἱ εἰς τὸν λόχον ἀπο-
στελλόμενοι τῶν διακοσίων ἐπέκεινα, ἀρχηγὸν ἔχοντες ἀνδρεῖον,
P. 149 καὶ πάνυ εἰς τὰς τοιαύτας ἐνέδρας ἐμπειρότατον. ὁ δὲ τοῦ ὅλου
στρατεύματος ἀρχηγὸς, ἓξ ἢ πέντε χιλιάδας ἱππέων ἔχων πολε-
μιστὰς καὶ τὴν τοῦ Θεοῦ βοήθειαν, οὐ πλειόνων ἐν χρείᾳ γενή-
σεται. ταύτας τοίνυν διχῇ διελὼν τοὺς μὲν δισχιλίους ἔμπρο-
σθεν εἰς ἐπιτήδειον λόχον καταστησάτω· ἐν ᾧ καὶ σκοπιά ἐστιν
ὑψηλὴ, ἀπόβλεψιν ἔχουσα, τοῦ μήκοθεν τοὺς διωκομένους τοῦ
Fol. 395 v. λαοῦ αὐτοῦ καὶ διώκοντας ὁρᾶν. ὄπισθεν δὲ τῶν δισχιλίων τοὺς
τρισχιλίους, καὶ πεζὸν στράτευμα σὺν αὐτοῖς ἐν ἀποκρύφῳ
τόπῳ εἰς ἐνέδραν καταστῆσαι δεῖ, τοῦ τόπου ὀχυρότητα ἔχον-

ut eodem tempore in unum locum Romanae copiae contractae sint, easque prope esse hostes audiant: magnopere suo exercitui cavent, neque quemquam permittunt sine praesidio per vicos dissipari. Quinetiam id moliuntur, ut insidias nostris copiis struant, easque ex insperato deprehendere, fundere, concidere student. Tum vero tu quoque magnam vigilantiam praestare debes, ne ex improviso ab illis deprehendare, potiusque contra comminisci aliquid, quo et fundas illos, et dignum viro atque illustre facinus efficias. Nam, ubi semel cladem abs te acceperunt, praedis agendis in finibus nostris non immorabuntur. Itaque convenit, te loca opportuna dispicere, quo excursores hostium cibariorum praedandique spe intrent: iisque locis equites in insidiis locare, qui illos adoriantur. Sint autem equites, qui in insidias sic mittantur, supra ducentos, cum praefecto strenuo, eiusmodi insidiarum plane peritissimo. Et universi exercitus dux, modo ut sex aut quinque millia equitum bonorum habeat, et Dei auxilium, plurium non indigebit. Nam his bifariam divisis bis mille praemissos in latibulo opportuno constituat, ubi sit specula edita, prospectum habens, ut ex longinquo milites eius agitati insequentesque conspici possint. A tergo horum duorum millium altera tria millia, et peditatum cum illis, disponi in insidiis oportet, abstruso munimentumque habente loco: cui si casu castellum

τος· εἰ τύχῃ δὲ καὶ κάστρον πλησίον, ἕξει κἀκεῖνο εἰς βοήθειαν. μὴ σκοπείτω δὲ ὁ στρατηγὸς, μηδὲ κατὰ νοῦν τοῦτο ἐχέτω, ἐὰν πλήθη πολεμίων ἐπιτεθῶσιν αὐτῷ καὶ σφοδρὸς γένηται πόλεμος, B ἔνδοθεν τοῦ κάστρου γενέσθαι, πρὸ τοῦ τὸν ἴδιον περισῶσαι λαόν. τοῦτο γὰρ οὐ μόνον ἀδοξίαν καὶ καταφρόνησιν, ἀλλὰ καὶ βλάβην ἐπάγει, καὶ τῆς χώρας ἀφανισμὸν καὶ πανολεθρίαν. ἀλλ' ἔξωθεν ἐν τοῖς ὀχυρώμασι τοῖς πλησίον τοῦ κάστρου μετὰ τοῦ πεζικοῦ στρατεύματος ἰσχυρῶς ἀντιμαχέσθω, ἀνάγκῃ περιπεσών· ἅτε πολλὴν ἐκ τοῦ τόπου ἔχων βοήθειαν, καὶ τὸν τοῦ κάστρου πεζὸν λαὸν εἰς συμμαχίαν αὐτοῦ. ὁ οὖν ἀρχηγὸς τῶν τριακοσίων, τῶν εἰς φυλακὴν τῶν χωρίων ἀποσταλέντων, εἰς περιωπὴν ἱστάμενος καὶ ὁρῶν τοὺς πολεμίους ἐν τοῖς χωρίοις εἰσερχομένους, ἡνίκα τῶν ἵππων ἀποβάντες τὰς οἰκίας τῶν χωρίων ἀναψηλαφῶσιν, ἑκατὸν καὶ μικρόν τι πλέον ἐκ τοῦ λαοῦ τῶν τριακοσίων διαχωρίσας ἀποστειλάτω, διορισάμενος αὐτοῖς ὀξέως κατὰ τῶν πολεμίων ἐπιθέσθαι. πλείονες δὲ ἔστωσαν οἱ ἀποστελλόμενοι τῶν εἰς τὰ χωρία εἰσερχομένων πολεμίων. καὶ κατ' αὐτῶν οὕτως ἐπιθέμενοι χάριτι Χριστοῦ πολλοὺς καὶ ἀνελοῦσι, καὶ δεσμώτας λήψονται. οἱ δὲ περιττεύοντες τοῦ λαοῦ ἡμῶν, ὅσοι τῶν πολεμίων τῶν ἰδίων ἵππων ἐπιβῆναι δυνηθῶσι καὶ φυγῇ χρήσωνται, ἐπιμελῶς τούτους διώξουσιν, ἕως ἂν παρὰ τῶν φούλκων τῶν πολεμίων, τῶν ἱσταμένων εἰς φυλακὴν τῶν ἑταίρων αὐτῶν, ἐπιδιωχθῶσιν. ὁρῶν δὲ τοὺς διώκοντας ὁ τῶν τριακοσίων ἄρχων μὴ εἰς πλῆθος ὄντας, ἀλλ' ἀσυντάκτως καὶ ἀκρατῶς διώκοντας, καρτερησάτω ἐν τῷ ἐγκρύμματι, ἕως οὗ οἱ διωκό-

Dux ne primus aufugiat e praelio.

C

Fol. 396 r. D

22. ἑταίρων. ἑτέρων codd.

subest, id quoque ad firmamentum confert. Neque tamen hoc spectet dux, in animove habeat, ut, vi hostium incumbente pugnaque acerrima commissa, in castellum se coniiciat, antequam saluti militum consuluerit. Id enim non solum dedecus et despectum affert, sed calamitatem etiam, et provinciae perniciem atque interitum. Quin potius in locis munitis iuxta castellum cum peditatu fortiter obsistat, si qua necessitate premitur: habebit ibi cum ex loco auxilium, tum ex praesidio pedestri castelli, opitulatum prodituro. Praefectus trecentorum illorum, qui ad observationem vicorum missi sunt, in specula constitutus ubi viderit, hostes vicos ingressos descendisse ex equis casasque paganorum scrutari, paulo plures quam centum a globo trecentorum seiunctos praemittat, iussos ut citati in adversarios incurrant. Debent autem qui mittuntur, numero plures esse quam hostes vicos ingressi. Ita illos invadentes Christi gratia multos et trucidabunt et captivos facient. Qui supererunt ex turma illa, et quotquot adversariorum equis conscensis fugae se permittere potuerint, eos acriter insequantur, donec ipsi a globis hostium, commilitonum tuendorum causa dispositis, agitentur. Hos persequentes praefectus trecentorum videns non magno esse numero, sed inordinate effuseque ruere, exspectet in latibulo, donec sui milites fu-

μενοι τοῦ λαοῦ αὐτοῦ καταλάβωσι καὶ διέλθωσιν. εἶθ' οὕτως καὶ αὐτὸς σφοδρῶς κατὰ τῶν πολεμίων ἀπὸ τοῦ ἐγκρύμματος ἐξελθὼν, μετὰ τῶν σὺν αὐτῷ ὁρμησάτω, καὶ εὐοδωθήσεται τῇ τοῦ Χριστοῦ δυνάμει καὶ χάριτι. λήψεται γὰρ καὶ δορυαλώτους, καὶ πολλοὺς καὶ ἀναιρήσει καὶ τραυματίσει. τῶν οὖν πο- P. 150 λεμίων ἔτι προστιθεμένων, καὶ εἰς πλῆθος αὐξανομένων, καὶ σφοδρῶς ἐπιδιωκόντων, τοὺς μὲν κατασχεθέντας δεσμίους, τούς τε ἵππους αὐτῶν καὶ ὅπλα ἔμπροσθεν ἀποστειλάτω, τοῦ καταλαβεῖν ἐν ᾧ τόπῳ ὁ στρατηγὸς ἵσταται. κἀκεῖνος εὐτάκτως ὑποφευγέτω μετὰ τῶν σὺν αὐτῷ, ἐρεθίζων τοὺς πολεμίους πρὸς δίωξιν καὶ ἐμπείρως ἐφελκόμενος· μηδεὶς δὲ τοῦ λαοῦ αὐτοῦ γινωσκέτω, ἐν οἷς τόποις τὰ ἐγκρύμματα τοῦ στρατηγοῦ ἵστανται, εἰ μὴ μόνος ὁ ἄρχων αὐτῶν. τῶν δὲ πολεμίων ἐπιτιθεμένων αὐτῷ μετὰ πλήθους λαοῦ, καὶ ἀκρατῶς διωκόντων, ὑποστροφὰς B ποιείτωσαν οἱ ὄντες ἀνδρεῖοι καὶ γενναιότατοι, καὶ ἵππους εὐτόνους ἔχοντες, καὶ πληττέτωσαν τοὺς διώκοντας· ἵνα καὶ τοὺς τραυματίας τῶν ἰδίων διασώσωσι, καὶ ἵππων ἀτονούντων ἢ καὶ πληττομένων ἑτέρων ἐπιβῆναι παρασκευάσωσιν. εἶθ' οὕτως ἐπιδιδόντας τοὺς χαλινοὺς τῶν ἵππων μετ' ἐλασίας μακρυνθῶσι μι- Fol. 896 v. κρὸν τῶν διωκόντων· ἵνα καὶ τοῦ βάρους τοῦ ἐπικειμένου αὐτοῖς τῶν πολεμίων μικρὸν κουφισθῶσι, κἀκεῖνοι, ὀξύτερον τοὺς ἵππους ἐλαύνοντες πρὸς δίωξιν, ἀτόνους καὶ λειποψυχοῦντας ἐργάσωνται. ἐγγιζόντων δὲ τῷ ἐγκρύμματι τῶν διωκομένων τοῦ λαοῦ ἡμῶν, εἴτε δεξιᾷ εἴτε εὐώνυμα διελθέτωσαν· ἵνα τοῦ ἐγκρύμμα- C τος ἐξερχομένου μὴ κατὰ τόπον αὐτοῖς συναντήσωσι, καὶ ἀλλή-

gientes advenerint atque praetervecti sint. Tum ipse, in hostes ex insidiis consurgens, cum sua manu signa cursim inferat, et Christi potentia ac gratia rem bene geret. Etenim cum captivos faciet, tum multos concidet et vulnerabit. Affluentibus tamen magis magisque hostibus, auctaque multitudine acriter instantibus, captivos iam factos, equosque eorum atque arma remittat, ut deducantur in locum ubi dux subsidiatur. Ipse cum sua manu servatis ordinibus recedat, hostes ad persequendum irritans atque intelligenter alliciens: neque quisquam ex eius turma sciat, quibus in locis insidiae cum duce lateant, praeter ipsum praefectum. Hostibus incumbentibus ei magno numero, rapideque insequentibus, quotquot strenui et fortes sunt, et equis valentibus vehuntur, se convertant, insequentesque feriant: quo et suos saucios conservent, et si quorum iumenta aut defessa aut vulnerata sint, his facultatem suppeditent alia conscendendi. Postea remissis habenis a persequentibus aliquantulum cursim se removeant: ut et incumbente sibi hostium vi paulum leventur, et illi equos, ad persequendum festinanter admissos, lassitudine conficiant et exaniment. Nostri fugientes latibulo appropinquantes vel dextra vel laeva transeant: ne prorumpentibus insidiis eodem loco occurrant, sibique inter se fraudi sint. At

λους παραβλάψωσι. μετὰ δὲ ταῦτα τῶν διωκομένων σὺν αὐτοῖς οὖσιν ἐν τῷ ἐγκρύμματι, ὑποστρεφόντων. καὶ ἐκ δύο μερῶν τῆς ὁρμῆς αὐτῶν κατὰ τῶν πολεμίων γινομένης, εἰς ὠφέλειαν καὶ τοῦτο τοῦ ἡμετέρου λαοῦ γενήσεται. ἔστω δὲ ὁ τόπος τοῦ [Locus insidiis aptus qualis.] ἐγκρύμματος ἐπιτήδειος πρὸς τὸ καλῶς αὐτοὺς ἀποκρύπτειν· στένωμα δὲ ἢ δυσχωρίαν εἰς τὴν ἔξοδον μηδαμῶς ἐχέτω, ἀλλ' ἐφόμαλος ἔστω καὶ εὐρύχωρος, μηδὲν παρεμποδίζων τὴν κατὰ τῶν πολεμίων αὐτῶν ὁρμὴν καὶ ὀξεῖαν ἐπίθεσιν, καὶ μάλιστα περὶ τοὺς δισχιλίους ὄντων. ἐπὶ γὰρ τοσούτου ἀριθμοῦ πλατεῖαν καὶ εὐθεῖαν εἶναι δεῖ τὴν ἔξοδον τοῦ τοιούτου χωρίου. καὶ ἡ περιωπὴ D δέ, ἐν ᾗ ἵσταται βλέπων ὁ τοῦ λαοῦ τοῦ ἐν τῷ ἐγκρύμματι ἀρχηγός, ἐπιτηδεία ἔστω, ὥστε καθορᾷν ἀπὸ πολλοῦ διαστήματος τοὺς διώκοντας πολεμίους, καὶ τὴν ποσότητα τοῦ λαοῦ αὐτῶν στοχάζεσθαι, καὶ κατανοεῖν, ὅπως τὴν δίωξιν ποιοῦνται. ἐγγισάντων δὲ τῶν διωκόντων ἐπὶ τῷ ἐγκρύμματι, ἐπικαλεσάμενοι τὴν τοῦ Θεοῦ βοήθειαν, ὀξεῖ καὶ σφοδροτάτῳ καὶ ἀνδρείῳ ὁρμήματι μετὰ κραυγῆς καὶ ἀλαλαγμοῦ κατ' αὐτῶν ὁρμησάτωσαν. ὑποστρεφέσθωσαν δὲ καὶ οἱ διωκόμενοι· καὶ ἐκ δύο μερῶν τῆς P. 151 ὁρμῆς αὐτῶν κατὰ τῶν πολεμίων γεγενημένης, εἰς ὠφέλειαν καὶ τοῦτο τοῦ ἡμετέρου στρατοῦ γενήσεται. καὶ εἰ ἀκολούθως πάντα Fol. 397 r. κατὰ τὸν παρόντα πραχθείη διορισμόν, ἔχοντες πρὸ πάντων καὶ τὴν τοῦ Θεοῦ βοήθειαν συνεφαπτομένην αὐτοῖς, οἷα τότε καταστροφὴ καὶ ὄλεθρος τῶν πολεμίων γενήσεται, οἱ πεῖραν τῶν τοιούτων ἔχοντες ἴσασι. καὶ πῶς γὰρ ἄρα, τῶν ἵππων τῇ μακρᾷ καὶ συντόνῳ διώξει ἠτονηκότων, καὶ τῶν ἀνδρῶν τῷ πολλῷ πόνῳ

9. δισχιλίους. Cod. B. τρισχιλίους.

ubi fugientes se cum illis in latibulo coniunxerint, tum se obvertant. Et si ex duabus partibus impressionem in hostes faciunt, id quoque utilitatem nostris copiis afferet. Sit autem locus insidiarum ad eos bene occultandos aptus: neque angustias circa exitum asperitatesve ullo modo habeat, sed planus patulusque sit, neque eorum impetum in hostes perceleremque incitationem impediat, maxime si ad bis mille sint. Tanto enim numero latus atque rectus exitus esse debet ex loco eiusmodi. Item specula, ubi dux insidiarum consistit circumspiciendi causa, idonea sit, ex qua quam longissime hostes insequentes videre, numeroque eorum aestimato, quo modo persecutionem faciant intelligere possit. Persequentes ubi ad insidias appropinquant, invocata numinis ope, acri et vehementissimo atque strenuo impetu, clamore iubiloque sublato, in illos se incitent. Simul fugientes se convertant: ac si e duabus partibus impetus ab illis in hostes fieri potest, illud quoque ad iuvandum exercitum momentum habebit. Ita unaquaque re ex praescripto nostro administrata, si, quod caput est, Dei auxilio insuper sublevantur, quanta tum hostium strages internecioque eventura sit, qui harum rerum usum habent sciunt. Qui enim, iumentis longa et citata persecutione defes-

τῆς μάχης ἐκλελοιπότων, οὐ τὰ κακῶν ἔσχατα τούτοις συμβήσεται; εἰ δὲ, ὅπερ πάντη ἀνέλπιστόν ἐστιν, ἰσχύσωσιν οἱ πολέμιοι ἀντι-
B στῆναι, πάσης αὐτῶν τῆς δυνάμεως ἐν τῷ τοιούτῳ πολέμῳ παραγενομένης, καὶ καρτερὰ μάχη γένηται πανστρατὶ αὐτῶν μαχομένων, διὰ τὸ τὴν ἧτταν αὐτῶν ἀνακαλέσασθαι, καὶ κατὰ δεύτερον λόγον τοῦτο συμβῇ· δεῖ τὸν τοῦ στρατοῦ ἀρχηγὸν ἀπὸ συνθήματός τινος καὶ διορισμοῦ καὶ σάλπιγγος ἀνακλητικῆς διαχωρίσαι τοὺς οἰκείους τῆς ἐκ χειρῶν μάχης, νῶτα διδόντων αὐτῶν (πλὴν μὴ σὺν ἐλασίᾳ καὶ φυγῇ ἀκόσμῳ, ἀλλ' εὐτάκτως), ἐρεθίζειν τε τοὺς πολεμίους πρὸς δίωξιν. ἐπικειμένων δὲ τῶν παρατάξεων τῶν πολεμίων καὶ διωκουσῶν, τῇ μείζονι ἐνέδρᾳ περιπεσοῦνται. καὶ διω-

Recessus non cursim faciendus.

C κόμενοι ἐν ἑνὶ μέρει τῆς ἐνέδρας, ὡς ἔφημεν, διερχόμενοι, ὁπόταν κατ' αὐτῶν οἱ ἐν τῇ μεγάλῃ ἐνέδρᾳ ὄντες ὁρμήσωσιν, ὑποστρεφέσθωσαν παραυτίκα καὶ οἱ διωκόμενοι, καὶ εὑρεθήσονται ἐκ δύο μερῶν τοῖς πολεμίοις μαχόμενοι· καὶ πολλὴν τοῦτο τῷ στρατῷ προξενίσει τὴν ὠφέλειαν. εἰ οὖν οἱ διώκοντες ἄχρι τῆς ἐνέδρας καταλάβωσι, καὶ ἀπροόπτως ταύτῃ περιπέσωσι, καὶ
Fol. 397 v. τολμηρῷ καὶ ἀνδρείῳ ὁρμήματι ἀπὸ τοῦ ἐγκρύμματος κατ' αὐτῶν ἐφορμήσωσι, τῇ τοῦ Χριστοῦ χάριτι κατὰ κράτος τούτους ἡττήσουσι, καὶ μέγα κλέος ἑαυτοῖς περιποιήσονται. εἰ δὲ διά τινα σφάλματα μὴ τελέως δυνηθῶσι τῶν παρατάξεων τῶν ἐχθρῶν περιγενέσθαι, ὡς δύναμιν βαρεῖαν ἐχόντων, καὶ ἰσχυρῶς παν-
D στρατὶ αὐτῶν μαχομένων, ἔχων καὶ τὸ πεζῶν στράτευμα συμμαχούντων σοι, σὺ μᾶλλον αὐτῶν ὑπερισχύσεις. καὶ εἰ μὴ κατὰ κράτος ἡττηθῶσιν, ἀλλ' οὖν πολλοὺς αὐτῶν μαχαίρας ἔργον

sis hominibus multo labore pugnae deficientibus, non extrema illis mala accident? Si tamen, quod prorsus improbabile est, hostes, universa eorum multitudine in hunc conflictum se demittente, obsistere valent, fitque, omnibus illorum copiis pugnantibus, acre praelium, quod detrimentum acceptum sarcire student, videturque praeter exspectationem res casura: debet tunc dux exercitus signo aliquo ac mandato, perque tubam receptui canentem, suos cominus instantes revocare, ita ut terga dent (neque tamen id cursim et fuga effusa, sed ordinate), hostesque ad persequendum allicere. Ita acies hostium incumbentes seque proruentes in maiores insidias incident. Fugientes, ab uno latere latibuli, sicuti diximus, praetervecti, ubi in hostem maiores insidiae consurrexerunt, ipsi quoque protinus se convertant, infestaque signa adversariis utrinque inferentur: quod magno adiumento erit exercitui. Insequentes si usque ad insidias provecti temere in illas irruant, nostri, audaci atque strenuo impetu ex latebris in illos provolantes, Christi gratia magnifice illos superabunt, magnamque gloriam consequentur. Quod si propter quaedam errata penitus fundere acies hostium non potuerunt, quod multitudine infinita copiisque omnibus congregatis acriter praeliabantur, tamen, quod peditatum habes simul signa inferentem, melius tu quam illi rem geres. Neque si prorsus debellas, at denique

ποιήσῃς, πλείονας δὲ τούτων καὶ ἀνδραπόδων λόγῳ κατάσχῃς, καὶ φόβῳ μεγάλῳ καὶ καταπλήξει ὑποβληθῶσιν· ὡς μηκέτι τολμᾷν ἀδεῶς τὰς χώρας κατατρέχειν καὶ ληΐζεσθαι, μᾶλλον δὲ σπεύσουσι τὴν ἰδίαν καταλαβεῖν. καὶ ταῦτα μέν, καθὼς οἱ πρὸ ἡμῶν ἡμῖν παρέδοσαν, καὶ ἡ ἀπὸ τοῦ μακροῦ χρόνου ἐμπειρία, συνεγραψάμεθα. σοὶ δὲ πρὸς τὴν εἰκὸς ἐπερχομένην περίστασιν προσήκει διαγενέσθαι. οὐ γὰρ ὡς αἱ τῶν ἀνθρώπων βουλαί, ἀλλ' ὡς ἡ ἄνωθεν πρόνοια τὰ καθ' ἕκαστον ταλαντεύσῃ, καὶ τὸ τοῦ πολέμου ἕπεται πέρας.

ΚΕΦ. ιη'. *Περὶ τοῦ, πότε δεῖ τὸν στρατηγὸν ἐκ δύο μερῶν τῶν πολεμίων παραδρομὴν ποιῆσαι.* P. 152

Εἰ δὲ ἔτι ἐπιμένουσιν οἱ πολέμιοι, ὅπερ ἀνέλπιστόν ἐστι μετὰ τὸ οὕτως τραυματισθῆναι, τὰς χώρας ἡμῶν φωσσατικῶς πυρπολοῦντες, κατακαίοντές τε καὶ διαφθείροντες, μηδαμοῦ εἰς κοῦρσον μήκοθεν τὸν λαὸν αὐτῶν τολμῶντες ἀποστέλλειν, χρὴ τὸν στρατηγὸν ἀξιόλογον δύναμιν εἰς τὸ ἕτερον μέρος τῶν B
πολεμίων ἀποστεῖλαι, ἐν ᾧ αὐτὸς μὴ παρατρέχει· καὶ τοῖς ἀπὸ τριῶν ἢ τεσσάρων μιλίων τοῦ φωσσάτου παρεκτρέχουσιν ἔνθεν κἀκεῖθεν ἐπιτίθεσθαι καὶ τραυματίζειν, πρὸς τὸ διακωλύειν αὐτοὺς τροφὰς ἀναλαμβάνειν· ἵνα ὡς ἐκ τούτου σπάνιν ἔχοντες τροφῶν ἀναγκασθῶσιν ὑποστρέψαι. εἰ δὲ ὁρᾷς, ὦ στρατηγέ, Fol. 393 r.
τοὺς πολεμίους ἔτι ἑαυτοὺς παραφυλάττοντας, καὶ μὴ πόῤῥω ἐξελαύνειν τοὺς εἰς συλλογὴν χρειῶν ἀποστελλομένους παραχωροῦντας, καὶ ταύτην τὴν ἐνέδραν εἰς βλάβην αὐτῶν ἐπινοήσα-

multos eorum gladio conficies, plures in servitutem rediges, formidinemque ac terrorem illis magnum iniicies: ut non amplius imprudenter incurrere agros ac vastare audeant, contendantque potius domum redire. Haec, sicut a maioribus accepimus, et longinqui temporis usu edocti sumus, ita conscripsimus. Te autem convenit ad unius cuiusque rei probabilem eventum accommodari. Non enim ut hominum voluntates, sed ut summa providentia quidque ponderat, ita armorum exitus consequuntur.

Cap. XVIII. De eo, quando oportet ducem bipartito hostes insequi.

Si hostes diutius commorantur, tametsi id quidem parum credendum est de tam male habitis, factisque castris agros nostros incendiis ac vastationibus populantur, neque milites suos longius praedandi causa dimittere audent, debet dux firmam manum post terga hostium in alteram partem, ubi ipse non est, circummittere: et quicunque tria vel quatuor millia passuum a castris digrediuntur, a duobus lateribus eos aggredi ac vexare, frumentationibusque prohibere: ut sic cibariis destituti domum redire cogantur. Quod si vides, o dux, hostes magis etiam sibi cavere, neque frumentatum missis longius progrediendi potestatem facere, ad detrimentum iis inferendum illiusmodi insidias comparare debes. Considera globos ho-

σθαι δεῖ. τὰ φοῦλκα διασκοπῆσαι τῶν πολεμίων, τὰ εἰς φυλακὴν
C αὐτῶν ἐξερχόμενα καὶ πόῤῥω τοῦ φωσσάτου ἱστάμενα. καὶ οἷον
ἐξ αὐτῶν βραδύτερον ὑποστρέφει εἰς τὰς σκηνὰς αὐτῶν, ἴσως
καρτεροῦν ἕως οἱ τὰ πλησίον αὐτῶν χωρία ἀνερευνῶντες ἑταῖροι
πρὸς τὰς σκηνὰς αὐτῶν ὑποστρέψουσι, κατ' αὐτοῦ ἐνεδρεῦσαι
ἐπείχθητι. καὶ δι' ἐμπείρων βιγλατόρων εἰ δυνατὸν στοχάσασθαι
τὴν ποσότητα τῶν εἰς τὸ φοῦλκον ἱσταμένων πολεμίων, καὶ τού-
των πλείονας μαχίμους ἄνδρας τῶν ἱππέων ἀπολεξάμενος λόχον
γενέσθαι τοῖς ἐχθροῖς παρασκευάσεις, ἀρχηγὸν ἐν αὐτοῖς ἐφιστῶν
ἀνδρεῖον καὶ ἐμπειρότατον. διορίσασθαί τε αὐτὸν ὀλίγους τινὰς
D τοῦ ὑπ' αὐτὸν λαοῦ χιτῶνας ἀμφιάσασθαι γεωργῶν· συμμῖξαι
τε αὐτοῖς τῇ ἀληθείᾳ καί τινας τῶν ἀγροτῶν καὶ γεωργικῶν. ἀό-
πλους δὲ πάντας εἶναι, καὶ τὰς κεφαλὰς ἀσκέπους· τινὰς δὲ καὶ
ἀνυποδέτους· ἐφίππους δὲ ἅπαντας, ξυλοκόντια κατέχοντας
πάνυ κοντὰ, πρὸς τὸ ἀπατῆσαι τοὺς πολεμίους, καὶ δόξαν αὐ-
τοῖς ἐμποιῆσαι, ὡς οὐκ εἶεν τοῦ στρατοῦ, ἀλλὰ γεωργοί τινες,
Casarum custodes. οἱ λεγόμενοι οἰκοφύλακες. μὴ πλείους δὲ τούτους εἶναι τῶν εἴκοσι.
εἰσαγαγεῖν δὲ αὐτοὺς ἐν χωρίοις ἀνὰ ἓξ ἢ καὶ πλείονας πλησίον
ἀλλήλων, ἔχοντας κτήνη τινὰ ἐν τοῖς αὐτοῖς χωρίοις, εἴτε ὑπο-
P. 153 ζύγια εἶεν καὶ βόες, εἴθ' ἵπποι τε καὶ ἡμίονοι. περὶ δὲ ἑνδε-
κάτην ὥραν τῆς ἡμέρας διορίσασθαι αὐτοὺς ἐμφανισθῆναι τοῖς
πολεμίοις, ἀπὸ χωρίου εἰς ἕτερον χωρίον δρομαίως εἰσερχομένους
καὶ περισπωμένους, ὅπως τὰ κτήνη αὐτῶν ἀναλάβωνται, καὶ
πρὸς τὰ ὀχυρώματα διασώσωσι. τούτους τοίνυν ἡνίκα οἱ εἰς τὸ

11. ἀμφιάσασθαι. De hac forma vid. Albert. ad Hesych. I. 295. A.
14. ξυλοκόντια. Sic verti cum Ducang. Gloss. I. col. 1024. nisi leg. ξυλακόντια.

stium, qui ad frumentatorum praesidium egressi longius a castris constiterunt. Quorum si quis tardius ad tentoria se recipit, praestolatus fortasse, donec commilitones, iuxta vicos perscrutati, in castra recesserint, hunc circumvenire propera. Ac si excubitoribus peritis adhibitis numerum hostium in hoc globo persistentium inire potes, per maiorem numerum virorum valentium ex equitibus electorum insidias adversariis faciendas curabis, delegato ad hoc praefecto strenuo ac peritissimo. Is paucos quosdam ex suis vestimenta rustica induere iubeat: his admisceat aliquot revera paganos atque agricolas. Omnes autem inermes esse debent, capitibus nudis, nonnulli etiam discalceati: cuncti equis insidentes, baculos gerentes admodum breves, ad fallendos hostes fidemque illis faciendam, non se esse de exercitu, sed paganos quosdam, qui casarum custodes appellentur. Neque esse debent plus viginti. Hos introducat in vicos, senos simul, aut etiam plures, ita ut non longe inter se distent, iumentaque habeant in ipsis vicis, sive haec veterina sint ac boves, sive equi et muli. Hos iubeat, circa undecimam horam diei hostibus se in conspectum dare, et a vico ad vicum trepidanter discurrere satisque agere, quasi pecora sua

φοῦλκον ἱστάμενοι πολέμιοι θεάσωνται, τὰ μὲν τῶν κτηνῶν αὐ-
τῶν παρέλκοντας, τὰ δὲ ἀπελαύνοντας, καὶ ἀγρότας εἶναι καὶ
γεωργοὺς τούτους ὑποτοπήσουσιν, ἀκρατῶς καὶ ἀφυλάκτως τού-
τους ἐπιδιώξουσι. διωκόμενοι δὲ οἱ τὸ σχῆμα τῶν οἰκοφυλάκων
καὶ γεωργῶν ὑποδύντες, σπουδάσουσι καταλαβεῖν, ἐν ᾧ τὸ ἔγ-
κρυμμα ἵσταται· καὶ τούτους οἱ πολέμιοι διώκοντες περιπεσοῦν- B
ται τῇ ἐνέδρᾳ ἀπαραφυλάκτως. ἐπὰν δὲ τοῖς λοχήσασι προσεγ-
γίσωσιν, εὐτάκτῳ φρενὶ καὶ ὁρμῇ κατ᾿ αὐτῶν οἱ τοιοῦτοι ἐφορ-
μήσαντες συῤῥαγείτωσαν. καὶ δῆλον ὡς οὐκ ἀντιστήσονται κἂν
πρὸς μικρὸν οἱ πολέμιοι· ἀλλὰ νῶτα δόντες πολλοὶ τούτων καὶ
ἀναιρεθήσονται, καὶ δορυάλωτοι γενήσονται. εἰ δὲ σύνεγγυς ὁ
χῶρος εἴη τῆς τῶν ἐχθρῶν στρατιᾶς, ἐν ᾧ τὰ τοιάδε τελεῖται,
καὶ πλῆθος τοῦ λαοῦ τῶν πολεμίων εἰς ἐκδίκησιν τῶν διωκομένων
ἐξέλθοι, χρὴ τὸν στρατηγὸν καὶ ὄπισθεν τῆς τοιαύτης ἐνέδρας
καὶ ἕτερον λαὸν τόπον εἰς ἐπιτήδειον εἰς ἔγκρυμμα καταστῆσαι,
ἀπέχον τῆς προτέρας ἐνέδρας μίλια δύο. καὶ εἴγε, ὡς ἔφημεν, C
τοὺς ἐν τῇ πρώτῃ ἐνέδρᾳ λαὸς τῶν πολεμίων ἐπιδιώξει, οἱ τοῦ
δευτέρου ἐγκρύμματος ἐξερχόμενοι κατ᾿ αὐτῶν τοὺς μὲν οἰκείους
περισώσουσι, τοὺς δὲ πολεμίους κατατραυματίσουσι καὶ θανα- Fol. 399 r.
τώσουσι. δεῖ οὖν τὴν τοιαύτην μηχανὴν, ὦ στρατηγὲ, περὶ δυ-
σμὰς ἡλίου ἐξεργάσασθαι· ἵνα, ἐὰν πλήθη πολεμίων ἐπίθωνται
τοῖς ἐν τῇ ἐνέδρᾳ, ἡ νὺξ καταλαβοῦσα καὶ τὸν πόλεμον διαλύ-
σασα, ἀβλαβῆ τὸν ὑπὸ σὲ λαὸν διατηρήσῃ.

**Qua hora diei aggrediendi hostes.**

8. φρενί. Fort. φορᾷ. 17. λαὸς] λαοὺς codd.

inde repetere inque loca munita compellere velint. Hostes globatim excubantes, ubi hos partim pecora sua protrahentes, partim ante se agentes conspexerint, agricolas eos et paganos esse rati, effuse atque temere illos persequentur. Hi qui custodum et agricolarum personam susceperunt, si agitantur, festinabunt locum assequi, ubi latentes copiae consederunt: quos hostes persequentes, imprudentes in insidias incident. Nam ubi his appropinquarint, nostri animo motuque composito coorti illis occurrant. Ibi perspicuum est, ne tantisper quidem restituros hostes: sed fuga facta multi eorum et interibunt, et captivi fient. Si tamen a loco, ubi haec geruntur, acies hostium propius abest, adversariique magna multitudine ad tuendos suos fugientes se effundunt, debet dux a tergo harum insidiarum alteram manum loco idoneo collocare, in latibulo, quod a prioribus insidiis duo millia passuum abait. Ac si, ut praediximus, milites priorum insidiarum vis hostium persequitur, qui in altero latibulo sunt, evolantes in illos, tum commilitones servabunt, tum adversarios damno et morte afficient. Quo commento, o dux, sub occasum solis oportet uti: ut, etiamsi vis hostium insidiatores urgeat, tamen nox superveniens diremto praelio incolumem tuam manum servet.

D **ΚΕΦ. ιθʹ. Περὶ καταστάσεως καὶ ἐξοπλίσεως καὶ γυμνασίας στρατοῦ.**

Εἰ δέ γε θαῤῥήσουσι κοῦρσον διαχωρίσαι, εὐφυῶς δεῖ σε τούτους ἐπιτηδεύσασθαι, ἀποστέλλοντα τῶν ὑπὸ σέ τινα ἀνδρείᾳ καὶ ἐμπειρίᾳ κεκοσμημένον, μετὰ καθωπλισμένου λαοῦ καὶ ἐξαρκοῦντος, τοὺς διεσκεδασμένους τῶν πολεμίων κατατρέχειν, καὶ ἀναιρεῖν, καὶ δεσμώτας ποιεῖν. σοῦ δὲ μηδέποτε καταλυέτω ἡ παράταξις· ἵνα, εἰ συμβῇ φούλκοις πολεμίων περιτυχεῖν πλῆθος
P. 154 ἔχουσι λαοῦ, πρὸς φυλακὴν δηλαδὴ τῶν ἐξελθόντων πολεμίων ἐπακολουθοῦσι, τὴν ἰδίαν ἔχων παράταξιν συνισταμένην, πόλεμον μετὰ τοῦ φούλκου συνάπτων στρατηγικῶς καὶ ἐμπείρως, ὡς ἐξεθέμεθα, καταγωνίσῃ τούτους, καὶ τελείῳ παραδώσῃς ἀφανισμῷ. ταῦτα δὲ εἰς τὴν σὴν ἀσφάλειαν, ὦ στρατηγέ, καὶ τοῦ λαοῦ φυλάττεσθαι ὑπεμνήσαμεν, εἴγε ὀλιγοστόν ἐστι τὸ ὑπὸ σὲ στράτευμα, καὶ εὐαρίθμητον, καὶ τοῦ τῶν πολεμίων πολὺ ἐλαττούμενον. εἰ δὲ περὶ τὰς ἓξ ἢ πέντε χιλιάδας ἀπαριθμεῖται τὸ ὑπὸ σὲ μάχιμον, μᾶλλον κατὰ πρόσωπον ἀντιτάξασθαι τοῖς πολεμίοις ἐπείχθητι. καὶ οὕτως διὰ μηχανικῶν στρατηγημάτων καὶ
B ἐπιτηδεύσεων, εἰ χρὴ, καὶ ἀδοκήτων κατ' αὐτῶν ἐπιθέσεων, καὶ εἰ καλῶς καὶ ἐμπείρως τὸν κατ' αὐτῶν μηχανήσῃ πόλεμον,
Fol. 399 v. ἔχων τὴν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀκαταμάχητον βοήθειαν συνεπαμύνουσαν, μεγάλα κατὰ τῶν ἐχθρῶν νίκης ἐργάσῃ τρόπαια. οὐκ ἐνὸν δὲ ἄλλως στρατηγικῶς καὶ ἐμπείρως πρὸς τὸν πόλεμον παρασκευασθῆναί σε, εἰ μὴ πρότερον ἐξασκήσῃς καὶ ἐκπαιδεύσῃς τὸ ὑπὸ σὲ στράτευμα, ἐθίζων αὐτὸ καὶ ἐγγυμνάζων εἴς τε

1. εὐφυῶς] ἀφυῶς codd. 18. καὶ εἰ. Sic codd.

Cap. XIX. De statu, armatura et exercitatione militum.

Sed si audent catervatim praedatores a se disparare, debes hos solertia adhibita invadere, misso uno de illis qui sub te militant, homine virtute atque usu praedito, cum armata manu quae sufficiat, hostes dispersos insectari, occidere, captivos facere. Neque tamen tu tuam aciem solvas: ut si accidit, te in globos hostium numero valentes incidere, qui praesidii causa praedatores insecuti sint, tua acie instructa, praelioque cum globo illo, bonorum ducum more ac perite, ut exposuimus, commisso, expugnes illos, et funditus ad internecionem deleas. Haec tuae, o dux, militumque tuorum salutis conservandae causa monuimus, si quidem tuae copiae parvae sunt, et tenues, ut hostiles illis plurimum praestent. Sed si sub signis tuis numerantur sex aut quinque millia armatorum, magis a fronte adoriri hostes contendito. Et sic callidis consiliis et commentis, si opus est, tum etiam insperatis procursationibus, recte ac perite bellum adversus eos administrans, si habes insuper Christi Dei nostri invictum auxilium pro te propugnans, ex victoria contra hostes magna constitues tropaea. Quanquam fieri non potest, ut caeteris rebus imperatorie ac scienter ad bellum te pares, nisi priùs exercueris atque erudieris copias tuas, subigens atque

τὴν τῶν ὅπλων μεταχείρισιν, καὶ πόνων καὶ ταλαιπωριῶν τὸ δριμύ τε καὶ ἐπίπονον καρτερεῖν· καὶ μὴ χαυνότητι καὶ ῥᾳθυμίᾳ, μέθῃ τε καὶ τρυφαῖς καὶ ταῖς ἄλλαις ἀσωτίαις τὸ ἑαυτῶν πᾶν ἐπιτρέπειν. προσήκει γε μὴν, τάς τε ῥόγας αὐτῶν καὶ σιτηρέσια Milites in honore habendi. ἀνελλιπῶς τούτους λαμβάνειν· ἄλλας τε δωρεὰς καὶ εὐεργεσίας, πλείους τῶν ἐθίμων καὶ διατετυπωμένων· ἵνα τὸ ἀνενδεὲς ἔχοντες C ἐκ τούτων δύνωνται καὶ ἵππους καλλίστους ἐπικτᾶσθαι, καὶ τὰς ἄλλας αὐτῶν πανοπλίας, καὶ χαιρούσῃ ψυχῇ, καὶ προθύμῳ καὶ ἀγαλλομένῃ καρδίᾳ προκινδυνεύειν αἱρῶνται τῶν βασιλέων ἡμῶν τῶν ἁγίων, καὶ παντὸς τοῦ Χριστιανικοῦ πληρώματος. τὸ δὲ κρεῖττον πάντων καὶ ἀναγκαιότερον, ὅπερ τὸ πρόθυμον αὐτῶν διεγείρει, καὶ τὴν ἀνδρείαν αὔξει, καὶ τῶν ἀτολμήτων ἐρεθίζει κατατολμᾷν, τὸ τελείαν ἔχειν ἐλευθερίαν τὰς ἑαυτῶν οἰκίας καὶ D τῶν ὑπηρετουμένων αὐτοῖς στρατιωτῶν, καὶ τοὺς περὶ αὐτοὺς ἅπαντας. τοῦτο γὰρ ἀρχῆθεν καὶ ἀπὸ παλαιοῦ εἰς αὐτοὺς καὶ συνετηρεῖτο καὶ διεφυλάττετο· καὶ εὑρήσεις τοῦτο νενομοθετημένον παρὰ τῶν πάλαι ἁγίων καὶ μακαρίων βασιλέων, καὶ ἐν τοῖς τακτικοῖς βιβλίοις αὐτῶν ἐγγεγραμμένον. πρὸς δέ γε τῇ ἐλευθερίᾳ χρὴ αὐτοὺς καὶ τῆς δεούσης ἀπολαύειν τιμῆς, καὶ μὴ καταφρονεῖσθαι καὶ ἀτιμοῦσθαι. αἰσχύνομαι γὰρ εἰπεῖν, καὶ τύ- Fol. 400 r. πτεσθαι τοὺς τοιούτους ἄνδρας, τοὺς μὴ προτιμῶντας τῆς ἰδίας ζωῆς ὑπὲρ θεραπείας τῶν ἁγίων βασιλέων, καὶ τῆς τῶν P. 155 Χριστιανῶν ἐλευθερίας καὶ ἐκδικήσεως· καὶ ταῦτα παρὰ φορο-

20. ἀτιμοῦσθαι. Sic pro ἀτιμᾶσθαι, ut paulo post 155. A. lin. 9.

docens illas tum tractandis armis, tum in acerbitatibus ac molestiis laborum aerumnarumque perferendis: ne mollitiei, ignaviae, temulentiae, luxuriae, reliquis nequitiis totos se tradant. Convenit item, ut rogas atque frumentationes plenas accipiant; insuperque donativa et largitiones, ultra consuetas ac praescriptas: ut sic necessitates suas nacti inde et equos optimos et armaturam reliquam comparare sibi possint, et laeta mente, parato atque erecto animo pro sacris Imperatoribus nostris universaque republica Christiana periculis obiicere sese velint. Sed omnium optimum atque maxime necessarium, quod excitat eorum alacritatem, auget virtutem, stimulat demum, ut vel non audenda efficere conentur, illud est, ut non solum ipsorum et militum sibi ministrantium domus, sed etiam universi eorum necessarii, omnium rerum immunitatem habeant. Haec a principio antiquitus servabatur circa illos consuetudo, ac permanebat: id ipsum a priscis Imperatoribus, sacris ac beatis illis quidem, et pronunciatum, et in libris militaribus eorum scriptum reperies. Praeter immunitatem opus etiam est, ut debitum honorem percipiant, neque despicatui sint, aut iniuriam patiantur. Nam pudet me dicere, vel verberari eiusmodi viros, qui vitam ipsam minoris ducant, modo sacris Imperatoribus officium suum praestent, Christianosque liberent et ulciscantur: idque ab exactoribus misellis, qui

λόγων ἀνθρωπαρίων, καὶ μηδεμίαν τῷ κοινῷ προξενούντων ὠφέλειαν, ἀλλ᾽ ἢ μόνον ἐκπιεζόντων καὶ ἐκτριβόντων τοὺς πένητας, καὶ ἐξ ἀδικίας καὶ πολλῶν αἱμάτων πενήτων ἑαυτοῖς πολλὰ τάλαντα χρυσίου ἐπισυναγόντων. δεῖ δὲ αὐτοὺς μηδὲ παρὰ τῶν θεματικῶν κριτῶν ἀτιμοῦσθαι, καὶ ὡς ἀνδράποδα κατασύρεσθαι καὶ μαστίζεσθαι, δεσμά τε καὶ κλοιὰ (ὢ τῆς συμφορᾶς) περιτίθεσθαι τοὺς ἐκδίκους καὶ, μετὰ Θεὸν, σωτῆρας Χριστιανῶν, καὶ ὑπὲρ τῶν B ἁγίων βασιλέων καθ᾽ ἑκάστην, ὡς εἰπεῖν, ἀποθνήσκοντας· αὐτοῦ τοῦ νόμου παρακελεύοντος, ἕκαστον ἄρχοντα τοῦ ἰδίου λαοῦ ἐξουσιάζειν, καὶ τούτους κρίνειν. καὶ τίνος ἑτέρου ἄρα λαὸς οἰκεῖος ὁ τοῦ θέματος, εἰ μὴ μόνον τοῦ στρατηγοῦ, ὃν ὁ βασιλεὺς ὁ ἅγιος ἐν αὐτῷ προχειρίζεται; διὰ τοῦτο γὰρ καὶ ἀπὸ τῶν ἀρχαιοτάτων Ῥωμαίων καὶ τοῦ νόμου τὴν τοῦ ἰδίου θέματος ἐξουσίαν ὁ στρατηγὸς ἐκέκτητο, κρίνων τοὺς ἐγκαλοῦντας ἐπὶ στρατιωτικοῖς πράγμασι, καὶ διοικῶν τὰ ἐν τῷ θέματι ἀνακύπτοντα, ἔχων συνεργὸν τὸν κριτὴν καὶ παρ᾽ αὐτοῦ συνεργούμενος· συνεργῶν δὲ καὶ τῷ πρωτονοταρίῳ καὶ τοῖς ἄλλοις τοῖς τὰς τοῦ δημοσίου δουC λείας ἐγκεχειρισμένοις. εἶχε δὲ καὶ ὁ τουρμάρχης τῆς ἰδίας αὐτοῦ τούρμας παρὰ τοῦ νόμου καὶ τῆς βασιλικῆς προστάξεως ἐπ᾽ ἐξουσίας τὰς κρίσεις, κατὰ τοὺς ἐπικρατήσαντας τύπους καὶ τὰ Fol. 400 v. τούτων προνόμια. εἰ μὲν οὖν τὴν πάλαι κατάστασιν ὁ τῶν ἁγίων βασιλέων λάβῃ στρατὸς, καὶ τὰ λυποῦντα καὶ εἰς πενίαν αὐτοὺς ἄγοντα πόῤῥω γένωνται τούτων· μεγάλην λήψονται προθυμίαν, καὶ χαρὰν, καὶ ἀγαλλίασιν· καὶ γενναιότεροι καὶ εὐτολμώτεροι ἔσονται, ἀκαταγώνιστοί τε καὶ ἀκαταμάχητοι τοῖς πολεμίοις ὀφθή-

Dux olim iudex in causis militaribus.

nullam reipublicae utilitatem afferant, nisi quod exspolient solum et conterant egentes, eque iniuriis ac sanguine pauperum plurimo grande auri pondus redigant. Nec magis oportet, ut a iudicibus provincialibus contumelia afficiantur, servorumque instar trahantur, pulsentur, in vincula et boias (o rem odiosam) coniiciantur vindices et, post Deum, servatores Christianorum, pro sacris Imperatoribus prope dicam quotidie occumbentes: ipsa lege iubente, ut praefectus in suas quisque copias imperium habeat, easque iudicet. Et cuinam milites provinciales proprii sunt, nisi duci soli, quem divinus princeps ea in provincia constituit? Quamobrem etiam ab antiquissimis Romanis auctoritas duci in sua provincia lege erat data, ut actionem intendentes in causis militaribus iudicaret, natasque in provincia lites administraret, simul assidente et adiuvante iudice: utque ipse et protonotario et reliquis, qui magistratus civiles haberent, operam tribueret. Item turmarcha in causis suae turmae ex lege edictoque principali iudicium exercebat, secundum formulas tunc usitatas, atque praerogativas illorum. Quod si reponitur in pristinam conditionem divinorum principum exercitus, quaeque in luctum egestatemque detrudunt milites, procul ab illis removentur: miram capient alacritatem, hilaritatem, laetitiam: strenuiores et audaciores erunt: inexpugnabiles et invicti adversariis existent. Quibus

σονται. καὶ τούτων οὕτως γινομένων, οὐ μόνον τὰς ἰδίας οἱ ἅγιοι ἡμῶν βασιλεῖς ἐκδικήσουσι χώρας, ἀλλὰ καὶ ἑτέρας πλείστας τῶν πολεμίων καθυποτάξουσιν. D

**ΚΕΦ. κ'. Περὶ τῶν ἐγχρονιζόντων πολεμίων κατὰ τῆς χώρας ἡμῶν, ἵνα ὁ ἡμέτερος στρατὸς κατὰ τῆς χώρας αὐτῶν ἐπέλθῃ.**

Τῶν πολεμίων μετὰ μεγάλης καὶ βαρείας δυνάμεως τὰς χώρας ἡμῶν περιπολούντων, ἐκτριβόντων τε, καὶ ἀφανιζόντων, P. 156 καὶ πολιορκίας κάστρων διαμελετώντων· φυλαττομένων δὲ, τοῦ μὴ παρὰ τῶν Ῥωμαϊκῶν στρατευμάτων ἐνεδρευθῆναι, ἀλλὰ μᾶλλον αὐτοὺς ἐνεδρεῦσαι μηχανωμένων· εἰ μὴ ἀξιόλογος Ῥωμαϊκὴ δύναμις εἰς ἀντιπαράταξιν τούτων ἐστὶ, δυναμένη τούτους καταγωνίσασθαι· τοῦτο δεῖ σε, ὦ στρατηγὲ, διαπράξασθαι, ὅπερ καὶ ἐν τοῖς ἄνω χρόνοις γέγονε, καθὼς ἡ συντεθεῖσα στρατηγικὴ βίβλος παρὰ τοῦ ἀοιδίμου καὶ σοφωτάτου βασιλέως Λέοντος διαλαμβάνει. ᾗ καὶ οἱ ἐντυχόντες σαφῶς τὰ περὶ τῶν λεχθησομένων ἐπίστανται. τὸ γὰρ κατ' ἐκεῖνο καιροῦ ὁ τῶν Κιλίκων B ἅπας λαὸς μετὰ βαρείας δυνάμεως κατὰ τοῦ θέματος τῶν Ἀνατολικῶν ἐξελθὼν, καὶ τὸ κάστρον Μισθείας σφοδρῶς πολιορκῶν, τῷ τηνικαῦτα ἀρχηγῷ τοῦ στρατοῦ ὁ βασιλεύων προστέταχε, μετὰ τῶν θεμάτων καὶ ταγμάτων κατὰ τῆς τῶν Κιλίκων χώρας ἐπι- Fol. 401 r. στρατεῦσαι· δύο δὲ τῶν στρατηγῶν, τοῦ τε Ἀνατολικοῦ καὶ τοῦ Ὀψικίου, ὑπολείπεσθαι, τοῦ πρὸς ἐκδίκησιν, ὡς οἷόν τε, τοῦ

5. περιπολούντων. Fort. πυρπολούντων. 13. διαλαμβάνει. Vid. Leonis Tactic. inter Opp. Meurs. edit. Lami, VI. 775. B. et Constantini Tact. ibid. 1375. C.

ita constitutis, sancti Imperatores nostri non modo suas provincias tuebuntur, verum etiam alias plurimas, quae hostibus obtemperant, sibi subiicient.

**Cap. XX. De adversariis, si diutius in regione nostra morantur, ut exercitus noster in illorum fines transeat.**

Quod si hostes cum magno gravique exercitu provincias obeant, vexent, exinaniant nostras, obsessiones oppidorum facere in animo habeant, caveantque praeterea, ne ab exercitu Romano insidiis petantur, ipsique potius ad faciendas illi insidias intenti sint: si non idoneae copiae ad castra contra facienda suppetant, quae pellere eos possint: illud te oportet, o dux, exsequi, quod idem superiore memoria factum est, sicut liber demonstrat, quem de ducis officio Leo, celebratae memoriae sapientiaeque princeps, confecit. Quem qui legerint, praeclare quae dicturi sumus intelligent. Illo enim tempore, cum tota Cilicum gens maximis copiis efferbuisset in provinciam Orientalem, castellumque Mistheae summa vi oppugnaret, ei qui tunc exercitui praeerat mandavit Imperator, ut cum laterculis numerisque in Cilicum fines se inferret: duos autem duces, Anatolici et Opsicii, post se relinqueret, qui ad servandum pro facultate castellum re-

τε κάστρου καὶ τῆς λοιπῆς χώρας τοῖς πολεμίοις ἀντικαθίστασθαι. ὁ μέντοι τῶν στρατευμάτων δημαγωγὸς (ἦν δὲ τότε Νικηφόρος ὁ ἐπίκλην Φωκᾶς), διὰ τῆς ὁδοῦ τῆς τοῦ Μαυριανοῦ λεγομένης κα- C τὰ τῆς χώρας Ἀδάνης τὴν ἐπέλευσιν ποιησάμενος, λείαν ὅτι πλείστην ἠλάσατο. τούτῳ πρὸς συνάντησιν λαὸς ὁ τῆς Ἀδάνης ἐξῆλθε, καὶ ὡς ἀπὸ μιλίων δύο τῆς πόλεως αὐτῶν ἀντιταξάμενοι, ἅμα τῷ συμπεσεῖν ἀλλήλοις νῶτα μεταβαλόντες οἱ τοῦ Ἰσμαὴλ ἀκόσμῳ φυγῇ καὶ σποράδην εὐθὺ τῆς πόλεως ὥρμησαν. ὁ δέ γε τῶν Ῥωμαϊκῶν στρατευμάτων ἡγούμενος ὅσους τῶν Ἰσμαηλιτῶν ἔνδον πυλῶν γενέσθαι μὴ δυνηθέντας εὗρε, τοὺς μὲν μαχαίρᾳ συνέκοψε, τοὺς δὲ πρὸς δουλείαν ἠγάγετο. τοῦ δὲ ἄστεος ἐγγύθι στρατοπεδευσάμενος, ἀμπελώνων καὶ δένδρων τὰ ἔγκαρπα ἅπαντα κατατεμὼν, τό, τε πέριξ τῆς πόλεως λαμπρόν τε καὶ εὔκο- D σμον ἀπημαύρωσε. τῇ δὲ ὑστεραίᾳ ἄχρι θαλάσσης ἐπιδραμὼν ὁ λαὸς αὐτοῦ, αἰχμαλωσίαν ὅτι πλείστην καὶ κτήνη πάμπολλα ἀναλαβόμενος, καὶ δι' ὅλης τῆς ἡμέρας ὁδοιπορήσας, ἐν τῷ Κύδνῳ ποταμῷ, ὃς Ἱέραξ ἐγχωρίως κέκληται, ἔξωθεν τῆς γεφύρας, ἐν ᾗ ἡ ὁδὸς πρὸς Ἄδανα φέρει, ηὐλίσατο. τῇ δὲ ἐπιούσῃ ἀπάρας ἐκεῖθεν, τὴν ἰδίαν καταλήψεσθαι ἐπορεύετο. τὴν τῶν Ῥωμαίων τοίνυν οἱ τὴν Μίσθειαν περικαθήμενοι πολέμιοι κατὰ τῆς ἑαυτῶν χώρας ἐπίθεσιν ἀκουτισθέντες, τὴν πολιορκίαν λύσαντες τάχει πολλῷ πρὸς ἐκδίκησιν τῆς ἰδίας χώρας ὑπέστρεψαν. ἀλλ' ἀπρακτήσαντες τῶν ἀμφοτέρων διήμαρτον. ὁ γὰρ τῶν Ῥωμαϊκῶν στρατευμάτων ἡγούμενος μετὰ πολλῶν σκύλων τε καὶ λαφύρων καὶ ἀνδραπόδων διὰ τῆς ὁδοῦ τοῦ Καρυδίου λεγομένης τὰ Ῥω-

Ager Tarsensis vastatus.

Fol. 401 v.

P. 157

liquamque regionem hostibus obsisterent. Ita summus copiarum nostrarum dux (is erat tunc Nicephorus cognomento Phocas), per viam quae Mauriani dicitur in agrum Adanensem facta impressione, praedas ingentes cepit. Cui Adanenses obviam egressi, ad duo millia passuum ab oppido instructa acie, simul atque concurrerunt, terga vertentes Ismaëlitae effusa fuga disiecti recta ad oppidum contenderunt. Quorum quotquot Romanorum exercituum dux deprehendit, qui intra portas se coniicere non potuissent, eorum partim in hostium numero habuit, partim in servitutem abduxit. Castris dein propter oppidum positis, exciso omni vinearum et arborum foetu, nitorem locorum circa oppidum amoenitatemque delevit. Postridie eius diei ad mare usque pervadens exercitus, captivos quam multos nactus pecorumque multitudinem, nullam partem diei itinere intermisso, ad Cydnum flumen, quod Hierax ab accolis vocatur, ultra pontem, per quem iter Adanam versus est, consedit. Inde profectus postridie ad suos fines recipere se coepit. Hostes Mistheam circumsidentes, cum de Romanorum in suam regionem impressione audissent, obsidione soluta magnaque celeritate adhibita ad suum agrum tuendum reverterunt. Sed inani labore suscepto utraque spe frustrati sunt. Nam dux exercituum Romanorum cum spoliis, praedis, mancipiis permultis, per viam, quae Carydii

μαίων ἤδη κατέλαβε. πρὸς τούτῳ δὲ καὶ οἱ στρατηγήσαντες τῶν Ἀνατολικῶν καὶ Καππαδοκίας ἐν τοῖς ἄνω χρόνοις, τῶν Ταρσιτῶν κατὰ τῆς Ῥωμαϊκῆς χώρας τὴν ἐξέλευσιν ποιουμένων, δι' ἄλλης ὁδοῦ ἐν ταῖς χώραις αὐτῶν εἰσερχόμενοι, ποτὲ μὲν αὐτοὶ ἐκεῖνοι, ποτὲ δέ τινας τοῦ λαοῦ αὐτῶν ἀποστέλλοντες, κατὰ τὸ ἐγχωροῦν τούτους κατετραυμάτιζον. ὁ δέ γε τὴν ἡγεμονίαν τῆς B Λυκανδοῦ καὶ τῶν ἐκεῖσε ἀκριτικῶν θεμάτων ἐγκεχωρισμένος ἐν τοῖς αὐτοῖς χρόνοις, ὁσάκις ἂν Ἀλὴμ ὁ υἱὸς τοῦ Χαμβδᾶ κατὰ Alim Chambdani F. Ῥωμανίας τὴν ἐξέλευσιν ἐποιήσατο, ἢ ἐν τῇ ἰδίᾳ χώρᾳ χρείας ἀναγκαίας αὐτὸν κατεπειγούσης μετέβη, κατὰ τῆς χώρας τοῦ Χάλεπε καὶ τῆς Ἀντιοχείας ἐπιτιθέμενος, μεγάλην ἐν αὐτοῖς βλάβην εἰργάζετο· καὶ τοὺς συγγενεῖς αὐτοῦ, καὶ ἀρχηγοὺς τῶν φωσσάτων, μεγάλους καὶ περιφανεῖς, δορυαλώτους εἷλε, καὶ τοὺς τούτων μαχίμους ἄνδρας, καὶ πλεῖστα φρούρια. τὸ αὐτὸ δὲ καὶ ἐν τῇ τῶν Κιλίκων χώρᾳ διεπράττετο, ὡς τῇ Λυκανδῷ συνορούσῃ. καὶ αὐτοὺς τοίνυν, ὦ στρατηγέ, ὅτε μετ' ἐπιτη- C δεύσεως καὶ ἐνέδρας τραυματίζειν τοὺς πολεμίους ἀπορήσεις, διὰ τὸ ἑαυτοὺς ἐπιμελῶς ἀσφαλίζεσθαι καὶ παραφυλάττειν· οὔτ' αὖ Fol. 402 r. πάλιν ἀξιόλογον ἔχεις δύναμιν, πρὸς τὸ φανερῶς αὐτοῖς ἀντιμάχεσθαι· τοῦτο δεῖ σε διαπράττειν· καὶ εἴτε αὐτὸν σὲ κατὰ τῆς χώρας τῶν πολεμίων ἐπείγεσθαι, καταλιμπάνοντα ἄνδρα τῶν ἄλλων στρατηγῶν ἀξιολογώτερον, μετὰ καὶ στρατεύματος τοῦ πρὸς παραδρομὴν καὶ πρόνοιαν τῶν θεμάτων ἐξικανοῦντος· εἴτε, σοῦ

7. ἐγκεχωρισμένος. Fort. ἐγκεχειρισμένος. 15. ὡς — συνορούσῃ] ὥστε νικᾷν αὐτῷ συνορῶσαν codd.

vocatur, ad Romanos se fines recepit. Praeter haec Anatolicorum quoque Cappadociaeque duces superiore memoria, quando Tarsenses in agrum Romanum impressionem fecerant, per aliam viam in illorum regionem ingressi, modo per se ipsi, modo per quosdam suorum eo missos, pro facultate illos vexaverunt. Eadem tempestate is, cui Lycandi erat provinciarumque limitanearum, quae ibi sunt, commissa cura, quotiescunque Alim Chambdani filius vel in Romanos fines irruptionem faciebat, vel in sua ipse regione, causa necessaria urgente, castra mutabat, Chalybonensem et Antiochinum ingressus agrum, magnum partibus illis detrimentum afferebat: in potestatemque redigebat suam Alimi propinquos, castris praefectos magnos ac spectabiles homines, eorumque milites, viros fortes, et castella numero plurima. Quod idem in Ciliciensi fiebat tractu, quippe qui Lycando sit finitimus. Quapropter, o dux, siquando industria insidiisque tuis male habere non potes hostes, quod ipsi se diligenter communiant ac tueantur: neque magis idoneas habes copias, ut aperto Marte decertare possis: id quod diximus facere te oportet: et vel te ipsum in adversariorum limites inferre, relicto praestantissimo ex praefectis tuis, cum manu quae ad insequendos hostes tuendasque provincias sit satis: vel, si tu ipse hostes se-

τὴν παραδρομὴν ποιοῦντος, τὸν κρείττονα τῶν στρατηγῶν, καὶ D ἐπ' ἀνδρείᾳ καὶ πολυπειρίᾳ ὀνομαστὸν καὶ ἐπαινούμενον, μετὰ ἱππικῆς καὶ πεζικῆς ἀξιολόγου δυνάμεως κατὰ τῆς τῶν πολεμίων ἀποστέλλειν χώρας, καὶ χρονίζειν ἐν αὐτῇ, καὶ πυρπολεῖν, καὶ ἀφανίζειν, καὶ κάστρα πολιορκεῖν· ἵνα τοῦτο ἀκούοντες οἱ πολέμιοι, καὶ μὴ βουλομένου τοῦ ἀρχηγοῦ αὐτῶν, ἀναγκάσωσιν αὐτὸν ἐπαναζεῦξαι πρὸς τὴν τῆς ἰδίας χώρας ἐκδίκησιν. ὁπόταν δὲ τὰς χώρας ἡμῶν καλῶς ἐκσπηλεύσῃς, καὶ φυγαδεύσῃς καὶ τὸν ἐν αὐτοῖς οἰκοῦντα λαὸν καὶ τὰ τούτων θρέμματα ἐν ὄρεσιν ὑψηλοῖς καὶ δυσβάτοις, καὶ βουληθῶσιν οἱ πολέμιοι ψηλαφῆσαι καὶ ἀνε- P. 158 ρευνήσασθαι τὰ τοιαῦτα ὄρη, κἀκεῖθεν τούτους ἀνδραποδίσασθαι, καὶ πανστρατὶ πλησιάσαι τοῖς τοιούτοις τόποις θελήσωσι, καὶ τὰς σκηνὰς ἐκεῖσε πήξασθαι· ὀφείλεις καὶ αὐτὸς ἐν τοῖς μέρεσιν ἐκείνοις πλησίον γενέσθαι, εἰς ἐκδίκησιν τῶν οἰκείων. καὶ εἴγε τὸν χῶρον θεάσῃ, ἐν ᾧ οἱ πολέμιοι αὐλίζονται, ὄρος ἔχοντα ἢ τόπον ὑψηλὸν καὶ ἐπιτήδειον πρὸς τὸ νυκτὸς κατ' αὐτῶν Fol. 402 v. ἐπιθέσθαι, τοῦτο μελετήσεις. καὶ διασκοπήσας καλῶς τὴν τοῦ τόπου θέσιν, καὶ βοήθειαν ἐκεῖθεν ἔχων, τὸν κατ' αὐτῶν παρασκευάσῃς πόλεμον νυκτὸς, μετὰ πεζικῆς δυνάμεως καὶ ἱππέων, B καθὼς περὶ νυκτοπολέμου κατωτέρω εἴρηται, καὶ μεγάλως αὐτοὺς τραυματίσεις καὶ ἐκθροήσεις, καὶ παρασκευάσεις ἐκεῖθεν ὑποχωρῆσαι. καρτερούντων δὲ ἔτι ἐν ἐκείνῳ τῷ χώρῳ, καλῶς ἑαυτοὺς ἀσφαλιζόμενοι καὶ παραφυλάττοντες, καὶ βουλομένων ἀνερευνῆσαι τὰ ὄρη, ἐν οἷς τὰ καταφύγια τῶν χωριτῶν τυγχάνει,

19. καὶ] σὺν codd.

queris, optimum ex praefectis, qui ob virtutem usumque in re militari nomen sit et laudem nactus, cum idonea equitum militumque copia in regionem adversariorum immittere, qui eam ibi commorans incendiis populationibusque vexet, oppidaque obsideat: ut hac re audita hostes ducem suum vel invitum ad patriam tuendam signa referre cogant. Quod si agros nostros diligenter exinanieris, incolarumque turbam atque pecora in altos asperosque montes compuleris; hostes autem velint perquirere ea iuga ac scrutari, hominesque inde in servitutem abducere, ideoque omnibus cum copiis accedere ad eiusmodi loca, et castra ibi ponere cogitent: debes tu quoque appropinquare locis illis, ad opem tuis ferendam. Ubi si animadverteris, locum, in quo tendant adversarii, montem habere aut crepidinem editam, aptamque, ut inde noctu aggredi eos possis, ad hoc mentem convertas. Atque, perspecta bene natura loci, illa adiutus cum pedestribus equestribusque copiis praelium instituas adversus illos noctu, quemadmodum in capite de dimicatione nocturna infra demonstrabitur. Ita vehementer illos vexabis et perterrebis, efficiesque ut inde recedant. Quod si nihilominus permanent ibidem, diligenterque sese custodiunt ac tuentur, voluntque scrutari montes, in quibus receptacula rusticae plebis sunt, de-

δέον φυλαχθῆναι καὶ προκατασχεθῆναι παρὰ σοῦ τὰς εἰσόδους διά τε ἀκοντιστῶν καὶ ψιλῶν. καὶ τούτων καλῶς φυλαττομένων, ἐν οἷς ἡ καταφυγὴ τῶν γεωργῶν σὺν τῶν φαμιλιῶν καὶ τῶν τέκνων αὐτῶν γέγονεν, εἰ βουληθῶσι διὰ τῶν στενωπῶν καὶ δυσβάτων ἐκείνων ὁδῶν εἰσελθεῖν, ἡττηθήσονται· καὶ μάλιστα πεζικῆς [δυνάμεως αὐτοῖς ἐπιθεμένης. εἰ δ᾽ αὐτοὶ μετὰ πεζικῆς] C βουληθῶσιν ἐπελθεῖν, καὶ τὰ ὄρη διερευνήσασθαι, ἐν ἐνδοτέροις καὶ ὀχυρωτέροις καὶ ἀνεπιβουλεύτοις τόποις εἰσαγαγεῖν τοὺς τῶν χωρίων οἰκήτορας ἐπείχθητι· σοῦ μετὰ παντὸς τοῦ λαοῦ τὰς εἰσαγούσας κατ᾽ αὐτῶν ὁδοὺς δηλαδὴ καταλαμβάνοντός τε καὶ ἀσφαλῶς διαφυλάττοντος.

### ΚΕΦ. κα΄. Περὶ πολιορκίας κάστρου.

Πρὸς πολιορκίαν δὲ κάστρου κατανοῶν εὐτρεπιζομένους τοὺς πολεμίους, δέον καὶ σέ, ὦ στρατηγέ, ὅσα πολιορκεῖσθαι δυνατὸν (εἰσὶ γὰρ πολλὰ κάστρα μὴ δεδιότα πολιορκίαν), ἐν τοῖς τοιούτοις πρὸ τῆς τῶν ἐχθρῶν ἐξελεύσεως παρασκευάσαι τὸν ἐν αὐ- Fol. 403 r. D τοῖς καταφεύγοντα λαὸν μηνῶν τεσσάρων τροφὰς καθένα ἕκαστον, εἰ δυνατὸν καὶ πλειόνων, καθ᾽ ὅσον συνορᾷς ἔσεσθαι τὴν πολιορκίαν, ἀποτίθεσθαι. καὶ τῶν ἐν ταῖς κιστέρναις ὑδάτων ἐπιμελεῖσθαι, καὶ τῶν ἄλλων πάντων, ὅσα πολιορκουμένους ἐκδικεῖν καὶ βοηθεῖν δύνανται. ταῦτα γάρ, διὰ τὸ πλῆθος, τῇ παρούσῃ γραφῇ ἐκθεῖναι κατὰ μέρος ἐάσομεν. περὶ γὰρ τοιούτων καὶ ἑτέρων πολιορκητικῶν μηχανημάτων, καὶ τοῦ, πῶς χρὴ τοὺς

3. φαμιλιῶν. Sic codd. 6. Uncis inclusa, quae sunt in codd. omnib. praetermissa, e coniectura supplevi.

**bent per iaculatores ac velites observari a te aditus, et praeoccupari. His recte custoditis, qua refugium rusticulis familiisque eorum ac liberis patuit, si hostes per fauces viasque arduas introrumpere conantur, fundentur, maxime peditatu eos invadente. Sin vero cum peditatu conantur eniti, montesque perscrutari, tu ad interiora magisque munita et ab insidiis tuta loca agrestem plebem transducere properato: ipse cum tuis copiis omnibus ducentes eo vias occupa, et diligenter custodi.**

**Cap. XXI. De obsidione oppidi.**

**Ubi intellexeris, ad obsidendum oppidum se parare adversarios, oportet te, o dux, quae loca oppugnationi patent (sunt enim oppida multa quae impugnationem non timeant), in his instituere, ut ante hostium adventum unusquisque ex plebe eo confugiente cibaria in menses quatuor, vel etiam in plures, si fieri potest, quamdiu aestimas obsidionem fore, deponat. Item aquarum in cisternis curam habere, caeterarumque rerum omnium, quotquot obsessis tutelae atque praesidio esse possunt. Tametsi ea, quod permulta sunt, particulatim exponere hac scriptione omittemus. Nam de iis, aliisque oppugnandi commentis, deque ratione qua obsessi adorientibus re-**

ἔνδον τοῖς ἔξωθεν ἀντιμάχεσθαι, ἀκριβῶς πρὸ ἡμῶν καὶ λελογισμένως οἱ τὰ τακτικὰ καὶ στρατηγικὰ ἀναγραψάμενοι ἐξέθεντο. (Libri obsidionales. P. 159) ἡμεῖς δὲ περὶ παραδρομῆς καὶ κατασχέσεως κλεισουρῶν προσταχθέντες εἰπεῖν, τὰ ταύτῃ συντελοῦντα καὶ ἐφαρμόζοντα κατὰ τὸ ἐνὸν ἐκθεῖναι κατεπειγόμεθα. τῶν πολεμίων τοίνυν τὸ κάστρον περικαθισάντων, καὶ πρὸς πολιορκίαν χωρούντων, εἰ μέν, ὡς ἔθος ἐστὶ τοῖς βουλομένοις στενοχωρεῖν τοὺς πολιορκουμένους, ἀπληκεύσουσι δηλονότι τοῦ κάστρου κυκλόθεν, πρὸς τὸ μὴ δύνασθαί τινας τῶν ἡμετέρων μήτε εἰσέρχεσθαι μήτε ἐξέρχεσθαι· (Oppidorum limitaneorum Orientis situs.) ἐπεὶ ἐν ὀχυροῖς τόποις καὶ δυσβάτοις σχεδὸν τὰ πλεῖστα ἡμῶν ἵδρυνται κάστρα· εὐχερῶς τούτοις οὕτως ἀπληκεύσουσι, χάρακος καὶ ἀσφαλείας ἄνευ, ἰσχύσεις, ὦ στρατηγέ, καθ' ἓν μέρος νυκτὸς B μετὰ πεζικοῦ στρατεύματος ἐπιθέσθαι· καὶ μετὰ συνθήματος ὁμοῦ καὶ τοὺς ἔνδον ἐξελθεῖν παρασκευάσεις ἐν αὐτῇ τῇ ὥρᾳ, καὶ συνάψαι καὶ αὐτούς, εἰ δυνατόν, πόλεμον. καὶ τὴν (Fol. 403 v.) ἀπὸ τοῦ τόπου ἔχων βοήθειαν τούτους καταγωνίσῃ. ἔργον δὲ τοῦτο προνοίας Θεοῦ. εἰ δὲ διὰ τὴν τοῦ χώρου δυσχέρειαν καὶ σκληρότητα οὐ θαῤῥήσουσιν οὕτως κυκλόθεν καὶ διεσπαρμένως ἀπληκεῦσαι, ἀλλ' ἐκ δύο μερῶν ἢ ἐξ ἑνὸς ἅπας ὁ λαὸς αὐτῶν στρατοπεδεύσει, δέον πρότερον πᾶσαν τροφὴν ἀνθρώπων τε καὶ ἀλόγων πυρπολῆσαι καὶ τελείως ἐξαφανίσαι, καὶ μηδὲν εἰς χρείαν ἀλόγων ἢ ἀνθρώπων πλησίον τοῦ κάστρου ἢ C πόῤῥω καταλιπεῖν ἐν τοῖς χωρίοις. εἰ δὲ καὶ ξύλον ἐπιλείπει, ἐπὶ τοῦ τόπου ὄρους μὴ ὄντος, καὶ αὐτὰ τὰ στέγη τῶν οἰκημάτων

8. κυκλόθεν] κύκλωθεν cod.

sistant, ante nos qui de re militari ducisque officio scripserunt, accurate et docte exposuerunt. Nos contra de velitatione et occupatione claustrorum dicere iussi, quae huic instituto expediant propriaque sint, explicare properamus. Hostibus oppidum circumsidentibus oppugnationemque aggressis, si, ut solent facere qui obsessos coangustare volunt, circa oppidum in orbem consederunt, ne qui ex nostris neque intrandi neque exeundi facultatem habeant: cum sint fere pleraque oppida nostra in locis munitis atque impeditis constituta: facile, o dux, poteris illos, temere sine vallo et custodia tendentes, aliqua parte noctis cum peditatu adoriri; dabisque operam, ut ad signum constitutum obsessi quoque eadem hora erumpant, et ipsi item, si fieri potest, praelium cum adversariis committant. Ita, loci natura insuper adiutus, eos debellabis. Quanquam hoc quidem ex providentia Dei pendet. Si vero ob difficultatem atque asperitatem loci sic dispersim in orbem considere non audent, sed omnes eorum copiae vel bipartito vel uno solo loco tendunt, oportet primo alimenta hominum et equorum omnia comburi penitusque deleri, neque quicquam in vicis vel propius ab oppido vel longius relinqui, quod iumentis hominibusve usui sit. Si ligna deficiunt, neque saltus ea regione subest, etiam ipsa aedi-

*πυρπολῆσαι. εἰ γὰρ καὶ ξύλων ἐν χρείᾳ γένωνται οἱ πολέμιοι, καὶ τροφῶν ἐνδεεῖς ὦσιν, ἀνάγκη τὸν λαὸν αὐτῶν ἐξέρχεσθαι μακρότερον πρὸς συλλογὴν τῶν χρειῶν. σοῦ δὲ ἐμπείρως καὶ στρατηγικῶς διατιθεμένου, δυνήσῃ τούτους μετὰ ἐγκρυμμάτων τραυματίζειν καὶ κατατροποῦσθαι· ὡς ἐκ τούτου, τῇ τῶν τροφῶν ἐνδείᾳ ἀναγκαζόμενοι, τὴν πολιορκίαν λύσουσιν. εἰ δὲ ὁρᾷς αὐτοὺς ἐπικαρτεροῦντας, καὶ τῇ πολιορκίᾳ ἐπιμένοντας, καὶ τοὺς ἔνδον στενοχωρουμένους, δέον καὶ πρὸς νυκτοπολέμους δημοσίως* D *χωρῆσαι, πεζικὸν συναγηοχὼς στράτευμα ἅμα ἱππεῦσιν. ὃ ἁρμοζόντως κατὰ τὴν τοῦ τόπου θέσιν τούτοις συνταξάμενος, τὸν ἐν νυκτὶ πόλεμον παρασκευάσεις γενέσθαι, καθὼς παρακατιὼν περὶ νυκτοπολέμου δηλώσω. καὶ τούτῳ τῷ τρόπῳ καταγωνίσῃ αὐτούς, καὶ ἀναγκάσεις τὴν τοῦ κάστρου πολιορκίαν λιπεῖν. εἰ δέ τις αἰτία τὸν τῆς νυκτὸς πόλεμον διακωλύσῃ, καὶ οἱ ἔνδον πολιορκούμενοι ἐνδεεῖς λαοῦ τοῦ βοηθοῦντός εἰσι, τροφῶν δὲ σπάνιν οὐκ ἔχουσι, δυνήσῃ καὶ ἑτέρων ἀνδρῶν προσθήκην ἐπαγαγεῖν,* Fol. 404 r. *ὥσπερ καὶ τροφῆς, εἴγε ἐνδεεῖς εἶεν, τρόπῳ τοιῷδε. συναγαγὼν* P. 160 *ἅπαν τὸ ὑπὸ σὲ στράτευμα καὶ διχῇ αὐτοὺς διελών, οἱ μὲν ἡμίσεις τούτων ἀναλαβέτωσαν καθεῖς ἀνὰ σίτου μοδίους τέσσαρας εἰς οὓς ἐποχοῦνται ἵππους· παρέχων αὐτοῖς καὶ εὐζώνους ἑτέρους ἱππεῖς, μηδὲν ἐπιφερομένους πλὴν τὰ ὅπλα αὐτῶν, καὶ πρὸς μόνην αὐτῶν φυλακὴν εἶναι. σὺ δὲ μετὰ τοῦ λοιποῦ μαχίμου στρατεύματος ἐν ἑτέρῳ μέρει κατὰ τὴν ὥραν, ἣν οἱ τὸν σῖτον ἐπιφερόμενοι πλησίον τοῦ κάστρου μέλλουσι γενέσθαι, περὶ μέσην νύ-*

4. **διατιθεμένου.** Sic codd.

ficiorum tecta cremanda sunt. Ita hostes, propter difficultatem lignationis, reique frumentariae inopiam, necesse est longius milites emittere ad res necessarias comportandas. Ibi tu, cum perite e ducisque officio rem gesseris, poteris illos collocatis insidiis vexare ac fundere: ut ideo, simulque victus inopia coacti, obsidionem solvant. Ubi illos perseverantius in obsidione permanere, in oppidoque rem esse in angusto vides, debes de conferendis nocte toto Marte signis cogitare, contractis, una cum equitatu, pedestribus copiis. Quas si convenienter naturae loci equitibus interposueris, institue noctu praelium, quemadmodum inferius in capite de dimicatione nocturna demonstrabo. Hoc modo franges illos, cogesque, ut obsidionem oppidi omittant. Si qua tamen obsistit causa, quominus praelium noctu fiat, obsessi autem, quamvis commeatu instructi, praesidii indigent, potes illo modo vel propugnatorum, vel, si annona premuntur, cibariorum supplementum introducere. Omni in unum locum coacto ac bifariam diviso exercitu, suscipiant alterius partis milites singuli in equos quibus vehuntur quaternos modios frumenti. His attribuas alios expeditos equites, nihil ferentes praeter arma, qui duntaxat alteris praesidio sint. Tu vero cum reliquo armato exercitu ex parte diversa eadem hora, qua frumentarii propius ad oppidum accessuri sunt, circa mediam noctem re-

κτα ἀθρόως μετὰ κραυγῆς καὶ σαλπίγγων φάνηθι, ὡς ἤδη πο- B λεμίσων αὐτούς. τῶν δὲ πρὸς τὸν σὸν πόλεμον παρασκευαζομένων, καὶ τὴν ὁρμὴν πρὸς σὲ ποιουμένων, ἄδειαν εὑρόντες οἱ τὸν σῖτον ἐπιφερόμενοι, ἀποκομίσουσί τε αὐτὸν ἐν τῷ κάστρῳ, καὶ ἀσινεῖς πάλιν νοστήσουσι. καὶ διὰ τῆς τοιαύτης μηχανῆς καὶ ἀνδρῶν ἐπιβολὴν καὶ τροφῆς παράσχῃς αὐτοῖς, εἴγε ἀμφοτέρων ἐν χρείᾳ εἰσὶ, καὶ σωτηρίας οἱ πολιορκούμενοι τύχωσιν.

Quomodo perrumpendum in oppidum obsessum.

ΚΕΦ. κβ'. Περὶ διαχωρισμοῦ λαοῦ τῶν ἡμίσει πολεμίων, ἢ καὶ τοῦ τρίτου μέρους.

C Εἰ δὲ μὴ πρὸς πολιορκίαν κάστρου εὐτρεπίζοντο οἱ πολέμιοι, ἀλλὰ μετὰ πολλῆς καὶ σφοδρᾶς δυνάμεως τὰς ἡμετέρας χώρας περινοστοῦσι, χρὴ τὸν στρατηγοῦντα τῶν Ῥωμαϊκῶν δυνάμεων ἐπιμελῶς τοὺς γεωργοὺς ἤτοι τοὺς τῶν χωρίων πολίτας καὶ τὰ αὐτῶν ἅπαντα παρακελεύσασθαί τε καὶ παρασκευάσασθαι, ἐν κάστροις καὶ ὀχυροῖς τόποις διασώσασθαι, τοὺς δὲ τῶν πολεμίων πρὸς Fol. 404 v. λείαν ἐξερχομένους ὡς νουνεχεῖς καὶ ἀγρύπνους τραυματίζειν· ἵνα εἶεν δεδοικότες πόῤῥω τοῦ στρατεύματος αὐτῶν ἐξελαύνειν, καὶ τροφὰς ἐπικομίζεσθαι· κἀντεῦθεν στενοχωρίᾳ τροφῶν συσχεθή- D σονται. πλὴν, ὡς ἔφημεν, πλῆθος λαοῦ ἔχοντες ἑτέραν ἴσως μέθοδον μετελεύσονται. διαχωρίζοντες ἐνίοτε τοὺς ἡμίσεις τοῦ λαοῦ αὐτῶν, ἢ καὶ τὸ τριτημόριον, ἀποστελοῦσι πόῤῥω ἡμέρας ὁδοῦ διάστημα, ἢ καὶ ἐπέκεινα ἀπέχον τοῦ φωσσάτου αὐτῶν ἐν χωρίοις τισὶν, ἐν οἷς ἐλπίζουσι πλείονας δαπάνας ἐφευρεῖν. καὶ ἀνάγκη τού-

19. ἀποστελοῦσι] ἀποτελοῦσι cod.

pente cum clamore tubarumque concentu appare, quasi iamiam praelium commissurus. Ita, dum hostes ad dimicationem adversus te se parant, tibique obviam properant, qui frumentum gestant facultatem nacti id importabunt in oppidum, et incolumes revertentur. Eiusmodi commento et propugnatorum additamentum, et commeatus, si amborum inopia est, subministrabis, salutemque obsessi accipient.

CAP. XXII. De separatione dimidiae vel etiam tertiae partis copiarum hostilium.

Si vero non ad obsidionem oppidi se convertunt hostes, sed cum magno ac valente exercitu regiones pervagantur nostras, debet diligenter copiarum Romanarum dux agricolas, hoc est, vicanos homines, eorumque fortunas omnes mandare et instituere, in oppida munitaque loca uti se subducant, hostiumque qui sint praedandi causa egressi, prudentia vigilantiaque adhibita affligent: ut longius ab exercitu discedere atque commeatum comportare reformident: ideoque re frumentaria anguste utentur. Si autem, ut diximus, magnas habent copias, fortasse aliam rationem inibunt belli. Divisione facta, dimidiam vel etiam tertiam partem exercitus emittent e castris iter unius diei, aut longius, in vicos ubi sperant ampliorem se commeatum inventuros. Hos per biduum aut triduum a castris abes-

τους ἐπὶ δυσὶν ἡμέραις, ἢ καὶ τρισὶν, ἔξω τοῦ φωσσάτου αὐτῶν διάγειν. τοῦτο γοῦν πυθόμενος καὶ νοήσας, ὦ στρατηγὲ, δέον κατ' αὐτῶν ἐνεδρεῦσαι μετὰ λελογισμένης διασκέψεως, καὶ πλησίον αὐτῶν ἐν νυκτὶ γενέσθαι, καὶ τόπον ἐπιτήδειον ἐφευρίσκοντα τὸ ἴδιον στράτευμα ἀποκρύψαι. ἐπεὶ οὖν οὐκ εἰς δύο καὶ τρία χω- P. 161 ρία, ἀλλὰ καὶ εἰς πλείονα ἐρευνήσοντες τροφὰς διασκορπίζονται, εἰκὸς δέ ἐστι καὶ τὸ λεγόμενον φοῦλκον εἰς φυλακὴν αὐτῶν ἵστασθαι· δεῖ τὸ ὑπὸ σὲ στράτευμα διχῇ διελεῖν, ἀσφάλειαν ποιούμενος, μὴ φωραθῆναι ἢ διαγνωσθῆναί σε παρὰ τῶν ἀνερευνώντων πολεμίων τοὺς λόχους, ἵνα μὴ ὑπ' αὐτῶν μᾶλλον ἐνεδρευθῇς· καρτερῆσαι δὲ ἐν τῷ ἐγκρύμματι ἄχρι ἑνδεκάτης ὥρας τῆς Divisio diei in horas XII. ἡμέρας, ἤδη τοῦ ἡλίου πρὸς δύσιν ὄντος. καὶ εἰ μὲν ὑποστρέψειεν, ὡς ἔθος ἐστὶ, τὸ φοῦλκον ἐν οἷς χωρίοις αὐλίζονται οἱ ἑταῖροι αὐτῶν, ἐν τοῖς μήκοθεν χωρίοις ἀποστελεῖς οὓς ἔμπρο- B σθεν διεχώρισας, ὄπισθεν αὐτῶν ἐπακολουθῶν, καὶ ἐκ τοῦ σύνεγγυς αὐτοῖς παρεπόμενος. καὶ ὡς ἂν ἡ τοῦ τόπου θέσις δίδωσι, λάθρα καὶ ἄνευ κραυγῆς ὀξέως πορευόμενος ἀπόκρυψον ἑαυτὸν, Fol. 405 r. ἕως οὗ ἔγγιστα γένῃ τῶν χωρίων. ὅτε δὲ οὐ δυνατόν ἐστιν ἀποκρύπτεσθαι ὑπό του ῥύακος τὸν ὑπὸ σὲ λαὸν, ἀλλ' ἀνάγκη εἰς φανερὸν γενέσθαι· τότε σὺν ἱππασίᾳ νεανικῇ κατὰ τῶν εἰς τὰ χωρία ὄντων πολεμίων ἡ ὁρμὴ παρὰ τῶν ἔμπροσθεν ἀποσταλέντων γενέσθω. καὶ ἀδοκήτως τούτοις ἐπιθέμενοι καὶ ἀναιρήσουσι πολλοὺς, τινὰς δὲ καὶ ζῶντας ἀνδραπόδων λόγῳ κατάσχωσιν. εἰ δὲ καὶ τὸ φοῦλκον τὸ εἰς φυλακὴν αὐτῶν ἔξωθεν τῶν χωρίων C ἔτι ἵσταται, κατ' αὐτοῦ πρῶτον τὴν ὁρμὴν ποιείτωσαν περὶ δυ-

se necesse est. Qua re cognita ac perspecta, debes, o dux, cum prudenti cogitatione insidias illis facere, et exercitum nocte propius admotum loco idoneo, si inveneris, occultare. Frumentatoribus non in duos tresve vicos, sed in plures dilapsis, si probabile est, stationem, quam fulcum vocant, ad tutandos eos praesto esse, oportet tuam manum bipartiri; cura adhibita, ne animadvertare dignoscareve ab hostibus latibula scrutantibus, tuque potius ab illis circumveniare: perstare autem in latibulo usque ad undecimam diei horam, sole iam ad occasum vergente. Tum, quando statio, ut solet fieri, se recipere coeperit ad vicos, in quibus socii eorum consederunt, ad vicos illos remotiores praemitte milites, quos ante selegisti: ipse postea move, ex propinquo subsequens. Ac perinde ut se natura loci dederit, clam, et silentio, et contente ambulans abde te, donec proxime ad vicos accesseris. Aut si facultas nulla est occultandi iuxta rivum manum tuam, neque abesse potest quin in conspectum cadat, tunc equis acriter citatis a praemissis antesignanis in hostes, qui intra vicos sunt, fiat impressio. Quos si de improviso aggrediuntur, obtruncabunt multos, quosdam etiam vivos abstrahent in servitutem. Quod si statio ad tutandos illos disposita etiamtum extra vicos agit, prius in illam circa occasum

σμὰς ἡλίου, ὡς ἔφην, οἱ ἔμπροσθεν ἀποσταλέντες. καὶ σοῦ ὄπισθεν παρεπομένου μετὰ τοὺς προηγουμένους σου, πρὸς πόλεμον συμβαλεῖν συντεταγμένος, καὶ αὐτὸς ὁρμήσεις κατ᾽ αὐτῶν, καὶ καταγωνίσῃ τούτους τῇ τοῦ Χριστοῦ χάριτι. εἰ δέ γε οἱ τῶν πολεμίων ἀρχηγοὶ, οἱ ἐκεῖσε ὄντες, πολλὴν ἔχοντες δύναμιν, συστῆναι δυνηθῶσι, καὶ τὴν ἧτταν ἀνακαλέσασθαι ἀγωνίσωνται, ὅπερ ἀδύνατόν ἐστι, τῆς νυκτὸς ἤδη ἐπιλαμβανομένης οὐδὲν συμ- D βήσεταί σοι τῶν ἐναντίων. οὕτως τοίνυν ποιοῦντός σου, καὶ θαυμάσονται καὶ πτοηθήσονταί σου οἱ πολέμιοι, καὶ οὐκ ἀδεῶς θαῤῥήσουσιν ἐξέρχεσθαι τοῦ φωσσάτου αὐτῶν· κἀντεῦθεν ἀνάγκη τούτους τροφῶν ὑστερημένους πρὸς τὴν ἰδίαν παλινοστῆσαι χώραν.

P. 162 ΚΕΦ. κγ΄. Περὶ τῆς ὑποστροφῆς τῶν πολεμίων, καὶ τῆς κατασχέσεως κλεισούρας.

Ὑποστρεφόντων δὲ τῶν πολεμίων καὶ τὴν ἰδίαν ἐπειγομένων καταλήψεσθαι, δέον τὰς πεζικὰς δυνάμεις πρὸς τὰς κλεισούρας Fol. 405 v. προαποστεῖλαι, καὶ τὰς ὁδοὺς, δι᾽ ἃς μέλλουσι διελθεῖν, κατασχεῖν. δι᾽ οἵας γὰρ ὁδοῦ διελθεῖν βουληθῶσιν, ἀπό τε τῶν ἐν Σελευκείᾳ κλεισουρῶν καὶ τοῦ τῶν Ἀνατολικῶν θέματος, καθὰ B τὰ Ταυρικὰ ὄρη τήν τε Κιλικίαν διορίζουσι, Καππαδοκίαν τε καὶ Λυκανδόν· πρὸς τούτοις δὲ καὶ τὰ παρακείμενα Γερμανίκειάν τε καὶ Ἀδατᾶν, καὶ τὸ Καησοῦν καὶ τοῦ Δαουθᾶ, Μελιτήνην τε, καὶ τὰ Καλούδια· καὶ τὰ πέραθεν τοῦ Εὐφράτου ποταμοῦ διορίζοντα τήν τε τοῦ Χανζῆτι λεγομένην χώραν καὶ τὴν πολεμίαν

Claustra limitanea per Orientem.

1. ὡς ἔφην. Vid. supra 153. C. 19. Ἀδατᾶν. Vid. notas.

solis, quemadmodum demonstravi, praemissa turma impetum faciat. Deinde tu quoque antesignanos tuos a tergo insequens, ut eris ad praelium committendum instructus, invade illos, et Christi gratia eos debellabis. Ac si hostium duces, qui ibi praesunt, quod militibus abundant, ideo confirmare sese possunt, damnumque resarcire conantur suum, tametsi id quidem fieri parum potest, tamen sic quoque nocte occupante nihil adversi eveniet. Ita si egeris, et admirabuntur et formidabunt te hostes, neque impune audebunt ex castris egredi: unde necesse est eos, commeatu destitutos, ad proprios reverti fines.

Cap. XXIII. De discessu hostium, et claustrorum occupatione.

Si se recipiunt hostes, ad suosque fines pervenire properant, oportet te peditatum ad claustra praemittere, et vias, per quas transituri sunt, occupare. Per quam igitur viam iter facere in animo habeant, a claustris Seleucenis iisque in provincia Anatolicorum, qua Tauri iuga Ciliciam, Cappadociam, Lycandum disterminant: ad haec, qua Germaniciae, Adatae, regionibus Caïsun et Dautha, Melitenae, et Caludiis imminent: item qua trans flumen Euphratem agrum Chanziti vocatum et terram hosticam Ro-

ἄχρι Ῥωμανουπόλεως· ἐν ὅλοις τοῖς τοιούτοις θέμασι, δι' οἵας ἂν ὁδοῦ ὑποστρέφοντες διελθεῖν πρὸς τὴν ἰδίαν βουληθῶσιν, ἀδιστάκτως τῇ τοῦ Θεοῦ βοηθείᾳ τὸν κατ' αὐτῶν ἐπείχθητι διαθέσθαι πόλεμον, καὶ τὴν νικῶσαν εὑρήσεις τῇ αὐτοῦ χάρι- C
τι. ἡνίκα δὲ πρὸ τεσσάρων σταθμῶν ἤτοι ἀπλήκτων ἐπιγνῷς τὴν ὁδὸν, δι' ἧς ὥρμησαν οἱ πολέμιοι, σοὶ μὲν τῷ τοῦ παντὸς λαοῦ ἡγεμόνι τάχει πολλῷ ἔμπροσθεν αὐτῶν γενέσθαι προσήκει, καὶ καταλαβεῖν τὰς πεζικὰς δυνάμεις, τὰς ἐν τῇ κλεισούρᾳ ἀποσταλείσας· καταλιπεῖν δὲ τὸν κρείττονα τῶν λοιπῶν στρατηγῶν, πρὸς τὸ παρατρέχειν αὐτοῖς, διὰ τὰ ὄπισθεν κοῦρσα καὶ τὰς ἐκδρομὰς αὐτῶν. ἔχειν δὲ μεθ' ἑαυτοῦ καὶ τὸ λοιπὸν ἱππικὸν στράτευμα, πειθόμενον τῷ λόγῳ αὐτοῦ, καὶ διορίσασθαι αὐτὸ, ὡς ἡνίκα οἱ πολέμιοι ὡς ἀπὸ δύο ἀπλήκτων τῇ κλεισούρᾳ πλησιάσωσι, καὶ αὐτὸν μετὰ παντὸς τοῦ στρατεύματος διελθεῖν, καὶ D
καταλαβεῖν, ἐν ᾧ τόπῳ ὁ κατ' αὐτῶν ἐξαρτύεται πόλεμος. σοῦ δὲ καταλαμβάνοντος ἐν τῇ κλεισούρᾳ καὶ τὰς πεζικὰς τάξεις ἑνουμένου, δέον σπουδάσαι, καὶ ἕτερον μάλιστα πεζικὸν λαὸν ἐπισυνάξαι, ὅσον ἂν δυνηθῇς· παραινέσαι τε αὐτοῖς παῤῥησίᾳ, πρὸς ἀνδρείαν αὐτοὺς ἐπαλείφων καὶ εὐτολμίαν, ἐποτρῦναι δὲ καὶ τὸ Fol. 406 r.
πρόθυμον αὐτῶν, οἷα στρατηγὸς ἄριστος, μελισταγεῖ παραινέσει, „Ἄνδρες," λέγων, „Ῥωμαῖοι, στῶμεν ἀκλινῶς καὶ ἑδραίως· στῶμεν ἀνδρικῶς καὶ γενναίως. δείξωμεν ἐχθροῖς βραχίονα καὶ ἰσχύν· δείξωμεν, ὡς πρὸς κρείσσονας τὴν ὁρμὴν ἔχουσιν, ὡς P. 163
πρὸς τοὺς βάλλειν μᾶλλον ἢ βάλλεσθαι μέλλοντας παρατάττον-

manopolim usque separant: in omnibus his provinciis, quacunque via in reditu iter ad fines suos facere constituerint, ibi sine ulla dubitatione matura dimicationem expedire adversus illos, iuvante Deo, eiusque gratia victoriam reportabis. Ac si longius quam quatuor mansiones sive castra abes, cognostique viam, qua hostes discesserint, convenit, te, totius exercitus ducem, magna celeritate adhibita illos praevertere, et ad peditatum, iam ad claustra praemissum, te conferre: relinquere autem ex caeteris ducibus praestantissimum, qui illos insequatur, ne a tergo latrocinia excursionesque faciant. Is habere debet secum reliquas equestres copias, imperio suo parentes, easque sic ducere, ut, quando adversarii duo circiter castra a claustris aberunt, ipse cum omnibus copiis transeat, in eumque locum se conferat, ubi praelium adversus illos instruitur. Te autem, postquam ad claustra veneris, coacto in unum locum peditatu, operam dare oportet, ut praeterea alteram peditum aciem, quam plurimorum possis, cogas. Hos excitabis verbis fortibus, ad virtutem atque audaciam acues, alacritatem eorum, quod optimi ducis est, melliflua hortatione incendes. Dices: „Commilitones Romani, stemus intrepide et firmiter: stemus viriliter et animo magno. Ostendamus hostibus brachium et vim; ostendamus, quod in fortiores impetum fecerint, quod constiterint adversus illos, qui illaturi potius sint

ται. μὴ γὰρ λίθος φύσις αὐτοῖς, ἢ χαλκὸς, ὡς μὴ τραύματα δέχεσθαι· μήτε ἐκ σιδήρου τὸ σῶμα, ὡς μὴ τῷ κόπῳ ἐκλύεσθαι καὶ ἀποναρκᾷν.“ προσέτι τούτοις ὑποδεικνύων καὶ τὴν τοῦ τόπου δυσχέρειαν, ἐν ᾧ μέλλουσι πρὸς μάχην παρασκευασθῆναι, καὶ ὅσην αὐτοῖς παρέχει βοήθειαν. μετὰ δὲ τὸ καλῶς αὐτοὺς παραθῆξαι καὶ διεγεῖραι, καὶ προθυμοτέρους καὶ εὐτολμωτέρους ἐργάσασθαι, καταστήσεις αὐτοὺς ἐν οἷς τόποις ὀφείλουσι τοῖς B ἐχθροῖς μάχεσθαι. καὶ πρῶτον μὲν τὰ ὑψηλὰ τῶν ὀρέων καταλαβεῖν δέον, καὶ πάσας τὰς ὁδοὺς κρατῆσαι καὶ ἀσφαλίσασθαι. ἐν οἷς δὲ καὶ ἱππεῖς ἐγχωρεῖ σὺν τοῖς πεζοῖς μάχεσθαι, καταστήσεις καὶ αὐτοὺς ἐν ἐπιτηδείοις τόποις. ἐν πάσαις δέ σου ταῖς παρατάξεσιν ἀρχηγοὺς τῶν χρησίμων ἐπιστῆσαί σε δεῖ, καὶ τἄλλα πάντα φυλάξαι καὶ πρᾶξαι, ὅσα ἐν ἀρχῇ τοῦ λόγου περὶ τοῦ, πῶς δεῖ τοῖς πολεμίοις ἐν ταῖς δυσχωρίαις μάχεσθαι, ἐξεθέμεθα. τῶν δὲ πολεμίων πλησίον καταλαμβανόντων, καὶ αἰσθομένων τῆς παρὰ σοῦ γενομένης ἀσφαλείας ἐν τῇ ὁδῷ, καὶ ὡς ἀμήχανον C διελθεῖν αὐτοὺς, εἴπερ παραβολώτερον τοῦτο τολμήσουσι πρᾶξαι, οὐκ εὐτυχῶς αὐτοῖς τὸ βούλευμα παραστήσεται. ἀλλὰ παρὰ τοῦ σοῦ λαοῦ δηούμενοί τε καὶ συμπνιγόμενοι, καὶ ἄκοντες τὰ Fol. 406 v. νῶτα δώσουσι, σπεύδοντες δι᾽ ἑτέρας ὁδοῦ τὴν ἰδίαν καταλήψεσθαι. τούτων δ᾽ οὕτως ὑποστρεφόντων ἀγεννῶς καὶ ἀκόσμως, ὁ λαός σου, τούτους θεώμενος, ὅσης χαρᾶς καὶ θυμηδίας πλησθήσονται, λόγῳ παραστῆσαι τοῦτο ἀδύνατον. τῶν οὖν πολεμίων, ὡς λέλεκται, ὑποστρεφόντων, τότε καταδίωξον ὄπισθεν

14. ἐξεθέμεθα. Vid. supra 122.

ictus quam passuri. Non est ex lapide natura illorum, aut ex aere, ut vulnera accipere non possint: neque ex ferro corpus, ut laboribus non frangatur, neque torpeat." Adhaec monstra illis locorum, ubi ad praelium adornabuntur, difficultatem, et quantam iis opem latura sit. Ita ubi illos probe acuisti atque excitasti, paratiores et audentiores factos constitues in quibus locis debent cum hostibus confligere. Ac primo quidem fastigia montium occupare necesse est, itineraque omnia obsidere ac firmare. Equites peditibus admixti sicubi confligere possunt, hos quoque locis idoneis constitues. Debes denique singulis tuis aciebus duces probos praeficere, caeteraque omnia observare et facere, quae a principio commentarii, in capite de praelio cum hostibus in locis asperis conserendo, exposuimus. Ubi propius accesserint hostes, si de praesidiis tuis in via collocatis, deque difficultate transeundi certiores facti, nihilominus audacter perrumpere audent, parum prospere succedet iis hoc consilium. Quippe contriti et compulsi a tuis copiis vel inviti terga vertent, aliaque via in suos fines pervenire festinabunt. Quos sic ignaviter et indecore revertentes si conspicit tuus exercitus, laetitia atque voluptate complebitur, magis quam verbis dici potest. Tu autem hostes sic, ut demonstratum est, abeuntes insequere a tergo,

αὐτῶν, ἔμπροσθεν ἀποστέλλων ἱππεῖς μετὰ ταχέων ψιλῶν· καὶ αὐτὸς δὲ ὀξύτερον περιπατῶν τοῦ καταλαβεῖν αὐτοὺς ἐπείχθητι. οἱ δὲ ἐχθροὶ διὰ τὸ φεύγειν αὐτούς, τάχει τὰς δυσχωρίας διελθεῖν καὶ τὸν ἐν αὐταῖς διαφυγεῖν πόλεμον, καὶ τὴν ἰδίαν κατα- D λήψεσθαι· ἐπεὶ πλησίον τῆς κλεισούρας γενήσονται, τοῦθ᾽ ὑποπτεύοντες, πρὸς τὸ μὴ πάλιν ἔμπροσθεν αὐτῶν τὰς πεζικὰς τάξεις γενέσθαι, καὶ τὴν ὁδὸν αὐτῶν κατασχεῖν· ἂν ἐν νυκτὶ τὴν ὁδοιπορίαν πειραθῶσι ποιήσασθαι, συντόμως τούτους καταλάβῃς, τῶν ἵππων αὐτῶν ἀτονησάντων ἀπὸ τῆς χρονίας ὁδοιπορίας, καὶ τῶν ἀνδρῶν ἐκλελοιπότων ἐπιτύχῃς, νυκτὸς ὁδοιπορούντων· καὶ εὗρες, στρατηγέ, τὸ ἀεί σοι ἐπιζητούμενον. καταλαμβάνοντός σου δὲ τούτους νυκτός, δέον παραυτίκα πόλεμον συνάψαι εἰς τὸ λεγόμενον σάκα, μετὰ πεζῶν, συνεπακολουθούν- P. 164 Saca. των αὐτοῖς καὶ ἱππέων. ἑτέρους δὲ τῶν ψιλῶν μεθ᾽ ἱππέων ἔνθεν κἀκεῖθεν τῆς ὁδοῦ ἔμπροσθεν γενέσθαι τῶν πολεμίων ἀπόστειλον, καὶ ἐκ πλαγίου καὶ αὐτοὺς πόλεμον προσβαλεῖν πρόσταξον. καὶ οὕτως ποιοῦντός σου, οὐ δυνήσονται ἀντιστῆναι, ἀλλὰ πρὸς φυγὴν ὁρμήσουσι. καὶ εἰ τοῦτο νυκτὸς πράξουσι, καταδίωξον αὐτούς, καὶ τελείῳ τούτους παραδώσεις ἀφανισμῷ.

### ΚΕΦ. κδʹ. Περὶ νυκτοπολέμου.

Εἰ δὲ εἰς ἑτέραν ἔλθωσι βουλήν, κατὰ τὸ δοκοῦν αὐτοῖς, B λυσιτελοῦσαν, καὶ ἡνίκα σε καταλαβόντα αἴσθωνται νυκτὸς ἀπληκεύσωσι, τὰς σκηνὰς πηξάμενοι, τότε νυκτοπόλεμον κατ᾽ Fol. 407 r. αὐτῶν ἐργάσῃ. πλὴν οὕτως σε τὸν κατ᾽ αὐτῶν χρὴ διαθεῖναι πό-

praemissis equitibus cum velitibus expeditis: ipseque celeriter itinere facto assequi illos propera. Adversarii qui fugiunt, ut angustias, vitato in illis certamine, festinanter transmittere, in suosque fines pervenire possint: cum propius ad claustra accesserunt, verentes, ne iterum se praevertat peditatus noster, iterque suum occupet: si conantur noctu viam pergere, sine mora illos assequeris, equis eorum diuturnitate itineris attritis: ipsosque exhaustos per noctemque ambulantes deprehendens, id, o dux, quod semper quaesivisti nactus es. Utque primum eos assecutus es noctu, evestigio oportet signa inferre praesidio quod vocatur saca, idque per pedites, quos subsequatur equitatus. Alios velites cum equitibus praemitte per utrumque latus viae, qui hostibus praecurrant, eosque iube ex transverso impetum facere. Ita si egeris, resistere non poterunt, sed in fugam se coniicient. Quod si noctu faciunt, persequere, et summo exitio illos trades.

### Cap. XXIV. De dimicatione nocturna.

Si vero in aliam cogitationem veniunt, sibi, secundum ipsos, salutarem, et, adventu tuo cognito, sub noctem tabernaculis statutis consident, tunc pugnam nocturnam cum illis committes. Praelium autem instruere

λεμον. σὺ μὲν ἐκ τῶν ὄπισθεν μετὰ πεζικῆς παρατάξεως τὴν
προσβολὴν ποιήσεις. τὰς δὲ λοιπὰς πεζικὰς τάξεις διελεῖν χρὴ εἰς
ἓξ μερίδας, καὶ τρεῖς μὲν κατὰ τὸ δεξιὸν τῶν πολεμίων ἐκ πλαγίου
αὐτῶν, τρεῖς δὲ κατὰ τὸ εὐώνυμον καταστῆσαι, εἴγε εἰς μῆκος ἡ
τοῦ τόπου θέσις τὸ ἑαυτῶν ἄπληκτον καταστῆσαι καταναγκάσῃ,
C ἀπεχούσας ἀλλήλων ὡσεὶ τόξου βολήν, ἢ καὶ μικρὸν ἔλαττον·
μόνην ἀνεῳγμένην καὶ ἀφύλακτον καταλιμπάνουσαι τὴν ὁδόν,
τὴν πρὸς τὰ οἰκεῖα τοὺς πολεμίους διασώζουσαν· ὅπως σφοδρω-
τάτου αὐτοῖς ἐπιτεθέντος τοῦ πολέμου, καὶ τὴν ὁδὸν ἀνεῳγμέ-
νην ἐφευρίσκωσι, καὶ ἀπάτῃ τοῦ διασωθῆναι καὶ τὸν πόλεμον
διαφυγεῖν καὶ τὴν ἰδίαν καταλαβεῖν, ἐπιβῶσι τῶν ἵππων, καὶ
δι' αὐτῆς πρὸς φυγὴν ὁρμήσωσι, μόνην ἕκαστος τὴν ἰδίαν περι-
ποιούμενος σωτηρίαν. εἰ δὲ οὐκ ἐπίμηκες πεποιήκεσαν τὸ ἑαυτῶν
ἄπληκτον, ἀλλ' ἡ τοῦ τόπου θέσις κυκλοτερὲς αὐτὸ ἀπειργά-
σατο, χρή σε τὰς πεζικὰς ἱστάντα παρατάξεις γυρόθεν, παρα-
σκευασθῆναι ταύτας προστάξαι πρὸς πόλεμον· μόνην δέ, ὡς
D ἔφημεν, τὴν ὁδὸν ἄφετον καὶ ἀνεῳγμένην καταλιπεῖν, τὴν πρὸς
τὰ ἴδια τούτων φέρουσαν. μετὰ δὲ τὸ διατάξασθαι τοὺς πεζοὺς
τοῦτον τὸν τρόπον, παραπληκεῦσαι τοῖς πολεμίοις προστάξεις,
καὶ πυρὰ εἰς πλῆθος ἀνάψαι πολλά. ἐν μιᾷ δὲ ἑκάστῃ παρατάξει
τῶν πεζῶν καὶ ἄρχοντα καταστήσεις τῶν χρησίμων καὶ ἀνδρείων·
σὺν αὐτοῖς δὲ ἱππεῖς ἐν μιᾷ ἑκάστῃ παρατάξει, ἐκ τῶν ὄπισθεν
Fol. 407 v. ἱσταμένους, εἴγε καὶ ὁ χῶρος δίδωσιν, ἔχοντας ἀρχηγοὺς ἄνδρας
ἀξιολόγους. πείθεσθαί τε αὐτοῖς προστάξεις καὶ ἅπαντα τὸν
P. 165 λαὸν τῶν πεζικῶν τάξεων. μετὰ δὲ τὸ οὕτως παρασκευασθῆναι,

oportet adversus illos in hunc modum. Tu a tergo cum pedestri acie signa inferes. Reliquos pedestres numeros distribui oportet in partes sex, tresque per obliquum e dextro latere hostium, tres ex sinistro locari, si quidem eos natura loci castra in longitudinem porrigere coëgit: distent autem hae acies inter se quasi sagittae iactum, aut paulo minus, solamque apertam et incustoditam relinquant viam illam, qua ad patriam salutemque adversarii pervenire possint: ut, acerrimo impetu in eos facto, et viam apertam inveniant, et spe falsa inducti, se incolumes pugnam effugere domumque pervenire posse, conscensis equis ea fugae se committant, tantumque suae quisque salutis rationem habeat. Si non in longitudinem porrexerunt castra, sed locorum situs orbiculata ea effecit, oportet te pedestres acies circumcirca collocantem iubere, ut ad pugnam se parent: solum autem, ut docuimus, illud iter liberum et apertum relinquere, quod ad adversariorum fines ducit. Postquam peditatum in hunc modum instruxeris, iube eum non procul ab hostibus considere, ignesque magno numero accendere. Porro in unaquaque pedestri acie praefectum constitues probum et fortem virum: item cum illis equites ad singulas acies, qui a tergo subsint, si per locum licet, cum ducibus idoneis. His obtemperare iubebis omnes milites, etiam pedestrium acierum. His ita administratis, deligi oportet velites

διαχωρίσαι χρὴ τῶν ψιλῶν ἀνδρείους καὶ ταχεῖς τοῖς ποσὶ, καὶ ἔμπροσθεν ἀποστεῖλαι, τοῦ σιγῇ κατελθεῖν, καὶ ἔγγιστα τῶν πολεμίων γενέσθαι, καὶ διορίσασθαι αὐτοῖς, ἵνα πρῶτον μὲν οἱ ἐν τῷ μέσῳ ἱστάμενοι τὴν προσβολὴν ποιήσωνται, εἶθ' οὕτως οἱ ἔμπροσθεν. καὶ εἰ μὲν ἐξ ἀμφοτέρων τῶν μερῶν ἡ τοῦ τόπου θέσις ὑψηλοτέρως φέρει, τὰς πεζικὰς τάξεις κατὰ τῶν πολεμίων * βαλλόμενοι οἱ πολέμιοι τοῖς ἐκ χειρῶν καὶ σφενδονῶν λίθοις καὶ τόξοις ἄνωθεν ἐξ ἑκατέρων, εὐχερῶς καταλυθήσονται. εἰ δὲ μὴ οὕτως ἔχει ἡ τοῦ τόπου θέσις, ἀλλ' ἐξ ἑνὸς μέρους τὸ ὑψηλὸν ὑπέρκειται, καὶ ὡσαύτως ἐκεῖθεν εὐχερέστερον τῶν λίθων καὶ B
τόξων τὰς βολὰς κατ' αὐτῶν πεμπέτωσαν. πλὴν ἐκ τοῦ ἐφομάλου ἐπιμελέστερον ἔχεσθαι δεῖ τῆς μάχης. εἰ δὲ βουληθῶσιν οἱ πολέμιοι ἐπιβῆναι ἵππων, καὶ κατ' αὐτῶν ὁρμῆσαι, οὐδὲν μὲν τοῖς ψιλοῖς δεινὸν ἐργάσονται, τοῦ τόπου βοηθοῦντος αὐτοῖς· ἑαυτοῖς δὲ μᾶλλον μεγάλην προξενήσουσι βλάβην. συγκαταβήτωσαν δὲ πᾶσαι αἱ πεζικαὶ τάξεις ἐξ ἀμφοτέρων τῶν μερῶν, καὶ σαλπισάτωσαν ἅπασαι μετὰ κραυγῆς καὶ ἀλαλαγμοῦ. ἔπειτα καὶ ὁ στρατηγὸς ἐκ τῶν ὄπισθεν ἰσχυρῶς ἀψάτω τοῦ πολέμου. καὶ εἰ ἔτι καρτεροῦσιν οἱ πολέμιοι, καὶ μὴ πρὸς φυγὴν ὁρμήσουσιν, οἱ ταχεῖς ψιλοὶ καὶ οἱ ἔμπροσθεν ἀποσταλέντες παρορμηθήτωσαν C
παρὰ τῶν ἀρχόντων αὐτῶν, ἔνδον εἰς τὰς σκηνὰς χωρῆσαι τῶν πολεμίων. εὐχερὲς γὰρ τοῦτο ἔσται αὐτοῖς ἀπὸ τῆς τοῦ τόπου σκληρότητος. καὶ ἡνίκα ἄρξωνται ἀναλαμβάνειν ἵππους ἢ ἡμιό- Oppugnatio tabernaculorum.

6. φέρει — πολεμίων. Videtur deesse aliquid: nisi vis coniungere τάξεις cum φέρει et κατὰ τ. πολ. 18. ἀψάτω. Fort. ἁψάσθω, vel ἀναψάτω, sequente accus. Vid. tamen 166. D.

fortes et velocissimos, eosque praemitti, ut silentio progressi quam proxime ad hostes accedant, sic edocti, ut primo qui iuxta medium agmen sint, impetum faciant, deinde qui a fronte. Quod si ex utroque latere locus fastigium habet, pedestres acies in hostes... adversarii manualibus et fundalibus saxis, sagittisque utrimque ex locis superioribus appetiti, nullo negotio disiicientur. Si non sic se habet locorum situs, sed ex altera duntaxat parte fastigium imminet, similiter inde facilius saxa et sagittae in illos adiicientur. Sin autem in planitie res geritur, maiori cautione ineunda pugna est. Hostes si volunt conscensis equis in nostros impetum facere, velitibus a loco adiutis incommodum nullum inferent, sed se ipsi potius magno afficient malo. Omnes autem pedestres copiae eodem tempore decurrere utrimque debent, tubisque concinentibus clamorem et barritum tollere. Deinceps dux quoque a tergo acriter praelium committat. Ac si perseverant adversarii neque fugae se commendant, expediti velites et praemissi antesignani ducum hortationibus incitandi sunt, ut usque in tabernacula hostium penetrent. Id facile erit factu, propter salebras loci. Ita ubi occeperint manus iniicere equis, mulis, instrumento hostium, homines-

Fol. 408 r. νους καὶ πράγματα τῶν πολεμίων, καὶ ἀνθρώπους ἀνδραποδίζειν, καὶ ἀρχὴ τοιαύτη γένηται, ὁρμήσουσιν ἅπαντες εἰς τὴν τοιαύτην διαρπαγὴν, καὶ ἀφειδῶς ἔνδον χωρήσουσι τῶν σκηνῶν, ξίφει αὐτοὺς κατακόπτοντες. καὶ τότε πρὸς φυγὴν ὁρμήσουσιν ἅπαντες, ὅσοι μὲν ἰσχύσουσιν ἐπιβῆναι ἵππων, οἱ δὲ καὶ πεζῇ, ὡς ἂν δυνηθῶσιν ὄρεσί τε καὶ φάραγξι κρυβῆναι, καὶ σωτηρίας D τυχεῖν. καὶ εἰ τοιοῦτον τῇ βοηθείᾳ τοῦ Θεοῦ γένηται τὸ τοῦ πολέμου πέρας διὰ πρεσβειῶν τῆς παναχράντου μητρὸς αὐτοῦ καὶ θεοτόκου, δόξαν μὲν οἱ ἅγιοι βασιλεῖς λήψονται, καὶ κράτος ἅπαν τὸ Ῥωμαϊκὸν στράτευμα· μηκέτι τῶν πολεμίων κατὰ πρόσωπον αὐτῶν στῆναι δυναμένων. εἰ δέ γε ὁμαλοῦ ἐπιτύχωσι χώρου τῆς ἡμέρας ἐπιφαινούσης, καὶ εἰς αὐτὸν καταλύσωσι, τὰς σκηνὰς πηξάμενοι, καὶ οὐκ εὐχερῶς ἐν τῷ τοιούτῳ τόπῳ τὸν ἐν νυκτὶ πόλεμον ἁρμόζει γενέσθαι· δεῖ τὸν στρατηγὸν μετὰ πασῶν P. 166 τῶν πεζικῶν τε καὶ ἱππικῶν δυνάμεων ἔμπροσθεν πάλιν γενέσθαι, καὶ τὰ ὑψηλότερα τῶν ὀρῶν κατασχεῖν, καὶ τὴν διάβασιν τῆς ὁδοῦ ὁμοίως ἀσφαλίσασθαι. καὶ ἐπεὶ πᾶσαι, ὡς ἔφημεν, αἱ ὁδοὶ αἱ πρὸς τὴν πολεμίαν εἰσάγουσαι διὰ τῶν ὅλων ὧν ἀπηριθμησάμην θεμάτων καὶ οἰκείοις ὀφθαλμοῖς ἐθεασάμην, δύσβατοι τυγχάνουσιν ἐν ὄρεσι τοῖς διορίζουσι τὰς ἄμφω χώρας, σπεῦδε προκαταλαβεῖν τὴν διάβασιν αὐτῶν, καὶ τὸν κατὰ πρόσωπον αὐτῶν ἀδιστάκτως διατίθει πόλεμον. καὶ χάριτι Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ὑπερισχύσεις αὐτῶν, καὶ τούτους καταβαλὼν τελείῳ παραδώσεις ἀφανισμῷ.

18. ὅλων] ὅπλων codd.

ἀγαλλιάσθω πλῆθος ἀστέρων ἄνω,
χορευέτω δὲ τάξις ἀγγέλων, ὅτι
τὸ δυσπρόσιτον θηρίον κατεσφάγη,
τὸ δεινόμορφον κῆτος ἀντανῃρέθη,
τὸ δυσκάθεκτον τραῦμα γῆς ἀνεστάλη.
κήρυξον αἰθὴρ τοῦτο πᾶσαν εἰς χθόνα,
βόησον, ἀστὴρ ἥλιε, τρέχων ἄνω
τοῖς βαρβάροις νῦν τὴν σφαγὴν τῶν βαρβάρων.
γνώτωσαν ἔθνη, καὶ πόλεις, καὶ χωρία
τὸ τοῦ μεγίστου Ῥωμανοῦ νέον κράτος.
μάθωσιν αὐτοῦ τοὺς ἀκοιμήτους πόνους,
οἵους δι' ἡμᾶς ἔσχεν ὁ στεφηφόρος.
λάβωσιν αὐτοῦ πεῖραν ἐκ τῶν πλησίον,
πρὶν ἢ πρὸς αὐτοὺς ὁ σφαγεὺς ἀναδράμῃ.
τῆς Ἀφρικῆς γῆς φρίξατε ξιφηφόροι·
ταράσσεται γὰρ Ταρσιωτῶν ἡ πόλις.
ἀρὰν παλαιὰν, Ἀράβων φύλη, λάβῃς
δουρὶ κραταιοῦ Ῥωμανοῦ· πλὴν ἐν τάχει
τῶν δελεμιτῶν, βελεβιτῶν τοὺς τόπους
πείσει καλεῖσθαι σὸν βέλος, σκηπτροκράτορ.

V. 7. Fort. τὸ δυσπρόσοιστον. cf. Oedip. Col. 572. 9. στραῦμα, in not. scr. τραῦμα C.

### ACROASIS QUINTA.

Terra omnis Romae, et mare et civitas, montes, valles, stellae, semper fluentium fluminum aquae, ordo Ecclesiae, omnia concorditer gratulamini Despotae. Exsultet multitudo astrorum caelitus, angelorumque ordo tripudiet, quoniam indomita occisa est bellua, terribilis visu sublatus est cetus, repressa est terrae plaga intolerabilis. Clama hoc aether per universam terram, refer, o solis astrum currens desuper, barbaris hanc barbarorum cladem. Noscant nationes, civitates, pagi novam Romani maximi potentiam: discant ipsius curas pervigiles, quas propter nos Imperator habuit. Sumant de eo experimentum ex finitimis antequam ad illos percussor accedat. Africanae terrae formidate milites, conturbatur enim Tarsensium civitas. Maledictionem antiquam, Arabum tribus, accipe ab hasta potentis Romani: ceterum cito ut Delemitarum, Belebitarum loca vocentur efficiet iaculum

*Αἰγυπτίων δὲ, χαῖρε, γῦπες σῷ ξίφει*
*σάρκας καταβρώξουσι τὰς ἀσυστάτους.*
*Χαυδᾶς ὁ χανδὸν γῆν ὅλην λαβεῖν θέλων,*
*χανὼν ἄναυδος συμφορᾷ Κρητῶν μένει.*
*ὦ Χριστὲ Πατρὸς τοῦ πρὸ αἰώνων τέκνον,*
*οἷον παρέσχου σῷ στεφηφόρῳ κλέος.*
*τίς ἂν στενάξῃ τὸν Πολυξένης τάφον;*
*τίς τὴν Φρυγῶν ἅλωσιν; ὦ χορὸς νέων,*
*ὅσοις Ὁμήρου φροντὶς ἡ τῶν σκεμμάτων,*
*μὴ τοῖς λόγοις κλέπτεσθε τοῦ γεροντίου,*
*μὴ τοῖς κτύποις θέλγεσθε τοῦ μυθοπλόκου.*
*ψευδῆ γὰρ ἱστόρησεν, εἰ καὶ πανσόφως,*
*ὁ πηρὸς, ὡς θέλγητρα τοὺς λόγους ἔχων.*
*Κρήτης κροτεῖτε τὴν ἅλωσιν, ἣν χρόνος*
*καθεῖλε δουρὶ τῶν σοφῶν ἀνακτόρων·*
*Κρήτης ἐκείνης τοῦ Διὸς τῆς πατρίδος,*
*Διὸς τυράννου, δαίμονος ψευδωνύμου,*
*ὃς εὗρε τὴν κάμινον ἀλλ' αἰωνίαν,*
*ἀνθ' ὧν ἑαυτὸν ἦν θεὸν στήγας κάτω·*
*ἀνθ' ὧν ἔπλησε γῆν σφαγῆς μιασμάτων·*
*ἀνθ' ὧν ὑπῆρξεν εὑρετὴς παθημάτων.*
*ταύτης ὁ κλεινὸς, ὁ γλυκὺς Ῥώμης κλάδος,*
*ὁ παγγάληνος, ὁ σφαγεὺς τῶν βαρβάρων,*

27. *χαυδᾶς* C. cum cod. *χαβδᾶς* F. 30. *παρέσχου*, in not. *potius παρέχες* (?) C. 33. Fort. *φροντὶς ἦν*. cf. not. cr. in Anth. Pal. p. 509. s. 35. *μυθοπλόη*, in not. *forte μυθοπλάνου* C. *μυθοπλόκου* ex cod. emendavit F. 43. *στήγας*, in not. *lego στέγα* (?). C. *στέξας* F. Scr. *στήσας*, *quod se in terris constituit deum.*

tuum, o sceptrifer. Euge, Aegyptiorum vultures a gladio tuo dilaceratis vescentur carnibus: Chaudas, qui potiri inhiabat tota terra mutus stupescit ob cladem Cretensium. O Christe Patris sempiterne Fili, quantam tribuisti Regi tuo gloriam! quis iam plorabit Polyxenae necem? quis Phrygum captivitatem? o iuvenes, quibus Homeri cordi sunt commenta, ne verbis senis sinatis vos decipi, ne carminibus fabulatoris mulceamini, falsa enim cecinit, sapienter licet, caecus verborum adhibens illecebras. Cretae plaudite excidio, quam denique domuit hasta sapientum Regum; Cretae illius, quae Jovis fuit patria, Jovis tyranni, mendacis daemonis, qui detinetur in igne, eoque aeterno, quoniam se in terris Deum appellari passus est, quoniam implevit mundum iniquis caedibus, quoniam inventor vitiorum exstitit. Hanc inclitum, dulce Romae germen, serenissimus, barba-

ὁ πανσέβαστος καὶ διώκτης Συρίας,
ταύτην καθ᾽ ἡμῶν φλεγμονὰς πυρεκβόλους
πέμπουσαν ἐκράτησεν. ὦ μέγα σθένος,
ὦ δίστομα τρίκογχα, δίστομα ξίφη,
βέλη δὲ τὰ τρίκογχα, πάγχαλκα κράνη,
τὰ τὴν σφαγὴν δράσαντα τῶν μιαιφόνων,
ἢ τοὺς φόνους στήσαντα τοὺς καθημέραν,
οὓς εἶχεν ἡ θάλασσα ληστρικωτέρους.
ὦ πετροπόμπων σφενδονῶν στροφουργίαι,
ἵππων φριμαγμὸς, ὀξύτης ἀκοντίων,
σπάθης τε, καὶ θώρακες, ἀσπίδος τάσις,
ἃ γῆν κατηδάφισε βαρβαρουμένην,
ἃ δεσπότης δέδωκεν ἀντὶ φαρμάκων,
καὶ κόσμον ἐξέσωσε τῆς τυραννίδος.
ὦ ναυστολῆσαν πνεῦμα μυρία σκάφη,
καὶ πομπὸς ὀφθὲν ἀβλαβὴς τοῦ δεσπότου.
θρήνησον ὦ γῆ πᾶσα νῦν τῆς Συρίας,
ἔχουσα τὸν σὸν τῆς βοῆς πρωτοστάτην,
τὸν σὸν πλανήτην, οὐ προφήτην, Μωάμεθ,
οὗ τὸν χιτῶνα μυρίαις αἰσχρουργίαις
πεφυρμένον κρύπτουσιν οἱ δούλης γόνοι·
κρύπτουσιν ὡς ἄσπιλον ἐσπιλωμένον·

49. ταύτην, in mg. ταύτης C. Ad ταύτης v. 46. verbum desideratur. Oratione abrupta poeta pergit verbis: ταύτην ἐκράτησεν. Sed vereor, ne vitium lateat in hoc pronomine, quum Theodosius scripserit: ταύτης ὁ κλεινὸς — διώκτης Συρίας Ἄνην καθ᾽ ἡμῶν φλεγμονὰς πυρεκβόλους πέμπουσαν ἐκράτησεν. 50. ὢ μέγα C. 53. μιαὶ φόνων, in. not. scribo μιαιφόνων C. ut est in cod. teste F. 58. θώρακος C. 62. πνεῦκα, in not. melius πνεῦμα C. sic cod.

rorum domitor, augustissimus, et persequutor Syriae, hanc adversus nos ardores igneos emittentem vicit: o magnam potentiam! o trifidi umbones, gladii ancipites, telaque trifida, et aeratae galeae, quae homicidarum perfecerunt cladem, ac quotidie occiderunt eos, quos habuit mare praedones pessimos! o saxa iaculantium fundarum gyri, equorum hinnitus, telorum acies, gladiique, ac thoraces, lati clypei, quae terram everterunt effectam barbaram, quae Despota dedit pro pharmacis, ut mundum sanaret a tyrannide! o aura gubernans infinitas rates, tutumque comitem te praebens Despotae! Plora modo terra omnis Syriae, habens gemitus tui consortem principem tuum deceptorem, non prophetam, Moameth; cuius vestem infinitis sordibus maculatam occultant filii famulae, maculatam occultant, tam-

ἔχουσιν ὡς ἄχραντον ἐγκεχραμμένον.
ἔδει γὰρ ὄντας ἐκ μιασμάτων ἄγη
καλεῖν ἄχραντον τοὺς ξενοσπόρους ἄγος.
χόρευε λοιπὸν Ἀφρικῶν Σικελία,
εὐαγγελίζου πᾶσι τὴν εὐθυμίαν.
ἐλευθεροῖ σε συντόμως ὁ δεσπότης.
χόρευε γῆ, χόρευε Ῥωμαίων ὅση,
ὡς ηὐτύχησας εἰς ἀνακτόρων στέφη,
ὡς ἐπλάτυνας εἰς τὰ πατρῷα πλάτη,
ὡς ἐκράτησας τῶν πάλους κρατουμένων.
εἴθε προκύψαις τοῦ τάφου, Κωνσταντῖνε,
εἴθε σκοπήσαις, ὡς ἔχει τὰ Συρίας.
ἔγνως ἂν υἱὸν, ὡς Φίλιππος, ἱππότην·
καὶ τοῦτον εἶπες, „ὦ τέκνον, ζήτει κράτος,
οὐκ ἀρκετόν σοι γῆς ὅλης καὶ γὰρ κράτος."
Κρήτης γὰρ οἷος τῶν ὀδυρμάτων στόνος.
οἷος σπαραγμὸς, γυμνὰ Ῥωμαίων ξίφη
ὅταν κατεῖδον ἔνδοθεν πυργωμάτων,
ὅταν κατεῖδον τέκνα μικρὰ μητέρας,
τὰς μὲν βρόχοις ὄπισθεν ἐστρεβλωμένας,
τὰς δὲ πρὸς αἷμα καὶ κόνιν πεφυρμένας,
τὰς δὲ στοιχηδὸν εἰς σφαγὴν προκειμένας.
ἐκεῖ τὰ τέκνα πατέρας, καὶ πατέρες
παῖδας κατησπάζοντο, καὶ κοινῇ ξίφος

71. 72. ἄγη et ἄγος F. ξενοκόρους C. contra cod. fidem. 78. κλάγη, in not. *lego* κελάγη, *expende tamen.* C. κλάτη cod. teste F. 83. ζήσει, mg. ζήτει C. ut cod. — Fort. καὶ τοῦτ' ἂν εἶπες. 85. κρητῆς, in not. *lego* κρητῶν. C. 89. ἐστρεβλυμένας C.

quam sine macula, pollutam, tamquam impollutam habent. Oportebat enim, ut in sordibus instituti, scelera barbaro orti ex genere vocarent immaculata. Iamvero laetare Africanorum Sicilia, annuncia omnibus laetitiam, te cito in libertatem vindicabit Despota. Exsulta, exsulta terra, quae Romanis subiaces, quod felix facta es in corona Regum, quod dilatasti ditiones patrias, quod superasti potentes in praeliis. Utinam, Constantine, e sepulcro surgeres, utinam prospiceres, quomodo se habent res Syriae, nosceres filium, ut Philippus, equitem, eique diceres, „fili, aliud quaere imperium, non enim tibi imperium totius orbis sufficit." Sed Cretae qualis erat gemitus miser! qualis turbatio, nudos Romanorum enses statim ac conspexerunt ex turribus, statim ac parvuli viderunt matres, alias quidem post terga strictas vinculis, alias autem sanguine foedatas, et pulvere, alias ordinatim ad caedem expositas! ibi filii patres, et patres filios am-

κρουνηδὸν ὁρμαῖς ἔβρεχον τῶν αἱμάτων.
ὑπῆρχε θρῆνος, ἦν βοὴ πορθουμένων,
οὐκ ἦν προφήτης ἰσχύων, οὐδὲ σπάθη·
αὕτη γὰρ ἐχθροῖς ὡς θεὸς τιμωμένη.
ἐκεῖ γέροντες εἰς φυγὴν ὡρμηκότες
ὄπισθεν ἐπλήττοντο τοῖς ἀκοντίοις.
ἐκεῖ νέους φεύγοντας ἡ χιτωνίων
ἄζωστος εἰς ὄλισθον ἔκλωθε τάσις,
καὶ συμποδισμὸν ἐμπαρεῖχεν ἀξίως
νόμος παλαιὸς πατρικὸς τοῖς βαρβάροις.
τῶν οὖν στρατηγῶν ἦν ὑπηκόοις νόμος,
καὶ τοῦτο τῆς σῆς προσταγῆς, σκηπτροκράτορ,
μὴ πρὸς γυναῖκας πορνικῶς καθυβρίσαι,
μήπως τὸ σεμνὸν εἰς ἀβαπτίστους κόρας
βάπτισμα χρανθῇ, καὶ μολυνθῇ σου στόλος.
τοσοῦτον ἐφρόντιζες οἰκετῶν, ἄναξ,
ὡς μέχρι λεπτῶν προφθάνειν σου τοὺς λόγους,
καὶ μέχρι τούτων συνταπεινοῦσθαι φίλοις.
καὶ γὰρ φίλος σοι πᾶς κρατῶν τὴν ἀσπίδα,
καὶ πᾶς ὁ τείνων τὴν μάχαιραν ἐν μάχαις,
καὶ πᾶς ὁ φεύγων τὴν πικρὰν δειλανδρίαν.
οὕτω ταραγμὸς εἶχε Κρητῶν τὴν πόλιν,
τὴν οὖσαν, ὡς πρὶν, καὶ πάλιν Ῥώμης πόλιν,
πόλιν ποθητὴν, τὴν ἐπηρμένην πόλιν,
τὴν ἐξάκουστον, τὴν πολύπλουτον πόλιν.

**94.** ἔβρεχον **C.** ἔβρεχεν **F.** **101. Fort.** ἐκλώσθη.

plectebantur, et ensis ubique tumidos torrentes effundebat sanguinis. Erat luctus, erat obsessorum clamor: potens non erat propheta, neque gladius, qui ab inimicis tamquam Deus honoratur. Ibi senes ruentes in fugam iaculis percutiebantur a tergore: ibi iuvenes fugientes vestium discincta extensio cogebat fataliter, ut caderent, et impedimentum praebebat merito lex patria antiqua barbaris. Lex autem erat subditis a ducibus lata, et hoc ex iussione tua, o sceptrifer, ne dedecorarent stupris feminas, ne in non baptizatis puellis venerabile baptisma polluerent, et macularent milites tui. Adeo tibi cordi erant servi tui, o Rex, ut etiam minutiora praeveniret tuum consilium, et usque ad haec te humiliares ob amicos tuos: nam tibi amicus est quicumque tenet clypeum, et quicumque stringit ensem in praeliis, et quicumque fugit turpem segnitiem. Ita turbata erat urbs Cretensium, quae modo est, ut antea, Romae civitas. O urbem optabilem, eximiam urbem, urbem ce-

*ἤκουσε Ταρσὸς, καὶ κατασκάπτει τάφρους·*
*καὶ πύργον ὑψοῖ, καὶ σιδηροῖ τὰς πύλας,*
*καὶ πάντα ποιεῖ, συμφοραῖς ἀλλοτρίαις*
*τὸ μέλλον αὑτῇ προβλέπουσα φορτίον.* 122

122. *αὑτῇ* C. *αὐτῇ* F.

lebrem, abundantem opibus! Audivit Tarsus, et effodit fossas, erigitque turrem, et munit ferro portas, facitque cuncta, ex alienis infortuniis imminere sibi prospiciens captivitatis onus.

# NICEPHORI PHOCAE NOVELLAE.

# LUCIANI PHILOPATRIS.

# LUITPRANDI LEGATIO
## AD NICEPHORUM PHOCAM.

# EXCERPTA EX HISTORIIS ARABUM
## DE EXPEDITIONIBUS SYRIACIS
## NICEPHORI PHOCAE ET IOANNIS TZIMISCIS.

# ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΦΩΚΑ
## ΝΕΑΡΑΙ ΔΙΑΤΑΞΕΙΣ *.
# NICEPHORI PHOCAE
## NOVELLAE.

### ΝΕΑΡΑ Α'.

**Περὶ μοναστηρίων, ξενώνων, καὶ γηρωκομείων, κατ' ἐπιτομήν.**

ΥΠΟΘΕΣΙΣ.

*Ἐκ τῶν Θεοδώρου τοῦ ἐπιλεγομένου Βαλσαμῶν, τοῦ πατριάρχου Ἀντιοχείας.*

*Ἡ νεαρὰ διορίζεται, μὴ κατασκευάζεσθαι νεωστὶ μοναστήρια, ἢ ξενῶνας, ἢ γηρωκομεῖα, ἢ ἄλλους εὐαγεῖς οἴκους· ἀλλὰ τῶν παρόντων ἐπιμελεῖσθαι.*

Θεσπίζομεν, ὅσοι μοναστήρια, ξενῶνας, καὶ γηρωκομεῖα συνιστᾷν βουληθῶσιν, ἐκείνων οὗτοι ἐπιμελείσθωσαν, τῶν ἐκ τοῦ Tom. I. p. 113.

* Nicephori Phocae Novellas sumsimus ex *Iure Graeco-Romano Io. Leunclavii*, Francof. 1596., cuius editionis paginas numeri marginibus additi indicant.

### NOVELLA I.

***De monasteriis, hospitalibus, et gerocomiis, novella epitomata.***

ARGUMENTUM.

*Ex scriptis Theodori cognomento Balsamonis, Antiocheni patriarchae.*

*Statuit haec novella, ne de novo monasteria, vel xenones, vel gerocomia, vel aliae religiosae domus exstruantur: sed iam exstantium cura geratur.*

Sancimus, ut quicumque monasteriis, xenonibus, et gerocomiis consultum voluerint, eorum potius rationem habeant, quae a longo tempore iam

*πολλοῦ χρόνου γεγενημένων· μὴ ἀγροὺς παρέχοντες, ἢ τόπους, ἢ οἰκοδομὰς ποιοῦντες· ἱκανὰ γὰρ τὰ φθάσαντα γενέσθαι· ἀλλ' ἐκείνων ἐπιμελείσθωσαν τῶν ἐξαρχῆς προσόντων, δηλονότι τοὺς ἰδίους τόπους ἀπεμπολοῦντες πρὸς κοσμικοὺς, καὶ ἐκ τῆς αὐτῶν τιμῆς τὴν ἐπανόρθωσιν ποιοῦντες, τουτέστιν οἰκοδομὰς βοῶν καὶ ποιμνίων, καὶ οἰκετῶν ἐξωνήσεις, καὶ εἴ τι ἕτερον. εἴργεσθαι δὲ κελεύομεν τοῦ μὴ νέας ἐργάζεσθαι μονὰς, ἢ ξενῶνας, ἢ γηρωκομεῖα. ὥστε ἀπὸ τοῦ νῦν, ὅπερ ἐστὶν ἡ ἀρχὴ τῆς ζ' ἐπινεμήσεως, μηδενὶ ἐξέστω μὴ ἀγροὺς, μὴ τόπους, μὴ οἰκίας μοναστηρίοις, ἢ γηρωκομείοις, ἢ ξενῶσιν ὁπωσοῦν παραπέμπειν. ἀλλ' οὐδὲ μητροπόλεσιν, ἢ ἐπισκοπαῖς. οὐδὲν γὰρ, οὐδὲν ἐκείναις λυσιτελές. εἰ δέ τινα τῶν φθασάντων εὐαγῶν οἴκων, ἢ μοναστηρίων, ἢ μητροπόλεων, ἢ ἐπισκοπῶν, τοιαύτης φαύλης ἔτυχον χειρὸς καὶ προνοίας, ὡς ἔρημα τόπων καταλελεῖφθαι· τούτοις γνώμῃ βασιλικῇ καὶ δοκιμασίᾳ ἡ τῶν ἀρκούντων κτῆσις οὐ κωλυθήσεται. κελλία δὲ, καὶ τὰς καλουμένας λαύρας, ἐν ἐρήμοις οἰκοδομεῖν, μὴ πρὸς κτήσεις καὶ ἀγροὺς ἑτέρους ἐκτεινομένας, ἀλλὰ τῇ περιοχῇ μόνῃ τῇ ἰδίᾳ ὁριζομένας, τοσούτῳ τοὺς βουλομένους οὐκ εἴργομεν, ὅσῳ καὶ δι' ἐπαίνου μᾶλλον τὸ πρᾶγμα τίθεμεν.*

***Ἡ αὐτὴ νεαρὰ Νικηφόρου τοῦ βασιλέως ὁλόκληρος*, ἣν κατὰ τὸ α' ἔτος τῆς αὐτοῦ βασιλείας, ἤτοι κατὰ τὴν ζ' ἐπινέμησιν τοῦ ϛυοβ'***

14. *καταλειφθῆναι.* * Ex antiquissimis membranis Electoralis bibliothecae Palatinae. LEUNCL.

facta fuerunt; nec eis fundos, aut loca donent, vel aedificia struant. Quippe sufficiunt ea, quae iam antea facta sunt. Sed eorum bonorum curam gerant, quae iam dudum adsunt, loca scilicet propria mundanis vendentes, et ex eorum pretio restaurationem instituentes, hoc est, structuras et stabula boum ac gregum, et mancipiorum emtiones, et si quid aliud tale fuerit. Eisdem prohiberi iubemus, ne mansiones novas, aut xenones aut gerocomia condant. Adeoque ab hoc tempore, quod initium est indictionis septimae, nemini permissum sit agros, nec loca, nec villas ad monasteria, vel gerocomia, vel xenones, quocumque modo, nec item ad metropoles vel episcopatus transmittere. Nihil enim hoc, nihil eis expedit. At vero, si quas iam antea conditas religiosas domos, vel monasteria, vel metropoles, vel episcopatus, adeo negligenter administrari curarique contigerit, ut omnes fundos amiserint: iis de sententia et approbatione principis eorum, quae sufficiant, acquisitio non prohibebitur. Cellulas autem, et eas quae laurae vocantur, in locis desertis exstruere, non ad possessiones et agros alios se porrigentes; sed intra suum duntaxat ambitum conclusas, tanto minus illis, qui volent, prohibemus, quanto magis hanc ipsam rem in laude ponimus.

***Eadem novella Nicephori Imperatoris integra, quam anno primo imperii eius sive VII. indictione, anni VICIƆCCCCLXXII. [Christi nati 963.]***

*ἔτους ὑπηγόρευσε Σιμὼν πατρίκιος καὶ πρωτασηκρῆτις, περὶ τοῦ μὴ γίνεσθαι μοναστήρια, καὶ γηρωκομεῖα, μήτε πλατύνεσθαι διὰ τῶν κτημάτων τοὺς εὐαγεῖς οἴκους.*

*Ὁ τοῦ Θεοῦ πατρὸς λόγος πολύν τινα λόγον τῆς ἡμῶν ποιούμενος σωτηρίας, καὶ δεικνὺς ὅπως ἡμῖν ἔσται, καὶ τίνων μὲν ἀπεχομένους, ποίων δὲ δεῖ ἐχομένους ταύτης ἐπιτυχεῖν, τὸν πλοῦτον καὶ τὴν τῶν πολλῶν κτῆσιν ἐπιεικῶς πρὸς ταύτην ἔδειξεν ἐμποδίζοντα, δύσκολον εἶναι τοῖς πλουσίοις τὴν τῆς βασιλείας εἰπὼν εἴσοδον, καὶ τοσοῦτον ἀπερίττους εἶναι βουλόμενος, ὡς μὴ μόνον ῥάβδον ἡμῖν καὶ πήραν καὶ χιτῶνα τὸν δεύτερον, ἀλλὰ καὶ αὐτήν φημι τὴν εἰς αὔριον ἀπαγορεῦσαι τῆς τροφῆς μέριμναν. ἄρτι δὲ βλέπων τὴν περὶ τὰ μοναστήρια καὶ τὰ ἱερὰ ταῦτα σεμνεῖα περιφανῆ νόσον (νόσον γὰρ ἐγὼ τὴν ἀπληστίαν ταύτην καλῶ), οὐκ οἶδα τίνα δὴ τοῦ κακοῦ θεραπείαν ἐπινοήσω, ἢ πῶς κολάσω τὴν ἀμετρίαν. τίσι γὰρ πειθόμενοι τῶν πατέρων, ἢ πόθεν λαβόντες τὰς ἀφορμὰς πρὸς τοσαύτην περιττότητα, καὶ μανίας ψευδεῖς (κατὰ τὸν θεῖον φάναι Δαβὶδ) ἐξήχθησαν; γῆς πλέθρα μυρία, φιλοτίμους οἰκοδομάς, ἵππων ἀγέλας, βοῶν, καμήλων, ἄλλων κτηνῶν ἀριθμοῦ κρειττόνων, ὅσαι ὧραι κτᾶσθαι σπουδάζοντες, καὶ τὴν ὅλην μέριμναν τῆς ψυχῆς περὶ αὐτὰ κατατείνοντες, ὥστε κατ᾽ οὐδὲν τοῦ κοσμικοῦ βίου καὶ πολλαῖς φλεγμαίνοντος ταῖς φροντίσι τὰ μοναχικὰ ταυτὶ διαφέρειν· καίτοιγε τῶν θείων λογίων ἀπεναντίας τούτοις ἡμῖν φθεγγομένων, καὶ φροντίδων τοιούτων ἀπηλλάχθαι τὸ σύνολον διακελευομένων·*

*dictavit Simo patricius et primus a secretis, de eo, quod monasteria et gerocomia construi non debeant, nec domus religiosae latifundiis ampliari.*

Sermo ille Dei patris magnam salutis nostrae rationem habens, et ostendens, quomodo illa potituri, et a quibus abstinendo, quibus adhaerendo consequuturi eam simus, divitias et rerum multarum acquisitionem valde magnum ad hanc impedimentum afferre monstravit, dum regni coelestis aditum divitibus esse difficilem dixit, et tantopere nos alienos a superfluis esse vult, ut non modo nobis baculo, et mantica, et altera tunica, sed ipsa quoque cura victus in diem crastinum interdixerit. Nunc autem, quum in monasteriorum, sacrarumque pietatis officinarum manifestissimum morbum intueor (morbum enim equidem hanc insatiabilitatem appello), quod huic malo remedium excogitem nescio; quave ratione modi excessum coerceam. Quibus enim patribus obsequentes, aut unde nacti occasiones ad tantam superfluitatem et vanam insaniam (ut cum Davide loquar) exorbitarunt? dum infinita terrae iugera, structuras ambitiosas, greges equorum, boum, camelorum, iumentorum aliorum innumerabilium, singulis horis acquirere student, totamque animi curam in haec intendunt, adeo quidem, ut ista studia monachica nihil a vita mundana, multisque sollicitudinibus exaestuante, differant: quum his contraria nobis oracula divina tradant, et prorsus liberos a sollicitudinibus eiusmodi esse iubeant, „Ne solliciti si-

„μὴ μεριμνήσητε γὰρ," φησὶ, „τί φάγητε, ἢ τί πίητε·" καὶ τὸ τῶν πετεινῶν ἄπραγμος εἰς ὄνειδος ἡμῖν προτιθέντων. τί δὲ καὶ ὁ θεῖος ἀπόστολος; „αἱ χεῖρες αὗται," φησὶν, „ἐμοί τε καὶ τοῖς σὺν ἐμοὶ διηκόνησαν· καὶ, „ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα." τὸν βίον ὅρα μοι τῶν θείων πατέρων, τῶν ἐν Αἰγύπτῳ φημὶ, τῶν ἐν Παλαιστίνῃ, τῶν ἐν Ἀλεξανδρείᾳ, τῶν ἀλλαχοῦ πολλαχοῦ γῆς λαμψάντων, καὶ τοῦτον οὕτως λιτὸν εὑρήσεις, οὕτως ἀπέριττον, ὡς σχεδὸν μόνῃ ψυχῇ ζῶντας αὐτοὺς ἀποφαίνειν, καὶ τῆς τῶν ἀγγέλων ὥσπερ παραψαύοντας ἀϋλίας. ἄλλως δὲ τοῦ Χριστοῦ βιαστὴν ὑπάρχειν τὴν βασιλείαν τῶν οὐρανῶν λέγοντος, καὶ βιαστὰς ἁρπάζειν αὐτὴν, καὶ διὰ πολλῶν θλίψεων δεῖν ἡμᾶς εἰς αὐτὴν ἐλθεῖν, ὅταν ὁρῶ τοὺς πρὸς τοιοῦτον βίον χωρεῖν ἐπαγγελλομένους, καὶ τῇ ὑπαλλαγῇ τοῦ σχήματος ὥσπερ σημειουμένους τῇ πολιτείᾳ, σφόδρα τοῦ ἐπαγγέλματος καταψευδομένους, καὶ ἀντιφθεγγομένους τῷ σχήματι, οὐκ οἶδα πῶς οὐχὶ σκηνὴν καλέσω τὸ πρᾶγμα, καὶ εἰς βλασφημίαν χωροῦν ἄντικρυς τοῦ ὀνόματος εἴποιμι τοῦ Χριστοῦ. ἐπεὶ οὖν οὔτε ἀποστολική τις, οὔτε πατρικὴ νομοθεσία, ἡ τῶν πολυπλέθρων τούτων ἀγρῶν καὶ τῶν χωρίων κτῆσις τῶν οὕτως ὑπερφυῶν καὶ φροντίδων πλῆθος ὑπὲρ τοὺς καρποὺς γεννᾷν πεφυκότων (πῶς γὰρ οὔ; εἴ γε τούτων μὲν ἡ σπουδὴ, τὸ συνῳδὰ πρᾶξαί τε καὶ διδάξαι ταῖς τοῦ Χριστοῦ ἐντολαῖς· ἐντολὴ

9. ὑποφαίνειν. 17. βλάβην. 21. τούτοις.

tis," inquientes, „quid comedendum vobis, aut quid bibendum sit": et avium expertem curarum vitam opprobrii causa nobis obiicientes. Quid autem divinus etiam apostolus ille? „Manus," ait, „hae tam mihi, quam mecum degentibus ministrarunt": item, „Habentes alimenta, et quibus tegamur, his contenti erimus." Inspice mihi vitam divorum patrum, qui vixerunt in Aegypto, in Palaestina, qui Alexandriae, qui alibi multis in locis orbis terrarum fulserunt: adeo tenuem invenies, adeo superfluitatis expertem, ut sola se propemodum anima vivere ostenderent, et angelorum naturam vacuam materiae crassioris attingere. Ceteroquin etiam dicente Christo, regnum coeleste vi parari, et a violentis id rapi, et oportere nos per tribulationes multas eo pervenire; quum illos video, qui pergere se ad eiusmodi vitam profitentur, et habitus mutatione veluti signantur ad eam vitae rationem, vehementer hanc exspectationem fallere, atque ipsi habitui contradicere: nescio quomodo rem totam non larvam appellare debeam, ac non etiam dicere, quod ad infamiam nominis Christi palam tendat. Quoniam ergo nec ab apostolica, nec patrum aliqua lege profecta est haec ad multa se iugera porrigentium agrorum ac praediorum acquisitio tam magnificorum, et quae maiorem, quam fructus ipsi, copiam sollicitudinum gignere consueverunt (et quonam modo res ita non habeat? quum hoc illis studium fuerit, ut consentanea Christi mandatis facerent atque do-

δὲ Χριστοῦ οὐχ ἡ τῶν ὑλικῶν κτῆσις, ἀλλ' ἐκ διαμέτρου μᾶλ- P. 115
λον ἡ τῶν τοιούτων ἀπόκτησις· εἴπερ ἐκείνου, τὸ πωλεῖν τὰ ὑπάρχοντα, καὶ διδόναι τοῖς πτωχοῖς)· πρόδηλόν ἐστιν, ὡς οὐ φιλαρέτου ταῦτα πολιτείας, οὐδ' ἀκριβείας, ἀλλὰ χρείας σωματικῆς μᾶλλον, πρὸς τὸ βιοτικώτερον, οἶμαι, τῶν πνευματικωτέρων ἀποκλινάντων. ἡ χρεία δὲ τῷ χρόνῳ προῆλθεν εἰς ἀμετρίαν, ὥσπερ φιλεῖν οἶδε τὰ χείρω διὰ μικρᾶς ἀφορμῆς καὶ τῆς τυχούσης εἰς μέγα χωρεῖν. τί τοίνυν παθόντες οἱ ἄνθρωποι, πρᾶξαί τι τῶν πρὸς Θεοῦ θεραπείαν καὶ λύσιν ἁμαρτημάτων κεκινημένοι, παρορῶσι μὲν εὔκολον οὕτως καὶ φροντίδων ἐλευθέραν τὴν τοῦ Χριστοῦ ἐντολήν, τὸ πωλοῦντας τὰ ὄντα διδόναι [τοῖς] πένησιν· ὥσπερ δὲ δύσκολον ταύτην ἐπίτηδες καὶ πραγματωδεστέραν ποιεῖν βουλόμενοι καὶ φροντίδων ἐγνωκότες πλῆθος ἐπισυνάγειν, πρὸς τὸ μοναστήρια συνιστᾷν ξενῶνάς τε καὶ γηρωκομεῖα ἑαυτοὺς κατατείνουσιν; ὧν ἐν μὲν τοῖς προτέροις χρόνοις ἡ σύστασις, ἕως ἔτι σπάνις ἦν τῶν τοιούτων, πολὺ τὸ εὔλογον εἶχε καὶ χρησιμώτατον. καὶ πῶς γὰρ οὐ μονιμώτερον εἶναι τὸ καλὸν τῶν συνιστώντων ταῦτα, προθυμουμένων τῶν μὲν εἰς ἀνθρωπίνων σωμάτων τροφήν τε καὶ θεραπείαν, τῶν δὲ εἰς ψυχῆς ἐπιμέλειαν καὶ ὑψηλοτέρου βίου διαγωγήν· ἀφ' οὗ δὲ πρὸς πλῆθος ἐπιδέδωκε ταῦτα, καὶ ὑπὲρ τὴν χρείαν ἑστήκασι, καὶ τὸ μέτρον, τὸ ἔτι παρορᾷν καὶ ἀφίστασθαι τοῦ κατὰ πολλὴν εὐπέτειαν ἀγαθοῦ γινο-

10. ἐλευθ.] ἀπηλλαγμένην. 17. εἴη.

cerent: Christi vero mandato continentur, non rerum mundanarum possessio, sed e diametro potius earumdem possessionis dimissio: quum Christi sit, vendere facultates suas et dare pauperibus), plane manifestum est, haec non esse vitae virtutis studiosae, nec exactioris normae; sed pertinere potius ad usum corporalem, plus aequo deflectentibus illic, qui spirituales esse debebant, ad rationem degendi magis saecularem. Usus autem progressu temporis ad immensitatem processit, quemadmodum sane deteriora per occasionem exiguam et quamlibet in maius progredi consueverunt. Quid igitur accidit hominibus, qui ad faciundum aliquid divini cultus et peccatorum abolendorum causa impulsi, tam facile ac liberum a curis mandatum hoc Christi negligunt, quo praecipitur, ut facultates distrahantur ac pauperibus dentur, quasique de industria difficilius hoc et operosius efficere volentes, ac sollicitudinum multitudinem cumulandam statuentes, se ipsos totos ad construenda monasteria, xenonas, gerocomia, contentis viribus excitant? quorum constructio superioribus quidem temporibus, dum erant talia adhuc rariora, nec ratione probabili nec usu carebat. Nam quomodo non durabilius sit illorum decus, qui talia construunt, his et alere, et curare corpora humana cupide annitentibus, illis in curam animorum et vitae sublimioris traductionem intentis? Ex quo vero magnum ad numerum haec excreverunt et usum ac modum excesserunt, quum nihilominus homines et negligant et relinquant bonum illud, quod magna

μένου, καὶ πρὸς τὴν τῶν εἰρημένων σύστασιν ἀσχολεῖσθαι, πῶς
ἄν τις ἀμιγὲς εἶναι κακίας τὸ ἀγαθὸν τοῦτο λογίσαιτο, καὶ μὴ
τῷ σίτῳ φαίη παραμεμίχθαι καὶ τὰ ζιζάνια; μᾶλλον δὲ, πῶς οὐ
κενοδοξίας εἴποι προκάλυμμα γίνεσθαι τὴν φιλοθεΐαν; ἵνα φανε-
ροὶ πᾶσιν ὦσι, τὸ καλὸν ποιοῦντες, ὥσπερ οὐκ ἀγαπῶντες, εἰ
μόνους ἔχουσι μάρτυρας τοὺς παρόντας ἧς μετίασιν ἀρετῆς, ἀλλὰ
μηδὲ τοῖς ἐπιγινομένοις ἀγνοεῖσθαι ταύτην βουλόμενοι. καὶ ταῦτα,
τίνες; χριστιανοί. φεῦ! οἱ παντὶ τρόπῳ λανθάνειν ἐν τῇ τῶν
ἀγαθῶν πράξει κεκελευσμένοι. τοῦτο δὲ πῶς οὐκ ἄν τις ἔκδηλον
εἶναι δόξειε, καὶ πολλῷ τῷ περιόντι πεπιστευμένον, ὅταν μυρίων
ὄντων ἑτέρων, τῶν ὑπὸ τοῦ χρόνου πεπονηκότων, καὶ πολλῆς
δεομένων χειρός τε καὶ βοηθείας, ἀμελοῦντας ἡμεῖς τοῦ εἰς ἐκεῖνα
δαπανᾷν προθύμως, καὶ διορθοῦσθαι ταῦτα, καὶ συνιστᾷν,
ἐπὶ τὸ καινουργεῖν ἴδια κατὰ πολλὴν φερόμεθα τὴν ὁρμὴν, ἵνα μὴ
μόνον ὀνόματος ἀπολαύοιμεν καινοῦ, ἀλλὰ καὶ καθαρῶς φαίνοι-
P. 116 το καὶ ἀποτεταγμένον ἢ τὸ ἡμέτερον, ὡς καὶ τίθεσθαι τὰ ὀνό-
ματα ἡμῶν ἐπὶ τῶν γαιῶν, κατὰ τὸν προφήτην φάναι τὸν θεῖον.
διὰ τοῦτο καὶ πρὸς τὴν ἐργασίαν τῶν τοῦ Χριστοῦ ἐντολῶν ὑμᾶς
διεγείροντες, καὶ τῆς θεομισοῦς ταύτης φιλοδοξίας τὸ κακὸν ἐκ-
κόπτειν βουλόμενοι, καὶ σπουδάζοντες, ὅπερ ἂν ἀγαθὸν ποιῶ-
μεν, διὰ Θεὸν μόνον ποιεῖν, καὶ μὴ συνάπτειν τούτῳ καὶ τὴν
ἀνθρωπίνην ἀρέσκειαν, ἵνα μὴ τῆς ἀντιμισθίας πάντως τῆς παρ'

15. κενοῦ. 18. Χριστ.] Κυρίου.

cum facilitate facere licet, et condendis indicatis incumbant; quo pacto quis existimare queat, bonum hoc non cum aliquo vitio coniunctum, ac dicere non debeat, herbas noxias esse tritico permistas? immo vero, qui fieri possit, ut non dicat amorem Dei, rerumque divinarum, ad vanae gloriae praetextum usurpari? quo tales scilicet conspicui sint omnibus dum bonum aliquod faciunt, quasi non satis sit eis, si solos in hoc tempore praesentes virtutis eius, quam colunt, testes habeant, sed etiam ad posteros hanc non ignotam esse velint. Et quinam sunt, qui haec faciunt? christiani. Vaeh! illi scilicet, qui iussi sunt in peragendis rebus bonis id operam dare, ut omnino lateant. Et quonam modo quispiam non hoc esse manifestum existimet, ac plus quam exploratum; quo monasteriis infinitis existentibus aliis, quae laesa diuturnitate temporis labascunt, nos in ea sumtus animo promto facere negligentes, ut instaurentur et conserventur, ad novas exstructiones propriorum monasteriorum magno impetu feramur; ut non modo nomine vano fruamur, sed etiam id, quod nostrum est, liquido conspicuum sit et ab aliis secretum; adeo quidem, ut etiam nomina nostra terris imponamus, ut verbis divini vatis utamur. Quapropter et ad implenda Christi mandata vos excitantes, et vitium ambitionis huius exosae Deo exscindere volentes, et studiose in hoc incumbentes, ut quidquid boni facimus, Dei solius causa faciamus, et cum eo studium placendi hominibus non coniungamus, ne remuneratione ab ipso proficiscente prorsus exci-

αὐτοῦ διαπίπτωμεν (ἀπέχειν γὰρ ἤδη τοὺς τοιούτους ὁ θεῖος λόγος φησὶ τὸν μισθὸν) κελεύομεν τοὺς εὐσεβεῖν βουλομένους, καὶ χρηστότητος καὶ φιλανθρωπίας ἔργα ἀνύειν, ἀκολούθως τῇ τοῦ Χριστοῦ πορεύεσθαι ἐντολῇ, καὶ πωλοῦντας τὰ ὑπάρχοντα διδόναι πένησιν. οὕτως γὰρ περιττοὺς ἡμᾶς εἶναι καὶ φιλοδαπάνους περὶ τὸν ἔλεον βούλεται, ὡς μὴ μόνον ὧν ἔχομεν χρημάτων τοῖς χρῄζουσι κοινωνεῖν, ἀλλὰ καὶ ταῦτα δαπανήσαντας ἐπὶ τὴν πρᾶσιν ἑτοίμως χωρεῖν τῶν κτήσεων. εἰ δέ τινες οὕτως εἰσὶ φιλόκαλοι καὶ μεγαλουργοὶ (καλοῦμεν γὰρ οὕτως αὐτῶν τὸ φιλότιμον), ὡς καὶ μοναστήρια συνιστᾷν βούλεσθαι, ξενῶνάς τε καὶ γηρωκομεῖα, ὁ κωλύσων οὐδείς. ἀλλ᾽ ἐπεὶ πολλὰ τῶν ἐκ πολλοῦ τοῦ χρόνου γεγενημένων κεκμήκασιν ἤδη, καθάπερ εἴρηται, καὶ πρὸς τὸ μηδὲν εἶναι σχεδὸν περιέστησαν, ἐκείνων οὗτοι ἐπιμελείσθωσαν, καὶ διδότωσαν χεῖρα κειμένοις, καὶ περὶ αὐτὰ δεικνύτωσαν τὸ φιλόθεον. ἕως δ᾽ ἂν τῶν προλαβόντων οὕτως ἐχόντων αὐτοὶ παρορῶντες, καὶ ὥσπερ ἐπ᾽ αὐτὰ μύοντες, καὶ εὐαγγελικῶς εἰπεῖν ἀντιπαρερχόμενοι, πρὸς καινῶν ἑτέρων οἰκοδομίας κατατείνονται, οὔτ᾽ ἐπαινέσω τὸ πρᾶγμα, οὔτε μὴν τὸ παράπαν ἐάσω γίνεσθαι, οὐδὲν ἕτερον ἢ κενῆς ἔρωτα δόξης, καὶ μανίαν περὶ αὐτὴν ὡμολογημένην καὶ εἰδὼς τοῦτο καὶ ὀνομάζων. ἐπιμελεῖσθαι δὲ τῶν προλαβόντων καὶ βοηθείας δεομένων κελεύομεν, οὐκ ἀγροὺς παρέχοντας, οὐδὲ τόπους δή τινας, καὶ οἰκοδομὰς (ἱκανὰ γὰρ τὰ φθάσαντα καὶ ἅπερ ἔχοντες τυγχάνουσιν ἐξ ἀρχῆς),

7. αὐτά. 17. παρερχόμενοι.

damus, quum Dei verbum habere iam tales mercedem suam tradat: praecipimus, ut qui pietatem colere volunt, et opera benignitatis ac humanitatis perficere, secundum Christi mandatum incedant, facultates suas distrahant ac pauperibus largiantur. Is enim adeo nos esse vult in exercenda misericordia superfluos et prodigos, ut non modo quas habemus pecunias egentibus communicemus: verum etiam his expensis, ad possessionum distractionem animis promtis accedamus. Si qui vero virtutis adeo studiosi sunt et magnifici (sic enim horum hominum ambitionem appellare lubet), ut monasteria, xenodochia, gerocomia construere velint, qui hoc prohibiturus sit, nullus est. Sed quoniam pleraque illorum, quae facta sunt a multo tempore, iam nutantia deficiunt, uti dictum, propeque redacta sunt in nihilum: his illi curam adhibeant, his manum iacentibus admoveant, in his suum erga Deum studium declarent. Donec vero illi monasteria priora in hunc modum affecta negligentes, quasique ad ea conniventes, et evangelico more loquendo, ex adverso praetereuntes ad aliorum novorum aedificationes contendunt: equidem nec institutum hoc laudabo, nec omnino rem fieri permittam; quum nihil aliud et esse norim hoc et appellem, quam vanae desiderium gloriae, dubioque procul insanam huius cupiditatem. Iubemus autem, ut curam priorum et opis indigentium suscipiant, non agros eis donando, nec loca quaedam et aedificia: (quippe iam ante data sufficiunt et quae ab

ἀλλ᾽ ἠμελημένα ταῦτα, καὶ ἀκαμῆ, καὶ ἀνέργαστα δι᾽ ἀπορίαν κείμενα χρημάτων, ἐκεῖνοι τοὺς ἀγροὺς, οὓς ἔχουσι, καὶ τοὺς τόπους ἀπεμπολοῦντες πρὸς οὓς τῶν κοσμικῶν βούλονται, προνοίας αὐτὰ τῆς προσηκούσης καταξιούτωσαν, οἰκέτας παρέχοντες, βόας, ποίμνια, τἆλλα, ὅσα ἕτερα τῶν κτηνῶν. εἰ γὰρ αὐτοὺς ἐκείνους, οὓς ἔχομεν, ἀγροὺς καὶ τόπους παράσχοιμεν, ἐπεὶ τὰ τῶν οἴκων καὶ τῶν ἐκκλησιῶν ὁ νόμος εἴργει ἐκπράσκε-
P. 117 σθαι, εἰς ταὐτὸν ἥξομεν τῷ προτέρῳ, καὶ τὰ κακῶς ἔχοντα καὶ πεπονηκότα καταλείψομεν ἀθεράπευτα, χρημάτων οὐκ ὄντων, οὐδὲ τῆς χειρὸς ἐχούσης τι τῶν προεστηκότων καὶ δυναμένης. ὥστε ἀπὸ τοῦ νῦν μηδενὶ ἐξέστω μὴ ἀγροὺς, μὴ τόπους μοναστηρίοις, ἢ γηρωκομείοις, ἢ ξενῶσιν ὁπωσοῦν παραπέμπειν, ἀλλ᾽ οὐδὲ μητροπόλεσιν, ἢ ἐπισκοπείοις. οὐδὲ γὰρ οὐδὲν ἐκείνοις λυσιτελεῖ. εἰ δέ τινα τῶν φθασάντων εὐαγῶν οἴκων, ἢ μοναστηρίων, τοιαύτης φαύλης ἔτυχόν τινος χειρὸς καὶ προνοίας, ὡς ἔρημα τόπων καταλελεῖφθαι, τούτων γνώμῃ βασιλικῇ καὶ δοκιμασίᾳ ἡ τῶν ἀρκούντων κτῆσις οὐ κωλυθήσεται. κελλία δὲ, καὶ τὰς καλουμένας λαύρας, ἐν ἐρήμοις οἰκοδομεῖν, μὴ πρὸς κτήσεσι καὶ ἀγροῖς ἑτέροις ἐκτεινομένας, ἀλλὰ τῇ περιοχῇ μόνῃ τῇ ἰδίᾳ ὁριζομένας, τοσούτῳ τοὺς βουλομένους οὐκ εἴργομεν, ὅσῳ καὶ δι᾽ ἐπαίνου μᾶλλον τὸ πρᾶγμα τίθεμεν.

*Ταῦτα παραινῶν ἐγὼ καὶ νομεθετῶν οἶδ᾽ ὅτι τοῖς πολλοῖς*

10. προσηκόντων al. 15. ἔτυχε χειρός. 16. τούτοις. 18. πρὸς κτήσεις καὶ ἀγροὺς ἑτέρους.

initio possident) sed haec neglecta, nec elaborata, et inculta propter opum defectum iacentia, quibusvis mundanis vendendo fundos et loca quae possident, conveniente cura provisioneque dignentur, servos eis et mancipia suppeditantes, et boves, et greges, et alia, quae iumentorum numero continentur. Nam si eos ipsos fundos, eaque loca, quae habemus, eis largiamur; quandoquidem bona religiosarum domuum et ecclesiarum distrahi lex prohibet, in idem cum priore incommodum incurremus, et male affecta ruinosaque relinquemus inculta et opis expertia, quum pecuniae non adsint, nec ea manus, quae aliquid eorum habeat, quae requiruntur, et praestare quidpiam possit. Itaque ab hoc tempore nemini liceat nec fundos agrosve, nec loca monasteriis, aut gerocomiis, aut xenonibus quocumque modo transmittere; adeoque nec alicui metropoli, vel episcopatui. Nec enim haec illis quidquam conducunt. Si vero quaepiam ex factis iam ante religiosis domibus, aut monasteriis, tam ignavam nacta sunt manum et curam, ut experttia fundorum relicta sint: ea non impedientur, quo minus de Imperatoris sententia et approbatione sibi comparent, quantum satis est. A cellis vero et lauris, quas vocant, in locis desertis exstruendis, ut ad possessiones ac fundos alios non porrigantur, sed complexu dumtaxat suo terminentur, tantum abest, ut eos arceamus, qui facere id volunt, ut etiam in laude potius eam rem ponamus.

Haec praecipiens equidem, et sanciens, sat scio futurum, ut plerisque

*μὲν καὶ φορτικὰ λέγειν δόξω, καὶ πρὸς τὴν γνώμην αὐτῶν ἀπᾴδοντα· ὧν οὐδὲν ἐμοὶ μέλον, εἴπερ ἀρέσκειν, κατὰ [τὸν] Παῦλον, οὐκ ἀνθρώποις, ἀλλὰ Θεῷ βούλομαι. τοῖς δὲ νοῦν ἔχουσι καὶ φρένας, καὶ μὴ ἐξ ἐπιπολῆς ὁρᾷν ἠσκημένοις, ὡς τὸ προσπεσὸν ἁπλῶς ταραχὴν αὐτῶν ἐπάγειν τῇ διανοίᾳ, ἀλλὰ προσωτέρω χωροῦσι, καὶ συνορᾷν βάθος πραγμάτων δυναμένοις, καὶ λυσιτελῆ δόξομεν καὶ ὠφέλιμα τοῖς τε κατὰ Θεὸν ζῶσι καὶ τῷ κοινῷ παντὶ φθέγξασθαι.*

---

## *ΝΕΑΡΑ Β'.*

### *Περὶ τῶν ἀπεμπολησάντων στρατιωτῶν τόπους αὐτῶν, εἶτα τούτους ἐπιζητούντων.*

*Ἀνήγαγεν ὁ πρωτοσπαθάριος Βασίλειος, ὁ ἐπὶ τῶν δεήσεων,* Tom. II.
*ὅτι τόπους ἀναλαμβανομένους ἀναργύρως ἀποδίδωσι τοῖς στρατιώταις, διὰ τὸ ἐν αὐτοῖς ἐκείνοις εὑρεθῆναι αὐτοὺς στρατευθέντας· καὶ ἐδείξατο, ὅτι τοῦτο δυσχερὲς εἶναι δοκεῖ, τὸ μὴ* p. 168.
*ἔχειν ἐξουσίαν τινὰ, ἐκ τῶν ὑπαρχόντων αὐτῷ τοπίων ἀλλαχοῦ* P. 169
*διαπιπράσκειν, οἵας ἂν καὶ ὅσης δεσπόζει περιουσίας. διὰ ταῦτα μέχρι μὲν τοῦ νῦν ἐπὶ τοῖς διαπωλήσασι στρατιώταις τόπους αὐτῶν τοιαύτην βουλόμεθα νομοθεσίαν κρατεῖν, ὥστε τῷ στρατιώτῃ*

2. *μέλλον.* *ἀρέσαι.*

molesta graviaque dicere videar, et ab ipsorum iudicio discrepantia: sed eorum mihi non erit habenda ratio, siquidem secundum Paulum non hominibus sed Deo placere velim. At mente ac intelligentia praeditis, et adsuefactis ad res non ita de superficie inspiciendas, ut quidquid semel obtulerit, simpliciter eorum animo perturbationem afferat, sed ulterius penetrantibus ac rerum profunditatem intueri valentibus non solum expedientia videbimur, sed etiam utilia tam secundum Deum viventibus, quam reipublicae toti, protulisse.

---

## NOVELLA II.

### *De militibus, qui fundos suos distraxerunt, eosque deinceps repetunt.*

Retulit nobis Basilius ille Protospatharius et precibus praefectus, se fundos, qui recipiuntur a possessoribus, absque pretii refusione militibus reddere: propterea, quod deprehensum sit, eos in illis ipsis militiae functiones obiisse: simulque monstravit, rem videre difficilem ac molestam, quod aliquis potestatem non habeat, ex fundis suis aliquid alibi distrahendi, cuiuscumque tandem, et quanticumque patrimonii sit dominus. Quapropter ad hoc usque tempus in militibus, qui fundos suos vendiderunt, huiusmodi legem

τεσσάρων λιτρῶν ἀκίνητον περιουσίαν εὐπρόσοδον ἀφορίζεσθαι λόγῳ τῆς στρατείας αὐτοῦ, καὶ εἰ ταύτην ἔχων εὑρεθῇ ἀλλαχοῦ διαπωλήσας τόπον ἕτερον αὐτοῦ, εἶτα νῦν ἐπιζητῶν· ἵνα γένηται μὲν ἐν προτιμήσει τοῦτο ἀπολαβεῖν, πλὴν μὴ ἀναργύρως, ἀλλὰ τῇ τοῦ δικαίου καταβολῇ τιμήματος. εἰ δὲ μέρος τι τῶν τεσσάρων λιτρῶν τῆς ἀκινήτου εὐπροσόδου ὑπάρξεως διεπώλησε, τὸ τοιοῦτον ἀναργύρως ἀπολαμβάνειν.

Ἀπὸ δὲ τοῦ νῦν, ἐπεὶ τὰ τῶν κλιβανοφόρων καὶ ἐπιλωρικοφόρων κίνησιν ἔλαβε, διακελευόμεθα, μὴ ἔχειν ἐπ᾽ ἀδείας μηδένα ἁπλῶς στρατιώτην, ἀλλαχοῦ διαπιπράσκειν ἀπὸ τούτου ἀκίνητον ὕπαρξιν, εἰ μὴ ἐπέκεινα ἔχει ιβʹ λιτρῶν ἀκίνητον εὐπρόσοδον περιουσίαν· ἀλλ᾽ εἴ τι μὲν ἐκ τῆς εἰς τοσαύτην συγκεφαλαιουμένης ποσότητα τοιαύτης ὑπάρξεως ἀπεμπώλησεν, ἵνα ἀναλαμβάνῃ ἀναργύρως· εἴ τι δὲ ἐπέκεινα ταύτης ἔχων, τῶν δυοκαίδεκα λιτρῶν δηλονότι, διεπώλησεν, εἶτα τοῦτο ἐπιζητεῖ· μὴ ἀναργύρως ἀπολαμβάνειν, ἀλλὰ τὸ προσῆκον ἐπιδιδοὺς τίμημα.

## ΝΕΑΡΑ Γʹ.

### Περὶ Ἀρμενικῶν τόπων, καὶ φονευτῶν.

αʹ. Θεσπίζομεν, ὅσοι τῶν Ἀρμενικῶν στρατιωτῶν ἀναχωρησάντων τριετίαν ἀλλαχοῦ πεποιήκασιν, ἐὰν ἐδόθησαν οἱ τούτων

valere volumus, ut militi res soli quatuor librarum et fertilis militiae suae nomine assignetur; quam si retinens compertus fuerit alibi fundum quemdam alium suum distraxisse, quam deinde repetat: praelationis quidem ius habeat in eo recipiendo, verum non absque nummorum refusione, sed iusta pretii solutione interveniente. Sin partem aliquam constituti in re soli patrimonii fertilis, et aestimationem illarum quatuor librarum habentis, distraxerit: eam pretio non refuso recipiat.

Verum ex hoc tempore, quoniam clibanophori et loricati vigorem suum obtinuerunt, praecipimus, ne simpliciter quisquam militum licentiam habeat, ex hoc tempore constitutum in re soli patrimonium alibi distrahendi, nisi praeter illud etiam aliud duodecim librarum in re soli constitutum fertile patrimonium habeat, de quo patrimonio summam eiusmodi conficiente, si quid distraxerit, nullo refuso pretio recipiat; sin aliquid ultra hoc possidens, quod duodecim videlicet librarum est, distraxerit, idque postea repetat: non absque nummorum refusione recipiat, sed pretio convenienti soluto.

## NOVELLA III.

### *De fundis Armenicis, et homicidarum.*

1. Sancimus, ut quotquot ex Armenicis militibus, qui sese subduxerunt, alibi triennium exegerint, si dati fuerint eorum fundi vel confugis, vel mili-

τόποι ἢ πρόσφυξιν, εἴτε ἀριστεύσασι στρατιώταις, ἢ καὶ ἄρχουσι θεματικοῖς καὶ ταγματικοῖς, εἴτε στρατηγοῖς ἀνδραγαθήσασιν, ἢ καὶ ἑτέροις διὰ κοινωφελεῖς δουλείας, μὴ ἔχοιεν ἐπ' ἀδείας μετὰ τριετῆ χρόνον ἐπαναστρέφοντας τοὺς Ἀρμενίους ἐπιζητεῖν αὐτούς.

β'. Ὅσοι ἐκ τῶν πεφευγότων Ἀρμενίων τόποι διὰ χάριν ἢ προσπάθειαν ἐπεδόθησαν εἴτε βασιλικοῖς οἴκοις, ἢ εὐαγέσιν, ἢ μοναστηρίοις, ἢ ἄρχουσι, μὴ μόνον ὑποστρέφοντες, εἰ τριετία διῆλθεν, ἀλλὰ καὶ οἱ τούτων κληρονόμοι ἔνδοθεν τριακονταετίας ἐπανελθόντες ἀναλαμβανέτωσαν τοὺς αὐτῶν τόπους. κἂν λιβέλλους ἐποπτῶν καὶ χρυσόβουλλα ἐπιφέρωνται οἱ τούτους εἰληφότες, ἀντ' οὐδενὸς κελεύομεν λογίζεσθαι.

γ'. Ὅσαι γεγόνασιν ἀνταλλαγαὶ στρατιωτικῶν τόπων, οἱ μὲν στρατιῶται ἐχέτωσαν τὰ ἴδια· οἱ δὲ ἀνταλλάξαντες δεηθήτωσαν βασιλέως, ἐπιζητοῦντες τὰ αὐτῶν. εἰ δὲ βελτιώσεις πεποιήκασιν P. 170 ἐν αὐτοῖς, εἰ μὲν χρειώδεις εἰσίν, οἷον μυλοστάσια, ἀχυρῶνες, οἰκήματα μὴ πολυτελῆ, ἀλλ' ἁρμόζοντα στρατιώταις· ὑπὲρ τῶν τοιούτων χρὴ παρέχειν τοὺς ἀπολαμβάνοντας τοὺς τόπους τὰς ἀναλογούσας τιμάς. εἰ δὲ πρὸς κάλλος μόνον ἀφορῶσι, τῶν τοιούτων δεῖ τὴν ὕλην μόνην τοὺς κτίσαντας ἀναλαμβάνειν, τοῦ πρωτοτύπου σωζομένου.

δ'. Ὅσοι τῶν Ἀρμενίων ηὐτομόλησαν πρὸς Συρίαν, οὗτοι μὴ πρὸ τῆς τριετίας μόνον, ἀλλὰ καὶ πρὸ χρόνου ἑνὸς ὑποστρέ-

3. μὴ ἔχειν al.

tibus, qui se gessere fortiter, vel provincialibus aut legionariis magistratibus, vel ducibus, quorum virtus enituit, vel aliis, ob utiles publice servitutes: elapso triennio revertentes nullo modo facultatem habeant, eos fundos repetendi.

2. Quotquot fundi Armeniorum, qui profugerunt, ex gratia vel affectione quadam attributi sunt vel augustis, vel religiosis domibus, vel monasteriis, vel magistratibus: eos fundos non ipsi tantum elapso triennio redeuntes, sed et heredes eorum intra trigesimum annum reversi recipiant. Ac tametsi libellos inspectorum et aureas bullas proferant, qui eos acceperunt; tamen id pro nihilo duci iubemus.

3. Quotquot factae fuerint fundorum militarium permutationes, sua quidem bona retineant milites; at ii, qui cum iis permutarunt oblatis principi precibus, itidem sua reposcant. Quod si meliorationes in eis quasdam fecerunt, siquidem illae sunt utiles, puta si molae, palearia, nec pretiosa, sed convenientia militibus aedificia: pro iis debent illi, qui fundos recipiunt, pretia iuste respondentia praestare. Sin ad pulchritudinem tantum spectant, eorum solam materiam recipiant, qui aedificarunt, villa principali salva.

4. Quotquot Armeniorum in Syriam transfugerunt, ii non tantum ante triennium, sed et ante spatium unius anni redeuntes fundos suos

φοντες μὴ τοὺς ἰδίους ἀπολαμβανέτωσαν τόπους, ἀλλὰ γινέσθω ἡ πρόνοια τούτων διὰ παροχῆς ἑτέρων τοπίων.

ε΄. Τὸν ἐργασάμενον μιαιφονίαν στρατιώτην τιμωρεῖσθαι κατὰ τὸν νόμον κελεύομεν· τὴν δὲ τῆς στρατείας αὐτοῦ γῆν μὴ ἐπιδιδόναι εἰς παραμυθίαν τοῖς τοῦ φονευθέντος ἰδίοις καὶ συγγενέσιν, ἀλλ' ἐκείνους μὲν διά τινων κινητῶν παραμυθεῖσθαι· τὴν δὲ ἀκίνητον ὕπαρξιν εἰς στάσιν τῆς στρατείας συντηρεῖν. εἰ δὲ μὴ κινητὰ πράγματα εἶεν, καὶ οὕτως μὲν ὑποκεῖσθαι τοὺς τοῦ πεφονευκότος συγγενεῖς πρὸς ἐκπλήρωσιν τῶν ἀνηκόντων εἰς παραμυθίαν τῶν τοῦ ἀνῃρημένου συγγενῶν· οἱ δὲ τῆς στρατείας αὐτοῦ τόποι μὴ ἐκποιείσθωσαν. εἰ δὲ καὶ πάντες ἐκ τοῦ αὐτοῦ οἴκου τῷ τοῦ φόνου ἐνέχονται μύσει, οὗτοι τὰς προσηκούσας ἕκαστος παρὰ τοῦ νόμου ποινὰς ὑποδεχέσθωσαν· οἱ δὲ τῆς στρατείας τόποι ἀλλαχοῦ μὴ παραπεμπέσθωσαν. ἀλλὰ κἂν μή τις ὑπολειφθῇ κληρονόμος, ὁ τὴν στρατείαν ὑπελθεῖν μέλλων, ἕτερος τοὺς τόπους ἀναλαμβανέτω.

## ΝΕΑΡΑ Δ΄.

### Περὶ προτιμήσεως, καὶ περὶ τοῦ ἐξωνεῖσθαι δυνατοὺς ἀπὸ δυνατῶν.

α΄. Θεσπίζομεν τὴν παρὰ τῶν προβεβασιλευκότων ἐκτεθεῖσαν νομοθεσίαν διενεργεῖν, καὶ ταύτην ἐπικυροῦμεν ἐν ἅπασι,

15. ἕτερος τοὺς τόπους ἀναλαμβάνων ὑπηρετείτω τῇ στρατείᾳ.

minime recipiant: sed iis ita prospiciatur, ut illorum loco fundos alios habeant.

5. Militem, qui homicidium perpetravit, secundum legem puniri iubemus. At vero terram militiae ipsius minime necessariis et cognatis interfecti solatii causa volumus attribui: sed eorum consolatio de quibusdam mobilibus fiat, et bona constituta in rebus soli ad militiae stationem reserventur. Quod si nullae res mobiles exstent, nihilominus eius cognati, qui caedem admisit, obligati sint ea solvere, quae ad solamen cognatorum interfecti pertinent, at ipsius militiae loca nequaquam alienentur. Quod si omnes ex una eademque domo perpetratae caedis scelere tenentur, meritas eorum quilibet ex lege poenas subeat: verum militiae fundi alio non transmittantur. Quin etiam si nullus superstes fuerit heres, qui militiam subiturus sit, alius quispiam fundos ad se recipiat.

## NOVELLA IV.

### *De iure praelationis, et quod potentes a potentibus emere debeant.*

1. Sancimus, ut lex ab iis lata principibus, qui nos in imperio praecessere, ceu rata valeat, eamque confirmamus in omnibus, excepto quod

πλὴν κατὰ τοῦτο μόνον ἀργεῖν αὐτὴν παρακελευόμεθα, ἵνα μὴ προτιμῶνται οἱ πένητες εἰς τὸ ἀπεμπολούμενον κτῆμα τῶν δυνατῶν, μήτε ἐξ ὁμοτελείας, μήτε ἐξ ἀνακοινώσεως, κἄν τε στρατιῶται, κἄν τε πολιτικοὶ ἐφευρίσκονται· ἀλλὰ τὴν τούτου πάλιν δεσποτείαν διαδέχεσθαι ἀρχοντικὸν πρόσωπον, τὸ πρὸς ἀνάπαυσιν δηλονότι καὶ ὠφέλειαν τῶν συμπαρακειμένων ἐν τούτῳ πενήτων ἀναφαινόμενον.

β'. Ὅπερ καὶ μετὰ τὸ δεσπόσαι τοῦ κτήματος παραβλάπτειν τοὺς γειτονοῦντας κατανοούμενον, ὡς βίαιον καὶ κακὸν μὴ μόνον ἀπὸ τῆς ἐπικτήσεως, ἀλλὰ καὶ ἀπὸ τῶν γονικῶν ἐκδιώκεσθαι κελεύομεν. καὶ τοὺς μὲν δυνατοὺς ἐκ δυνατῶν μόνον ποιεῖσθαι τὰς ἐξωνήσεις βουλόμεθα, τοὺς δὲ στρατιώτας καὶ πένητας ἐκ τῶν τὴν ὁμοίαν τάξιν λαχόντων αὐτοῖς. καὶ ὥσπερ τούτους ἐκωλύσα- P. 171 μεν τοῦ μὴ ἐξωνεῖσθαι τὰ τῶν δυνατῶν, οὕτως πάλιν ἐκείνους ἀπείργομεν τοῦ μὴ ἐκ πενήτων τε καὶ στρατιωτῶν ἀπόρων ποιεῖσθαι τὰς ἐξωνήσεις, μηδὲ τὴν ὁμοτέλειαν ἢ ἀνακοίνωσιν προβάλλεσθαι εἰς δικαίωσιν, πρὸς ἅπαντας τὴν νομοθεσίαν ποιούμενοι.

## ΝΕΑΡΑ Ε'.

### Περὶ οἰκημάτων.

Ἐπειδήπερ τινὲς τῶν κεκωλυμένων ἀπὸ τῶν νεαρῶν νομοθεσιῶν ἐξωνεῖσθαι καὶ πλατύνεσθαι προσώπων ἔτυχον ἐκ γονικῆς

5. διεκδέχηται al.

hac dumtaxat in parte iubeamus illam cessare, ne pauperes ad possessionem potentiorum, quae distrahitur, ius praelationis habeant, nec propter eiusdem tributi praestationem, non consortii causa, sive milites, sive municipes esse reperiantur: sed rursus in dominium illius persona proceris alicuius succedat, quae ad quietem et utilitatem pauperum, ei praedio vicinorum, semet offerat.

2. Eam personam si postea, quam praedium acquisivit, damnum dare vicinis intelligatur: veluti violentam et improbam, non hoc dumtaxat acquisito praedio, verum etiam patritis expelli iubemus. Ac potentiores quidem cum solis potentioribus emtiones instituere volumus, itidemque milites et pauperes cum iis, qui sortis eiusdem cum ipsis sunt. Atque uti prohibuimus, ne hi praedia potentiorum emant: ita rursus illos arcemus, ne cum pauperibus et militibus contrahant, neve census eiusdem praestatio, vel consortii ius allegetur, quam quidem legem universis ferimus.

## NOVELLA V.

### *De aedificiis sive villis.*

Quoniam personae quaedam ex earum numero, quae per novellas constitutiones prohibentur emtiones instituere, praediaque dilatare, de patrita

κληροδοσίας ἀκίνητον κτῆσιν ἐν χωρίοις ἢ ἀγριδίοις εἰληφότες, ἐξωνήσαντο δὲ μετὰ ταῦτα ἀπὸ τῶν συγχωριτῶν αὐτῶν σμικρά τινα καὶ ὀλιγοστὰ τόπια, ἐν οἷς οἰκήματα πολύτιμα καὶ ἀπειρομεγέθη ἐδείμαντο, πλεῖστα εἰς ἀνοικοδομὴν αὐτῶν καταβαλλόμενοι· δεῖν ᾠήθημεν μὴ διὰ τὰ σμικρὰ ταῦτα καὶ ὀλιγοστὰ τόπια καταστρέφεσθαι τὰς ἐπ' αὐτοῖς δομηθείσας ἀπειρομεγέθεις καὶ πολυτίμους οἰκίας, ἀλλ' ἀντὶ τῶν πεπραμένων τοπίων λαμβάνειν μὲν τοὺς πεπρακότας, εἴπερ ἐν τοῖς ζῶσιν εἰσίν, ἢ μὴ ὄντων αὐτῶν, τοὺς τούτων κληρονόμους ἢ συγκληρονόμους, διπλοῦν τὸ ποσὸν τοῦ καταβληθέντος τιμήματος, ἢ γῆν διπλασίονα, τῆς αὐτῆς τῶν πεπραμένων ποιότητος καὶ ποσότητος οὖσαν· καὶ μὴ ἀποστερεῖσθαι τοὺς ἠγορακότας τῶν ἰδίων ἐμπονημάτων.

---

## *ΝΕΑΡΑ ϛʹ,*

### βοηθοῦσα τοῖς ἐξωνησαμένοις πρὸ τοῦ καιροῦ τῆς ἐνδείας.

Ἐπεὶ ἡ τῶν τεσσαράκοντα χρόνων παραδρομή, ἀνέγκλητος μὲν καὶ ἀνεπιφώνητος παραδραμοῦσα, τὸ δίκαιον ἐπεβράβευε τοῖς τὰ ἐκ τῶν στρατιωτῶν προσκτηθέντα κατέχουσι, περικοπτομένη δὲ διὰ τῶν ἐπιφωνήσεων, καὶ ἀναποδίζουσα, καὶ τοὺς πρὸ τῆς ἐνδείας τὰς ἐπικτήσεις ποιησαμένους ἐβάρυνε, καὶ ἀποστερεῖσθαι τούτων

13. ἀνεγκλήτως μὲν καὶ ἀνεπιφωνήτως.

haereditate possessionem quamdam in rebus soli constitutam, videlicet in fundis aut agris, adeptae; postea perexigua minutaque loca quaedam a vicaneis emerunt, in quibus pretiosas et immensae magnitudinis villas exstruxerunt, plurimis in earum structuram expensis: minime committendum putavimus, ut propter istaec exigua minutaque loca villae magnitudinis infinitae ac pretiosae, quae in eis exstructae sunt, diruantur: sed pro locis distractis venditores, siquidem adhuc superstites sunt, aut ipsis non exstantibus, eorum haeredes vel cohaeredes, duplam soluti pretii summam accipiant, aut duplum terrae, quae tum qualitate, tum quantitate terram venditam aequet: nec suis expensis emtores, quas ad res ornandas et pretiosiores reddendas contulerunt, fraudentur.

---

## NOVELLA VI,

### *quae subvenit iis, qui ante penuriae tempus emerunt.*

Quandoquidem annorum quadraginta spatium, quod citra querelam et attestatione nulla interveniente transcurrit, possessoribus eorum praediorum, quae a militibus emta sunt, ius suum tribuit; idemque si per attestationes interrumpatur, ac non procedat, etiam illos, qui ante penuriae tempus acquisivere praedia, saepenumero gravavit, et iis ut fraudarentur, effecit; dum nullo

ἐποίει πολλάκις, ἀδιαφόρως ἐνεργουμένη· διοριζόμεθα, τοὺς καλῇ πίστει πρὸ τοῦ καιροῦ τῆς ἐνδείας εὑρισκομένους ποιῆσαι τὴν ἐπίκτησιν ἀπὸ στρατιωτῶν καὶ πολιτικῶν, ἀμερίμνως διάγειν, καὶ μὴ ἐνεργεῖν τὴν τεσσαρακονταετίαν, καὶ ἐν τούτῳ ἀναποδίζουσαν ἐξ ἐπιφωνήσεως· μηδὲ τὸ καθόλου παρασαλεύεσθαι καὶ μετακινεῖσθαι τὴν δεσποτείαν αὐτῶν, εἰ μὴ εἰς μόνους τοὺς ἐξ ἁρπαγῆς τὰς ἐπικτήσεις ποιησαμένους, καὶ ἐκ βιαίας νομῆς, καὶ κακῆς πίστεως, ὡς ἐπιπηδῶντας τοῖς ἀλλοτρίοις, καὶ τοῦ πλείονος ἐφιεμένους.

adhibito discrimine vim suam obtinere permittitur: statuimus, ut qui bona fide ante penuriae tempus comparasse quid a militibus et municipibus comperiuntur, securi sint, neve spatium annorum quadraginta vim habeat, ut hac etiam in parte per attestationem praepediatur: nec in universum proprietas et dominium eorum labefactetur et transferatur: nisi tantum in illis, qui ex rapina violentaque possessione ac mala fide praedia quaedam acquisiverunt, veluti qui res alienas invadant, et ex avaritia pluribus inhient.

# ΦΙΛΟΠΑΤΡΙΣ Η ΔΙΔΑΣΚΟΜΕΝΟΣ

## ΔΙΑΛΟΓΟΣ.

# PHILOPATRIS SEU QUI DOCETUR

## DIALOGUS.

*ΤΡΙΕΦΩΝ, ΚΡΙΤΙΑΣ ΚΑΙ ΚΛΕΟΛΑΟΣ.*

Tom. III (α'.) ΤΡΙΕΦ. *Τί τοῦτο, ὦ Κριτία; ὅλον σεαυτὸν ἠλλοίωσας,*
P. 584 *καὶ τὰς ὀφρῦς κάτω συννένευκας, μύχιον δὲ βυσσοδομεύεις, ἄνω*
*καὶ κάτω περιπολῶν, κερδαλεόφρονι ἐοικὼς, κατὰ τὸν ποιητὴν,*
P. 585 *ὠχρός τέ σευ εἷλε παρειάς. μή που τρικάρηνον τεθέασαι; ἢ Ἑκά-*
*την ἐξ ᾅδου ἐληλυθυῖαν; ἢ καί τινι θεῶν ἐκ προνοίας συνήντη-*
*κας; οὐδέπω γάρ σε τοιαῦτα εἰκὸς παθεῖν, εἰ καὶ αὐτὸν ἠκη-*
*κόεις, οἶμαι, τὸν κόσμον κλυσθῆναι, ὥσπερ ἐπὶ τοῦ Δευκαλίω-*
*νος. σοὶ λέγω, ὦ καλὲ Κριτία, οὐκ ἀΐεις ἐμοῦ ἐπιβοωμένου τὰ*
*πολλὰ, καὶ ἐς βραχὺ γειτνιάσαντος; δυσχεραίνεις καθ' ἡμῶν, ἢ*
*ἐκκεκώφωσαι, ἢ καὶ τῆς χειρὸς παλαιστήσοντα ἐπιμένεις;*

**Paginae ad marginem adscriptae editionem Reitzii designant, unde hunc dialogum et quae ei subiunctae sunt annotationes desumsimus. *ΤΡΙΕΦ.*] Sic Par. *Τριεφῶντος* etc. Bas. 1. 2. om. cett. 2. *συνέ-νευκας* edd. priores. *βυσσοδομεύεις*] *βυσσοδομεύων* C. Nil mutat ed. Flor.**

**(I.) TRIEPH. Quid hoc rei est, Critia? totum te mutasti. Superciliis deorsum contractis profundas volvis sub pectore curas, sursumque et deorsum vagatus animos sub vulpe latentes, ut est in Poëta, videris circumferre, oraque pallor occupat. Num Cerberum vidisti, aut Hecaten ex inferis ascendentem, an consilio cum Deorum aliquo una fuisti? Neque enim adeo te affici par, puto, erat, si vel mundum, ut quondam sub Deucalione, eluvie totum periturum audivisses. Tecum loquor, o pulcher Critia, non audis multum tibi inclamantem, et prope iam te consistentem? Irasne aliquas adversum nos geris? obmutuisti? an expectas dum iniecta te manu impellam?**

*ΚΡΙΤ.* Ὦ Τριεφῶν, μέγαν τινὰ καὶ ἠπορημένον λόγον ἀκήκοα, καὶ πολλαῖς ὁδοῖς διειλημμένον, καὶ ἔτι ἀναπεμπάζω τοὺς ὕθλους, καὶ τὰς ἀκοὰς ἀποφράττω, μή που ἔτι ἀκούσαιμι ταῦτα, καὶ P. 586
ἀποψύξω ἐκμανείς, καὶ μῦθος τοῖς ποιηταῖς γενήσομαι, ὡς καὶ Νιόβη τὸ πρίν. ἀλλὰ κατὰ κρημνὸν ὠθούμην ἂν ἐπὶ κεφαλῆς σκοτοδινήσας, εἰ μὴ ἐπέκραξάς μοι, ὦ τᾶν, καὶ τὸ τοῦ Κλεομβρότου πήδημα τοῦ Ἀμβρακιώτου ἐμυθεύθη ἐπ' ἐμοί. (β'.) ΤΡΙΕΦ. Ἡράκλεις, τῶν θαυμασίων ἐκείνων φασμάτων, ἢ ἀκουσμάτων, ἅπερ Κριτίαν ἐξέπληξαν. πόσοι γὰρ ἐμβρόντητοι ποιηταὶ, καὶ τερατολογίαι φιλοσόφων, οὐκ ἐξέπληξάν σου τὴν διάνοιαν, ἀλλὰ λῆρος πάντα γέγονεν ἐπὶ σοί; ΚΡΙΤ. Πέπαυσο ἐς μικρὸν, καὶ μηκέτι παρενοχλήσῃς, ὦ Τριεφῶν· οὐ γὰρ παροπτέος ἢ ἀμελητέος γενήσῃ παρ' ἐμοῦ. ΤΡΙΕΦ. Οἶδ' ὅτι οὐ μικρὸν οὐδὲ εὐκαταφρόνητον πρᾶγμα ἀνακυκλεῖς, ἀλλὰ καὶ λίαν τῶν ἀποῤῥήτων. ὅ γὰρ χρὼς, καὶ τὸ ταυρηδὸν ἐπιβλέπειν, καὶ τὸ ἄστατον τῆς βάσεως, τὸ ἄνω τε καὶ κάτω περιπολεῖν, ἀρίγνωτόν σε καθίστησιν. ἀλλ' ἄμπνευσον τοῦ δεινοῦ, ἐξέμεσον P. 587
τοὺς ὕθλους, μή τι κακὸν πάθῃς. ΚΡΙΤ. Σὺ μὲν, ὦ Τριεφῶν, ὅσον πέλεθρον ἀνάδραμε ἀπ' ἐμοῦ, ἵνα μὴ τὸ πνεῦμα ἐξάρῃ σε, καὶ πεδάρσιος τοῖς πολλοῖς ἀναφανῇς· καί που καταπεσὼν Τριεφώντειον πέλαγος κατονομάσῃς, ὡς καὶ Ἴκαρος τὸ πρίν. ἃ γὰρ ἀκήκοα τήμερον παρὰ τῶν τρισκαταράτων ἐκείνων

4. ἀποψύξω] Ed. Iunt. prave ἀποψήξω. 21. κατανομάσῃς Iunt. Francof. Hagen.

